Les Bibliothèques Virtuelles Huıanistes

Extrait de la convention établie avec les établisseıents partenaires :

- ces établisseıents autorisent la nuıérisation des ouvrages dont ils sont dépositaires (fonds d'Etat ou autres) sous réserve du respect des conditions de conservation et de ıanipulation des docuıents anciens ou fragiles. Ils en conservent la propriété et le copyright, et les iınages résultant de la nuıérisation seront dûıent référencées.
- le travail effectué par les laboratoires étant considéré coııne une « oeuvre » (nuıérisation, traiteıent des iınages, description des ouvrages, constitution de la base de données, gestion technique et adıinistrative du serveur), il relève aussi du droit de la propriété intellectuelle et toute utilisation ou reproduction est souınise à autorisation.
- toute utilisation coıınerciale restera souınise à autorisation particulière deıandée par l'éditeur aux établisseıents détenteurs des droits (que ce soit pour un ouvrage édité sur papier ou une autre base de données).
- les bases de données sont déposées auprès des services juridiques coıpétents.

Copyright - © Bibliothèques Virtuelles Huıanistes

© Centre d'Études Supérieures de la Renaissance - Tours

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ ΒΙΒΛΙΑ ΔΕΚΑ.

Euſebii Pamphili Euangelicæ demonſtrationis Lib. X.

EX BIBLIOTHECA REGIA.



Βασιλεῖ τ ἀγαθῷ κρατερῷ τ αἰχμητῇ.

LVTETIAE.
In officina Rob. Stephani Typographi Regii, Regiis typis.
M. D. X L V.

Ex priuilegio Regis.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours



ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

Ευαγγελικῆς ἀποδείξεως τῶν εἴκοσι βιβλίων τὰ δέκα.

Βιβλίον πρῶτον, οὗ ἡ ἀρχὴ λείπει.

ἡ παιδίσκη σου, καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσί σου. καὶ ἔτι προσηθὼν ἐπασφα-
λίζεται τὸν λόγον, ἐν ᾧ φησιν, πλὴν τὰ ἅγιά σου ἃ ἂν γένωνταί σοι, καὶ τὰς εὐ-
χάς σου λαβὼν ἥξεις εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἑαυτῷ. καὶ
πάλιν, δεκάτην ἀποδεκατώσεις παντὸς γενήματος τοῦ σπέρματός σου, τὸ γένη-
μα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ' ἐνιαυτὸν. καὶ φαγῇ αὐτὸ ἐναντίον κυρίου τοῦ θεοῦ σου, ἐν
ᾧ ἂν τόπῳ ἐκλέξηται κύριος ὁ θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. εἶτ'
ἐπιλογισάμενος τί δέοι πράττειν, εἰ μακρὰν ἀφεστὼς εἴη ὁ πρὸς αὐτοῦ δηλού-
μενος τόπος, ὁ δὲ καρπὸς τῶν γενημάτων πολὺς, πῶς δέοι παρακομίζειν οἴκοθεν εἰς τὸν
τοῦ θεοῦ τόπον τοὺς ἐπετείους καρποὺς τῆς ὁλοκαυτώσεως· καὶ περὶ τούτου τόνδε
τίθησι τὸν νόμον, ἐὰν δὲ μακρὰν γένηται ἀπό σου ἡ ὁδὸς, καὶ μὴ δυνήσῃ ἀνα-
φέρειν αὐτὰ, ὅτι μακρὰν ἀπό σου ὁ τόπος, ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου, ἐπι-
κληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σὲ κύριος ὁ θεός σου, καὶ ἀποδώσεις αὐτὰ
ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου, καὶ πορεύσῃ εἰς τὸν τόπον ὃν
ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτὸν, καὶ δώσεις τὸ ἀργύριον ἐπὶ παντὸς οὗ ἂν ἐπι-
θυμῇ ἡ ψυχή σου. ἐπὶ βουσὶν, ἢ ἐπὶ προβάτοις, ἢ ἐπὶ οἴνῳ, ἢ ἐπὶ σικέρᾳ, ἢ ἐπὶ παν-
τὸς οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φαγῇ ἐκεῖ ἐναντίον κυρίου τοῦ θεοῦ σου. καὶ αὖθις
τὸν τόπον ἐπισφραγίζεται, ὧδέ πως φάσκων, πᾶν πρωτότοκον ὃ ἂν τεχθῇ ἐν τοῖς
βουσί σου καὶ ἐν τοῖς προβάτοις σου, τὰ ἀρσενικὰ ἀποίσεις κυρίῳ τῷ θεῷ σου. οὐκ
ἐργάσῃ ἐν ᾧ πρωτοτόκῳ μόσχῳ σου, καὶ μὴ κείρῃς τὸ πρωτότοκον τῶν προβάτων σου.
ἐναντίον κυρίου τοῦ θεοῦ σου φαγῇ αὐτὸ ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ, ἐν ᾧ τόπῳ ᾧ ἂν ἐκλέ-
ξηται κύριος ὁ θεός σου, σὺ καὶ ὁ οἶκός σου. μετὰ ταῦτα πάλιν θέα τίνα τρόπον καὶ τὰ
περὶ τῶν ἑορτῶν διαστέλλει, οὐκ ἀγόθι γῆς, ἀλλ' ἢ ἐν μόνῳ τῷ δηλουμένῳ τόπῳ,
πανηγυρίζειν. λέγει δ' οὖν, φύλαξαι τὸν μῆνα τῶν νέων, καὶ ποιήσεις τὸ πάσχα κυρίῳ
ᾧ θεῷ σου, πρόβατα καὶ βόας ἐν ᾧ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου αὐτῷ. καὶ
πάλιν ὑπομιμνήσκει, λέγων· οὐ δυνήσῃ θῦσαι τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών
σου ὧν κύριος ὁ θεός σου δίδωσί σοι, ἀλλ' εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται κύριος ὁ θεός σου.
ἐκεῖ θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμαῖς ἡλίου, ἐν ᾧ καιρῷ ᾧ ἐξῆλθες ἐκ γῆς
αἰγύπτου, καὶ ἑψήσεις, καὶ φαγῇ ἐν ᾧ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου. ὁ μὲν δὴ τῆς
τοῦ πάσχα ἑορτῆς νόμος, τοιοῦτος. ὁ δὲ τῆς πεντηκοστῆς τί φησιν, ἄκουσον. ἑπτὰ ἑβδομά-
δας ὁλοκλήρους ἐξαριθμήσεις σεαυτῷ, ἀρξαμένου σου δρέπανον ἐπ' ἀμητὸν, καὶ ποιή-
σεις ἑορτὴν ἑβδομάδων κυρίῳ ᾧ θεῷ σου, καθὰ ἰσχύει ἡ χείρ σου, ὅσα ἂν δῷ σοι. καθ' ὅτι
εὐλόγηκέν σε κύριος ὁ θεός σου. καὶ εὐφρανθήσῃ ἐνώπιον κυρίου τοῦ θεοῦ σου, σὺ καὶ ὁ υἱός

© Centre d'Études Supérieures de la Renaissance - Tours

" σε, καὶ ἡ θυγάτηρ σε. ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ λευίτης ὁ ἐν ταῖς πόλεσί σου, καὶ ὁ
" προσήλυτος καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα ἡ ἐν ὑμῖν, ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται
" κύριος ὁ θεός σε αὐτῷ, ὀνομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. καὶ τὸν τρίτον
" ἐνιαυτὸν ἔτος ἀπάρσεως ἐστι τελεῖν, ἐπάρασθαι, ἑορτὴν τῶν σκηνῶν ποιήσῃς σεαυτῷ
" ἑπτὰ ἡμέρας, ἐν ᾧ συναγαγεῖν σε ἀπὸ τοῦ ἅλωνός σου καὶ ἀπὸ τῆς ληνοῦ σου, καὶ εὐ-
" φρανθήσῃ ἐν τῇ ἑορτῇ σου σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδί-
" σκη σου, καὶ ἡ χήρα, ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεός σου ἑαυτῷ. Διὰ τοσ-
σούτων οὖν, τὸν τόπον ὁπόσον μακρόθυμος, τοσαυτάκις γε εἰπὼν εἰς αὐτὸν ἀπόν-
τᾶν παγεῖν ἢ κατοικεῖν, πῶς ἂν ἥρμοζε τοῖς Ἰησοῦ ἰσοδαίμοσι καὶ ὁπόσον μικρὸν διεγώσει, μή-
δέ γε τοῖς καθ' ὅλης Ἰησοῦ οἰκουμένης ἔθνεσι; μάλιστα ὅτε οὐδὲ συγχωρῶμεν ἐνανέμειν
τοῖς ἀλλοεθνέσι τὰ διωρισμένα, ἀφὸν δὲ καὶ πάντων τῶν μὴ τὰ πάντα τη-
" ρούντων ἐπάγει, ῥήμασιν αὐτοῖς λέγων, ὁπόσα ἐφάλλεται ὃς οὐκ ἐμμένει πᾶσι τοῖς
" γεγραμμένοις ἐν τῷδε τῷ νόμῳ τοῦ ποιῆσαι αὐτά. Θεώρησον δὲ καὶ ἀνάγκας τὰ ἀδύ-
νατα πᾶσιν ἀνθρώποις τοῦ μωσέως νομοθεσίας. Διαφθαρέντος τὰ ἑκούσια καὶ ἐκ παλαι-
πάντων ἁμαρτημάτων, καὶ ἀμοιβαίας ἀπειθοῦς ἑκάστῳ τῶν μελλόντος κολάσεως ἀξίων,
νόμους τίθησι, καθ' ὃν ἑτέρῳ τρόπῳ τὰ τοῦ ἀκουσίου πλημμελοῦντας ὑπερέφῃ.
" ὧν ὁ μὲν οὕτως ἔχει, ἐὰν ψυχὴ μία ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς, ἐν τῷ
" ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν κυρίου, ἃ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ, καὶ
" γνωσθῇ αὐτῷ ἡ ἁμαρτία ἣν ἥμαρτεν, καὶ οἴσει δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν ἄμω-
" μον, θήλειαν οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτεν, ἐν τῷ τόπῳ οὗ σφάζουσι τὰ
" ὁλοκαυτώματα, καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος. καὶ ὅρα γε ὡς ἐν ταῖς τοι-
αῦταις καὶ ἐνταῦθα γνώμαις, ἐν ᾧ τόπῳ δεῖ ἀπόντων, ἃ σφάζουσι τὰ ὁλοκαυ-
" τώματα. ἔστι δ' ἴσως, ἃ διὰ πλείστων ἤδη προτέρων ἐμνήσθη, λέγων, ὃν ἂν ἐκλέξη
" ται κύριος ὁ θεός σου. τοῦτο δ' ὅτι μὴ δυνατὸν πρὸς ἀπόντων τῶν ὅπου γῆς ἀν-
θρώπων ἐκτελεσθῆναι, καὶ αὐτὸς ὁ νομοθέτης σαφῶς ἐπεσημήνατο, ὅτε
" ἀορίστως ἐκ πάντων προσαγαγὼν τὸν νόμον, ἀνέπεισεν, ἐὰν ψυχὴ ἁμάρτῃ
" ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς. Ἐκ δευτέρου δὲ νόμον τίθησιν ὅτως ἔχοντα, ἐὰν δὲ ψυ-
" χὴ ἀκούσῃ φωνῆς ὁρκισμοῦ, καὶ αὐτὸς μάρτυς ἢ ἑώρακεν, ἢ συνοίδεν, ἐὰν μὴ ἀπαγ-
" γείλῃ, λήψεται τὴν ἁμαρτίαν. Τί οὖν χρὴ τοῦτον ποιῆσαι, ἀλλ' ἢ λαβόντα μὴ χείρας
τὸ ἱερεῖον, πευσθῆναι ὅπου τὰ καθάρσια; ποῦ πάλιν, ἀλλ' ἢ ἐν τῷ τόπῳ, οὗ σφάζουσι
" τὰ ὁλοκαυτώματα; Ἐκ τρίτου πάλιν, ψυχή, φησιν, ἥτις ἂν ἅψηται παντὸς πρά-
" γματος ἀκαθάρτου, ἢ τῶν θηρευομένων τῶν κτηνῶν τῶν ἀκαθάρτων, καὶ λάθῃ ἀπ'
" αὐτοῦ, καὶ αὐτὸς μεμίανται, καὶ πλημμελήσῃ ἢ ἅψηται ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ
" πάσης ἀκαθαρσίας αὐτοῦ ἧς ἂν ἁμάρτῃ μιανθῇ, καὶ ἔλαθεν αὐτὸν, μετὰ τοῦτο δὲ
" ἔγνω καὶ πλημμελήσῃ. Τί δὴ οὖν ἐκ τὸν μιανθέντα προσῆκον ἦν ποιῆσαι, ἀλλ' ἢ ἀπόν-
των πάλιν ἐν ᾧ τόπῳ, ἐκ προσφέρῃ περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε, θῆλυ ἀπὸ
τῶν προβάτων, ἢ ἀμνάδα, ἢ χίμαιραν ἐξ αἰγῶν, περὶ ἁμαρτίας. ὁ δ' αὐτὸς ἦν
νόμος καὶ ὅπου ψυχῆς ἢ δι' ὁμοίου διαστέλλουσα τοῖς χείλεσι κακοποιῆσαι, ἢ καλῶς
ποιῆσαι κατὰ πάντα ὅσα δι' ἀγνοίας διέλαθε διάνοιαν ὅρκου καὶ λάθῃ αὐτὸν, καὶ ἔστι
γνῷ καὶ ἁμάρτῃ ἓν τινι, τούτων, καὶ ἐξαγορεύσῃ τὴν ἁμαρτίαν περὶ ἧς ἥμαρτε, καὶ
" ἔστι δῆλα, φησιν, ὃ αὐτὸν λαβὼν ἱερεῖον εὐθέτου ἐν τῷ τόπῳ, καὶ ἐξιλάσεται περὶ
" αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία. καὶ ἀνάγκη περὶ

τοὺς

» τοὺς εἰρημένους νόμος ὧδέπη διορίζει. ψυχὴ ἡ ἂν λάθῃ αὐτὸν λήθῃ, καὶ ἁμάρτῃ
» ἀκουσίως ἀπὸ τῶν ἁγίων κυρίου, καὶ εἰσοίσει κριὸν τῆς πλημμελείας αὐτοῦ τῷ κυρίῳ.
» οἴσει δὲ πάλιν παρὰ τὸν ἀρχιερέα ἐν τῷ τόπῳ δηλαδὴ τῷ ἐξειλεγμένῳ. καὶ ἕκτον
» δὲ νόμον τούτοις προστίθησι, λέγων, ψυχὴ ἂν ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν
» τῶν ἐντολῶν ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν
» αὐτοῦ, καὶ οἴσει πάλιν κριὸν τῷ ἀρχιερεῖ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, περὶ τῆς
» ἀγνοίας αὐτοῦ ἧς ἠγνόησεν, καὶ οὗτος οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ. ἤδη δὲ ἕβδομόν
» φησι. ψυχὴ ἂν ἁμάρτῃ, καὶ παριδὼν παρίδῃ τὰς ἐντολὰς κυρίου, καὶ ψεύσηται πρὸς
» τὸν πλησίον αὐτοῦ ἐν παρακαταθήκῃ, περὶ κοινωνίας ἢ ἁρπαγῆς, ἢ ἠδίκησέ τι τὸν
» πλησίον, ἢ εὗρεν ἀπώλειαν, καὶ ψεύσηται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς
» ἀπὸ πάντων ὧν ἐὰν ποιήσῃ ἄνθρωπος, ὥστε ἁμαρτεῖν ἐν τούτοις, καὶ ἡνίκα ἂν ἁ-
» μάρτῃ καὶ πλημμελήσῃ καὶ ἀποδῷ τὰ ἅρπαγμα ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα ὃ ἠδί-
» κησεν, ἢ τὴν παρακαταθήκην, ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν ἣν εὗρεν, ἀπὸ
» παντὸς πράγματος τοῦ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ κεφάλαιον καὶ
» τὸ ἐπίπεμπτον. ἐχρῆν δ' ἂν μετὰ τὸ ἐξαγορεῦσαι τὸ ἁμάρτημα, καὶ μετὰ τὸ ἀπο-
τίσαι, σπεύδειν πάλιν πάντα ὑπερθέμενον εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται καὶ ὁ
θεὸς, καὶ προσφέρειν γε περὶ τῆς πλημμελείας κριὸν ἄμωμον. καὶ ἐξιλάσεται περὶ
αὐτοῦ ὁ ἱερεὺς ἔναντι κυρίου, καὶ ἀφεθήσεται αὐτῷ. ταῦτα καὶ περὶ τῶν δε ὁ θαυμά-
σιος μωσῆς, περί τε τῶν ἀκουσίως ἡμαρτηκότων, καὶ περὶ τῶν κατ' ἄγνοιαν ἐξηκρι-
βώσατο, πόῤῥωθεν τῶν κατὰ προαίρεσιν πλημμελημάτων, ἐφ' οἷς καὶ ἀπαραιτήτους
ὁρίζει τιμωρίας τοὺς οἰκείους ἀναστέλλων. ὁ γὰρ ἐπὶ τοῖς ἀκουσίοις μὴ πρότερον νεί-
μας συγγνώμην, ἢ ἐξαγορεῦσαι τὸ ἁμάρτημα, κἄπειτα ὥσπερ μικρὰν τιμωρίαι
διὰ τῆς προστεταγμένης θυσίας εἰς πραξάμενος τὸν ἡμαρτηκότα, διά τε τῆς
ἐπὶ τὸν ἁγνὸν τόπον ἀμελήτου πορείας τὸν σπουδὴν ὁμοῦ καὶ τὸ εὐλαβὲς ἐπιτείνας
τῶν κατ' αὐτὸν θεοσεβεῖν προῃρημένων, πῶς οὐχὶ τῶν ἑκουσίως δρωμένων πολὺ
πρότερον ἐπίσχοι ἂν τὰς ὁρμάς; τί δὴ οὖν πρὸς ταῦτα συλλογίζεσθαι χρῆν, ὅτε δὴ
» ὡς εἴρηται, συγκεφαλαιούμενος τὰ πάντα ὁ μωσῆς ἐπισκήπτει, λέγων. ἐπικατάρα-
» τος πᾶς ὃς οὐκ ἐμμενεῖ ἐν πᾶσι τοῖς ἐγγεγραμμένοις τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.
ἆρα γὰρ τοὺς ἐκ περάτων γῆς μελίοντας κατὰ μωσέα θεοσεβεῖν, ὡς ἂν φύγοιεν μὲν τὴν
κατάραν, τύχοιεν δὲ τῆς ἐπηγγελμένης πρὸς τὸν ἁβραὰμ εὐλογίας, ταῦτα πάντα
χρῆν πράττειν, καὶ τρίτον τοῦ ἔτους ἀπαντᾷν εἰς τὰ ἱεροσόλυμα; καὶ τὰς ἐκ πάν-
των δὲ τῶν ἐθνῶν θεοσεβεῖν προκεκριμένας γυναῖκας, ἄρτι τόκων καὶ ὠδίνων παυ-
σαμένας, τοσαύτην στέλλεσθαι πορείαν, ὡς ἂν τὴν προστεταγμένην ὑπὸ μω-
σέως θυσίαν ἐφ' ἑκάστῳ τῶν γεννωμένων ἀνενέγκαιεν; ἢ τοὺς ἐφαψαμένους νεκροῦ
σώματος, ἢ τοὺς ἐπίορκον ὀμωμοκότας, ἢ τοὺς ἀκούσιόν τι δεδρακότας, ἐκ περάτων
γῆς ἥκειν, τρέχειν τε καὶ σπεύδειν ἐπὶ τὸν νενομοθετημένον καθαρισμὸν, ὡς ἂν ἐκ-
φύγοιεν τὴν τῆς κατάρας ἐπίσκηψιν; ἀλλὰ συνορᾷς ὡς καὶ αὐτοῖς τοῖς ἀμφὶ τὰ ἱε-
ροσόλυμα κατοικοῦσι, καὶ ἐπιμόνης τῆς ἰουδαίας τὰς διατριβὰς ποιουμένοις ὁ
κατὰ μωσέα βίος δυσκατόρθωτος ἦν; μήτι γε δυνατὸς ἐπιτελεῖσθαι καὶ τοῖς λοιποῖς
ἔθνεσιν. ἔνθεν εἰκότως ὁ σωτὴρ καὶ κύριος ἡμῶν ὁ υἱὸς τοῦ θεοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀ-
» νάστασιν τοῖς αὐτοῦ μαθηταῖς εἰπὼν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη,

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἐπιλέγει, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. οὐ γὰρ τὰ μω-
σέως νόμιμα διδάσκειν πάντα τὰ ἔθνη παρεκελεύσατο, ἀλλ' ὅσα αὐτὸς ἐνετείλατο.
ταῦτα δ' αὖ, τὰ ἐν τοῖς εὐαγγελίοις αὐτοῦ φερόμενα. εἰκότως οὖν καὶ οἱ αὐτοῦ μα-
θηταὶ καὶ οἱ ἀπόστολοι, ἐν τῇ περὶ τῶν ἐθνῶν σκέψει ὁμολογοῦσι, μὴ δύνασθαι τὰ
μωσέως νόμιμα τοῖς ἔθνεσιν ἐφαρμόζειν. ὅτε μήτε αὐτοῖς, μήτε τοῖς πατράσιν αὐ-
» τῶν εὐκατόρθωτα γέγονεν. λέγει δ' οὖν ἐν ταῖς πράξεσιν ὁ πέτρος. νῦν οὖν τί
» πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πα-
» τέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; εἰκότως δὲ καὶ αὐτὸς ὁ μωσῆς τούτων
αὐτῶν ἕνεκεν, ἕτερον παρ' ἑαυτὸν ἀναστήσεσθαι ἔφη προφήτην, καὶ τοῦτον νομοθέ-
την ἔσεσθαι τῶν ἐθνῶν ἁπάντων εὐαγγελίζεται, τὸν χριστὸν αἰνιττόμενος, αὐτῷ τε πεί-
» θεσθαι τοῖς οἰκείοις παραινεῖ, ᾧδέ πη καὶ τοῦτο θεσπίζων, προφήτην ἡμῖν ἀναστήσει
» κύριος ὁ θεὸς, ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν
» λαλήσῃ ὑμῖν. ἔσται δὲ, πᾶσα ψυχὴ, ἥ τις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξο-
λοθρευθήσεται ἐκ τοῦ γένους αὐτῆς. ἐκ τοῦτον δὲ τὸν προφήτην, δηλονότι τὸν
χριστὸν, ἐξ ἰουδαίων προσηθόντα, πάντων τῶν ἐθνῶν κατακρατήσειν πάλιν ἀνα-
» φωνεῖ, λέγων, ὡς καλοὶ οἱ οἰκοίσου ἰακὼβ, αἱ σκηναί σου ἰσραὴλ, ὡσεὶ νάπαι σκιά-
» ζουσαι, καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμὸν, ὡς σκηναὶ ἃς ἔπηξεν κύριος. ἐξελεύσεται
» ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται
» ἡ βασιλεία αὐτοῦ. ἀλλὰ καὶ ἐξ ὁποίας φυλῆς, δώδεκα τῶν ὅλων παρ' ἑβραίοις οὐσῶν. ὅτι
δὴ ἀπὸ τῆς ἰούδα ὁ θεσπιζόμενος τῶν ἐθνῶν νομοθέτης χριστὸς προσηγεύσεται. καὶ
κατὰ ποίους χρόνους, ὅτι μετὰ τὴν ἔκλειψιν τῶν ἐκ προγόνων διαδοχῆς τοῦ ἰουδαί-
» ων ἔθνους ἀρξάντων, δηλοῖ λέγων, οὐκ ἐκλείψει ἄρχων ἐξ ἰούδα, καὶ ἡγούμενος
» ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν.
ποία δὲ προσδοκία ἦν, ἀλλ' ἢ ἡ τῷ ἁβραὰμ ἐπηγγελμένη περὶ τοῦ δεῖν εὐλογη-
θήσεσθαι ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς; πέφηνε τοιγαροῦν ἐκ αὐτὸς ὁ μωσῆς ἀ-
κριβῶς ἐπιστάμενος, τὴν μὲν πρὸς αὐτοῦ διαταγεῖσαν νομοθεσίαν ἐξασθενεῖν,
εἰς τὸ πᾶσιν ἐφαρμόσαι τοῖς ἔθνεσιν. εἰς ἐκπλήρωσιν δὲ τῶν πρὸς τὸν ἁβραὰμ
χρησμῶν, ἑτέρου δεῖσθαι προφήτου. οὗτος δ' ἄρα ἦν, ὃν ἐξ ἰούδα φυλῆς προ-
σηγεύσεσθαι, καὶ πολλῶν ἐθνῶν κυριεύσειν προμαρτυρόμενος εὐηγγελίζετο.

Τί δή ποτε τὰ παρὰ ἰουδαίοις ἀποδεχόμενοι λόγια, τὸν παρ' αὐτοῖς
βίον παρῃτησάμεθα.

Δ ιὰ δὴ οὖν ταῦτα ὡσὰν τὰ περὶ ἡμῶν τῶν ἐθνῶν θεσπίσματα περιεχούσας τὰς
παρ' ἑβραίοις ἱερὰς βίβλους, ἅτε καὶ ἡμῶν οἰκείας οὔσας εἰλάμεθά τε καὶ ἐστέρ-
ξαμεν, ὅτε μάλιστα οὐ μόνον μωσῆς περὶ τοῦ μετ' αὐτὸν ἥξοντος νομοθέτου τῶν ἐ-
θνῶν προανεφώνει, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν προφῆται συλλήβδην εἰπεῖν ἅπαν-
» τες τὰ ὅμοια προεκήρυττον. ὥσπερ οὖν ὁ δαβὶδ φάσκων, κατάστησον κύριε νομο-
» θέτην ἐπ' αὐτοὺς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. ὅρα ὡς δευτέρου μέμνηται
καὶ οὗτος νομοθέτου ἐθνῶν. διὸ καὶ ἐν ἑτέρῳ τοῖς ἔθνεσι προσφωνεῖ ᾄδειν, οὐ τὸ πα-
» λαιὸν καὶ μωσαϊκὸν ᾆσμα, ἀλλ' ἕτερον καινὸν, λέγων, ᾄσατε τῷ κυρίῳ ᾆσμα και-
» νὸν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. ἐν πᾶσι
τοῖς

© Centre d'Études Supérieures de la Renaissance - Tours

» τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν
» ἐπὶ πάντας τοὺς θεούς. ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν, δαιμόνια. ὁ δὲ κύριος, τοὺς οὐρα-
» νοὺς ἐποίησεν. ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δό-
» ξαν ὀνόματι αὐτοῦ. καὶ πάλιν. εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε. καὶ γὰρ
» κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. καὶ πάλιν. ᾄσατε τῷ κυρίῳ
» ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησεν. ἐγνώρισεν κύριος τὸ σωτήριον αὐτοῦ. ἐναντίον
» τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς
» τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν. καὶ ὅρα τίνα τρόπον ἐν τούτοις τὸ καινὸν ᾆσμα οὐ τῷ ἰου-
δαίων ἔθνει, ἀλλὰ τοῖς πᾶσιν ἔθνεσι καταγγέλλει, τῶν διὰ μωσέως παλαιοῦ, μόνοις ἰου-
δαίοις προσήκοντος. τοῦτό τοι τὸ καινὸν ᾆσμα, καινὴν διαθήκην ἱερεμίας ἕτερος
» ἑβραίων προφήτης ἀποκαλεῖ, λέγων, ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθ-
» ήσομαι τῷ οἴκῳ ἰσραὴλ, καὶ τῷ οἴκῳ ἰούδα διαθήκην καινήν. οὐ κατὰ τὴν διαθ-
» ήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐν ᾗ ἐπελαβόμην τῆς χει-
» ρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου. ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθ-
» ήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος. ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσο-
» μαι τῷ ἰσραὴλ, λέγει κύριος, διδοὺς νόμους μου ἐπὶ τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς
» καρδίας αὐτῶν γράψω, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαός. ὁρᾷς καὶ
τοῦτον ὡς διαστελλόμενος δύο διαθήκας, τὴν μὲν παλαιὰν ὀνομάζει, τὴν δὲ
καινήν; καί φησιν τὴν καινὴν οὐ κατὰ τὴν παλαιὰν ἔσεσθαι, ἣν διέθετο τοῖς πατράσιν.
ἡ μὲν γὰρ, τοῖς ἀποπεσοῦσι τῆς τῶν προγόνων εὐσεβείας ἰουδαίοις, τὸν αἰγυπτια-
κὸν δὲ βίον καὶ τρόπον ζηλώσασιν, ἐπί τε τὴν πολύθεον πλάνην, καὶ τὴν ἀμφὶ τὰ εἴ-
δωλα τῶν ἐθνῶν δεισιδαιμονίαν ὀλισθήσασιν νενομοθέτητο. ὡς ἂν πεσόντας ἀνεγείρου-
» σα, καὶ ἀνορθοῦσα τοὺς πρὴν εἰς κειμένους καταλλήλοις διδασκαλίαις. δικαίοις γάρ,
» φησι, νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, καὶ τοῖς
» παραπλησίοις. ἡ δὲ καινὴ, τοὺς διὰ τοῦ σωτῆρος ἡμῶν χάριτι καὶ δωρεᾷ θεοῦ ἀνε-
γηγερμένους, ἐπὶ τὸ βαδίζειν καὶ σπεύδειν εἰς τὴν ἐπηγγελμένην τοῦ θεοῦ βασιλείαν
χειραγωγεῖ, πάντας ἐπίσης ἀνθρώπους εἰς μίαν καὶ τὴν αὐτὴν τῶν ἀγαθῶν
μετουσίαν προκαλουμένη. ταύτην τὴν καινὴν διαθήκην αὖθις νόμον ὀνομά-
» ζει καινὸν ἡσαΐας ἀλλος πάλιν ἑβραίων προφήτης, λέγων, ἐκ γὰρ σιὼν ἐξελεύσεται
» νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἥξουσι πάν-
» τα τὰ ἔθνη, καὶ σύναχθήσονται πάντες οἱ λαοὶ, καὶ ἐροῦσι, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ
» ὄρος κυρίου, καὶ εἰς τὴν οἶκον τοῦ θεοῦ ἰακώβ. τίς δ' ἂν εἴη ὁ ἐκ σιὼν προελεύθεος νό-
μος ἕτερος ὢν τοῦ ἐπὶ τῆς ἐρήμου διὰ μωσέως ἐν τῷ σινὰ ὄρει νενομοθετημένου,
ἀλλ' ἢ ὁ εὐαγγελικὸς λόγος ὁ διὰ τοῦ σωτῆρος ἡμῶν ἰησοῦ τοῦ χριστοῦ, καὶ τῶν ἀπο-
στόλων αὐτοῦ, ἐκ τῆς σιὼν προελεύθεος καὶ διελθὼν πάντα τὰ ἔθνη; πρόδηλον γὰρ ὡς
ἀπὸ τῆς ἱερουσαλὴμ, καὶ τοῦ ταύτῃ προσπαρακειμένου σιὼν ὄρους, ἔνθα τὰς πλεί-
στας διατριβάς τε καὶ διδασκαλίας ὁ σωτὴρ καὶ κύριος ἡμῶν πεποίητο, ὁ τῆς και-
νῆς διαθήκης αὐτοῦ ἀρξάμενος νόμος, κἀκεῖθεν προελθὼν, εἰς πάντας ἐξέλαμ-
ψεν ἀνθρώπους, ἀκολούθως ταῖς αὐτοῦ φωναῖς, ἃς πρὸς τοὺς αὐτοῦ μαθητὰς πε-
» ποίητο, φήσας. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τη-
» ρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. τίνα δὲ ταῦτα ἦν, ἀλλ' ἢ τὰ τῆς καινῆς διαθ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

θήκης μαθήματά τε καὶ παιδεύματα; ἐπεὶ τοίνυν ταῦτ' οὕτως ἔχειν ἀποδέδεικται, ὥρα νῦν ἰδεῖν τὸν τρόπον τῆς καινῆς διαθήκης, καὶ τοῦ προκεκηρυγμένου καινοῦ ᾄσματός τε καὶ νόμου.

Τίς ὁ τοῦ χριστοῦ τῆς καινῆς διαθήκης τρόπος.

Η μὲν δὴ παλαιὰ διαθήκη καὶ ὁ διὰ μωσέως νόμος, μόνῳ τῷ ἰουδαίων ἔθνει καὶ τούτῳ ἐπὶ τῆς οἰκείας γῆς οἰκοῦντι κατάλληλος ἀποδέδεικται. οὔτε δὲ τοῖς λοιποῖς ἔθνεσι τοῖς κατ' ὅλης τῆς οἰκουμένης, οὔτε τοῖς ἐπὶ γῆς ἀλλοδαπῆς ἀπῳκισμένοις ἰουδαίοις. ἐν δὲ τῆς καινῆς διαθήκης τρόπον πᾶσιν ἔθνεσιν βιωφελῆ χρῆν δήπου καταστῆναι, ὡς μηδαμῶς μηδαμόθεν παραποδίζεσθαι τοὺς κατὰ τοῦτον πολιτεύεσθαι μελλόντας, μήτ' ἀπὸ χώρας, μήτ' ἀπὸ γένους, μήτ' ἀπὸ τόπου, μήτε ἔκτινος ἑτέρου τὸ σύνολον. τοιοῦτος δὲ πέφηνεν ὁ πρὸς τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ νενομοθετημένος νόμος τε καὶ βίος, τὴν παλαιοτάτην καὶ πρεσβυτέραν μωσέως εὐσέβειαν ἀνανεούμενος, κατ' ἣν ὁ θεοφιλὴς ἀβραὰμ καὶ οἱ τούτου προπάτορες δείκνυνται πεπολιτευμένοι. εἰ γοῦν ἐθελήσειας τόν τε χριστιανῶν βίον, καὶ τὴν ὑπὸ τοῦ χριστοῦ πᾶσιν ἔθνεσι καταβεβλημένην θεοσέβειαν συνεξετάσαι τῷ τρόπῳ τῶν ἀμφὶ τὸν ἀβραὰμ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ μεμαρτυρημένων, ἕνα καὶ τὸν αὐτὸν εὑρήσεις. ἐκεῖνοί τε γὰρ τῆς πολυθέου πλάνης ἀποχωρίσαντες, καὶ τὴν περὶ τὰ ἀγάλματα δεισιδαιμονίαν ἀποστραφέντες, ὑπερκύψαντες δὲ καὶ τὴν ὁρωμένην ἅπασαν κτίσιν, καὶ μήτ' ἥλιον, μήτε σελήνην, μήτέ τι τῶν μερῶν τοῦ παντὸς θεοποιήσαντες, ἐφ' ἕνα τὸν ἀνωτάτω θεὸν αὐτὸν δὴ τὸν ὕψιστον τὸν οὐρανοῦ καὶ γῆς δημιουργὸν, ἑαυτοὺς ἀνήγαγον. ὃ καὶ σύνιστησιν αὐτὸς ὁ μωσῆς ἐν ταῖς τῆς ἀρχαιολο-
» γίας ἱστορίαις. τὸν ἀβραὰμ ἀναγράφων φάσκοντα. ἐκτενῶ τὴν χειράμου πρὸς
» τὸν θεὸν ὕψιστον, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πρό γε τούτου εἰσάγων τὸν μελχισεδὲκ, ὃν δή φησιν ἱερέα γεγονέναι τοῦ θεοῦ τοῦ ὑψίστου, τὸν ἀβραὰμ ὧδέ πως
» εὐλογοῦντα. εὐλογημένος ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισεν τὸν οὐρανὸν καὶ
» τὴν γῆν. εὕροις δ' ἂν καὶ τὸν ἐνὼχ καὶ τὴν νῶε δικαιωθέντας καὶ εὐαρεστήσαντας τῷ θεῷ κατὰ τὸν αὐτὸν τῷ ἀβραὰμ τρόπον. ἀλλὰ καὶ ὁ ἰὼβ ἄνθρωπος δίκαιος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος πρὸ τῶν μωσέως χρόνων μεμαρτύρηται. ὃς δὴ καὶ πεῖραν τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας δι' ἀθρόας τῆς τῶν ὑπαρχόντων ἀποβολῆς ὑποσχὼν, μέγιστον εὐσεβοῦς ὑπόδειγμα τρόπου καὶ τοῖς μετ' αὐτὸν ἀπολελοίπεν, τὸν φιλόσοφον ἐκεῖνον ἐπιφωνήσας λόγον,
» γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ὁ κύριος ἔδωκεν,
» ὁ κύριος ἀφείλετο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου
» εὐλογημένον. καὶ τὴν ἁπάντων κύριον σέβων ταύτας ἠφίει τὰς φωνὰς, ἃς προϊὼν ὁ
» αὐτὸς διαταφεῖ, δι' ὧν φησι, σοφὸς γάρ ἐστι διανοίᾳ, κραταίος τε καὶ μέγας, ὁ σείων
» τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων. οἱ δὲ στύλοι αὐτῆς ταλεύονται. ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος. εἰδὴ οὖν τοῦτον αὐτὸν ἐκεῖνον τὸν πάλαι καὶ πρὸ μωσέως θεοφιλῶν θεὸν, ἔναγχος πᾶσι τοῖς ἔθνεσιν ὁ χριστοῦ λόγος ὁμοίως ἐκείνοις μόνον εὐσεβεῖν διετάξατο, πέφηνεν ὅπως κοινωνοὶ γεγενήμεθα τῆς ἴσης αὐτῶν ἐκείνων εὐσεβείας. τῆς δὲ εὐσεβείας μεταχόντες

δῆλον

© Centre d'Études Supérieures de la Renaissance - Tours

δῆλον ὡς καὶ τῆς εὐλογίας μεταληψόμεθα. ἀλλὰ καὶ τὸν τοῦ θεοῦ λόγον, ὃν δὴ χριστὸν ἡμῖν προσαγορεύειν φίλον, ὁμοίως κἀκεῖνοι γνόντες ἐμαρτυρήθησαν. οἵγε καὶ πολὺ διαφερόντως τῆς ἐμφανοῦς αὐτοῦ παρουσίας τε καὶ θεοφανείας ἠξιώθησαν. ἐπάκουσον γοῦν ὡς πάλιν αὐτὸς ὁμωσῆς τὸν ἐπιφανέντα τοῖς θεοφιλέσι, καὶ πολλάκις χρηματίσαντα αὐτοῖς τὰ ἀναγεγραμμένα, ποτὲ μὲν θεὸν καὶ κύριον, ποτὲ δὲ καὶ ἄγγελον θεοῦ προσαγορεύει. θεὸς μὲν καὶ κύριος τῶν θεοφιλῶν ἀνδρῶν ἀνηγορευ-
» μένος, ἄγγελος δὲ τοῦ ἀνωτάτου πατρός. λέγει δ' οὖν αὐτοῖς ῥήμασι, καὶ ἐπορεύθη
» ἰακὼβ εἰς χαρὰν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ. ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν
» ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν ᾧ τόπῳ ἐκεί-
» νῳ, καὶ ἐνυπνιάσθη. καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς
» τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτήν. ὁ δὲ κύριος ἐπε-
» στήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ κύριος ὁ θεὸς ἁβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς ἰσα-
» άκ. μὴ φοβοῦ, ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ ᾧ σπέρματί σου, καὶ
» ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς. οἷς ἑξῆς ἐπιλέγει, καὶ ἀνέστη ἰακὼβ τὸ πρωΐ,
» καὶ ἔλαβε τὸν λίθον ὃν ὑπέθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην. εἶτα πρωΐ
αὐτὸν δὴ τοῦτον τὸν ἐπιφανέντα αὐτῷ θεὸν καὶ κύριον, ἄγγελον ὀνομάζει θεοῦ. φησὶ γοῦν
» ὁ ἰακὼβ, καὶ εἶπέν μοι ὁ ἄγγελος τοῦ θεοῦ κατὰ ὕπνον, ἰακώβ. ἐγὼ δὲ εἶπα, τί ἐστιν. καὶ
» ἑξῆς, ἑώρακά, φησι, πάντα ὅσα λάβαν ποιεῖσοι. ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ
» θεοῦ οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν. ὁ δ' αὐτὸς οὗτος καὶ ᾧ ἁβρα-
ὰμ παραφανεὶς, θεὸς καὶ κύριος ἀνηγόρευται, μυσταγωγῶν τὸν θεοφιλῆ τὰς περὶ τοῦ
πατρὸς αὐθεντίας, καί τινα ὡς περὶ ἑτέρου θεοῦ διδάσκων. ἃ καὶ κατὰ καιρὸν ἐπισκεψό-
μεθα. ἀλλὰ καὶ ᾧ ἰὼβ οὐδένα ἢ τοῦτον εἶναι τὸν χρηματίσαντα μετὰ τὴν αὐτάρκη
διαγυμνασίαν, οὐ θεμιτὸν εἰπεῖν. πρότερον μὲν γὰρ διὰ λαίλαπος καὶ νεφῶν ἐπιφα-
νεὶς αὐτῷ, τὸν ὅλων θεὸν ἑαυτὸν ὄντα παρίστη. προϊὼν δὲ ἑξῆς ἑαυτὸν ἐπιδείκνυσι, ὥς-
» τε φάναι τὸν ἰὼβ, ἄκουσον δέ μου κύριε, ἵνα κἀγὼ λαλήσω. ἀκοὴν μὲν φωνῆς ἤ-
» κουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε. εἰ δὲ μὴ οἷόν τε τὸν ἐπέ-
κεινα θεὸν, τὸν ἀόρατον καὶ ἀγένητον, καὶ παμβασιλέα τῶν ὅλων θνητῇ φάναι θεω-
ρεῖσθαι φύσει, τίς ἂν ὁ δηλούμενος εἴη, πλὴν τοῦ πρὸς ἡμῶν μετὰ τὸν πατέρα κυ-
ριολογουμένου θεοῦ λόγου; καὶ τί δεῖ πλείονα περὶ τούτου συναγαγεῖν, παρὸν ἐκ
τῶν ἱερῶν βίβλων τὰς τούτων συστάσεις λαμβάνειν; ἃς καὶ αὐτοὶ κατὰ τὴν προκειμέ-
νην ὑπόθεσιν ἐπὶ σχολῆς ἀναλεξόμεθα, εἰς ἀπόδειξιν τοῦ μηδὲ ἀλλόν, ἢ τὸν τοῦ θεοῦ
λόγον εἶναι τὸν τοῖς θεοφιλέσι προπάτορσιν ἑωραμένον. οὐκοῦν μετὰ τὴν περὶ τοῦ
τῶν ὅλων δημιουργοῦ διάληψιν, καὶ τὰ περὶ τοῦ χριστοῦ κοινῶς ἡμῖν τε κἀκείνοις
παραδέδοται. ἔνθεν καὶ χριστοὺς αὐτοὺς δὴ ἐκείνους τοὺς πρὸ μωσέως θεοφιλεῖς, ὥς-
περ οὖν ἡμᾶς χριστιανοὺς, εὕροις ἂν κεκλημένους. καὶ τοῦτο δὲ ἐπάκουσον, ὥς φησι
» περὶ αὐτῶν ἐν ψαλμοῖς τὸ λόγιον, ἐν ᾧ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ
» παροίκους ἐν αὐτῇ, καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον.
» οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς, λέγων,
» μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. ταῦτα
γὰρ ἐπὶ τοῦ ἁβραὰμ, καὶ τοῦ ἰσαὰκ, καὶ τοῦ ἰακὼβ ἀνειρῆσθαι ἡ πᾶσα σύμφρασις τοῦ
λόγου παρίστησιν. ὥστε καὶ τῆς τοῦ χριστοῦ προσηγορίας ἡμῖν ὁμοίως ἐκοινώνουν.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τίς ὁ κατὰ τὴν καινὴν διαθήκην κατηγγελμένος ὑπὸ τοῦ χριστοῦ πᾶσιν ἀνθρώποις βίος.

Ἀλλὰ καὶ ὁ κατ' ἀρετὴν βίος, ἥτε κατὰ εὐσέβειαν πολιτεία, ὥσπερ τοῖς ἔθνεσιν ἅπασι διὰ τῆς τοῦ χριστοῦ νουθεσίας κεκήρυκται, δίχα τῆς κατὰ μωσέα διαταγῆς, οὕτως καὶ τοῖς παλαιοῖς ἐκείνοις ὁ αὐτὸς τῆς εὐσεβείας κατωρθοῦτο τρόπος. οὔτ' οὖν σώματος αὐτοῖς περιτομῆς ἔμελεν, ὅτι μηδ' ἡμῖν. οὔτε ἀποχῆς τῶν τοιῶνδε ζώων βρώσεως, ὅτι μηδὲ ἡμῖν. αὐτίκα τὸν μελχισεδὲκ ὁ μωσῆς εἰσάγει ἱερέα τοῦ θεοῦ ὑψίστου, οὐ τὸ σῶμα περιτετμημένον, οὐ μύρῳ σκευαστῷ κατὰ μωσέα κεχρισμένον, οὐ σάββατον τί ποτ' ἐστιν εἰδότα, οὐ δ' ὅλως τι τῶν μετὰ ταῦτα ὡς πάντι ἰουδαίων ἔθνει διὰ μωσέως παρηγγελμένων ἐπαίοντα· ἀντίκρυς δὲ κατὰ τὸ χριστοῦ εὐαγγέλιον βιοῦντα. πλὴν ἀλλ' ὅμως ἱερέα τοῦ θεοῦ τοῦ ὑψίστου φησὶν αὐτὸν ὁ μωσῆς γεγονέναι, καὶ τοῦ ἀβραὰμ κρείττονα. εἰσῆκται γοῦν τὸν ἀβραὰμ εὐλογῶν. τοιοῦτός τις ἦν καὶ νῶε, ἀνθρώπος δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ, ὃν καὶ ζώπυρον σπέρμα ὡς γένει τῶν ἀνθρώπων ἐν τῇ τοῦ κατακλυσμοῦ φθορᾷ πάντων τῶν ἐπὶ γῆς ἀπολλυμένων, ὁ τῶν ὅλων θεὸς διεφύλαξεν. οὐδὲν γοῦν οὐδὲ οὗτος τῶν ἰουδαϊκῶν ἐθῶν ἐπιστάμενος, οὔτε ἐν περιτομῇ σώματος, οὔτ' ἐν τοῖς ἄλλοις τοῖς ὑπὸ μωσέως διατεταγμένοις, ὅμως δίκαιος εἰ καί τις ἄλλος, ἀνηγόρευται. καὶ πρό γε τούτου ὁ ἐνὼχ, ὃς καὶ λέγεται εὐηρεστηκέναι ὡς θεῷ, καὶ μετατεθεῖσθαι ὡς μὴ εὑρίσκεσθαι αὐτοῦ θάνατον. τοιοῦτος δὲ καὶ οὗτος γεγονὼς, οὔτε σῶμα περιτέτμητο, οὔτ' ἔτι τῆς μωσέως μετῄει νομοθεσίας, ἀντίκρυς δὲ χριστιανικῶς, ἀλλ' οὐχὶ ἰουδαϊκῶς ζῶν ἀναπέφηνε. καὶ αὐτὸς δ' ὁ ἀβραὰμ μετὰ τοὺς προωνομασμένους γεγονὼς, καὶ νεώτερος παρ' αὐτοὺς τοῖς χρόνοις, πρεσβύτης δὲ διὰ τὴν ἡλικίαν, διὰ τοὺς μελλόντας ἐξ αὐτοῦ φῦναι, ὥσπερ τινα σφραγῖδα τὴν περιτομὴν πρῶτος ὑπέμεινε τοῦ σώματος, γνώρισμα τῆς αὐτοῦ διαδοχῆς, τοῖς ἐξ αὐτοῦ κατὰ σάρκα γενησομένοις τουτὶ τὸ σημεῖον παραδιδοὺς φέρειν. πρὸ δέγε τῆς παιδοποιίας καὶ πρὸ τῆς περιτομῆς καὶ αὐτὸς διὰ τῆς τῶν εἰδώλων ἀναχωρήσεως, καὶ τῆς ἑνὸς τοῦ ἐπὶ πάντων θεοῦ ὁμολογίας, καὶ διὰ μόνου τοῦ κατ' ἀρετὴν βίου δείκνυται χριστιανικῶς, ἀλλ' οὐχὶ ἰουδαϊκῶς βεβιωκώς. μεμαρτύρηται γοῦν τὰ προστάγματα καὶ τὰς ἐντολὰς, τά τε δικαιώματα, καὶ τὰ νόμιμα τοῦ θεοῦ, πρὸ τῆς μωσέως διαταγῆς πεφυλαγμένος. λέγει δ' οὖν πρὸς τὴν ἰσαὰκ ὁ χρηματίζων θεὸς, καὶ δώσω ὡς σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ ἐνευλογηθήσονται ἐν ᾧ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. ἀνθ' ὧν ὑπήκουσεν ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰς ἐντολάς μου, καὶ τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου. ἦν γὰρ καὶ πρὸ τοῦ μωσέως νόμου προστάγματα θεοῦ ἕτερα καὶ δικαιώματα, οὐχ ὅμοια τοῖς παρὰ μωσεῖ. νόμιμά τε ἄλλα καὶ ἐντολαὶ χριστοῦ, δι' ὧν ἐδικαιώθησαν. ὅτι δ' οὐ τὰ αὐτὰ ἦν τοῖς διὰ μωσέως νομοθετηθεῖσι, σαφῶς ὁ μωσῆς παρίστησιν, ἐν οἷς φησιν πρὸς τὸν λαὸν, ἄκουε ἰσραὴλ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐγὼ λαλῶ ἐν τοῖς ὠσὶν ἡμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ, καὶ φυλάξασθε ποιεῖν αὐτά. κύριος ὁ θεὸς ὑμῶν διέθετο πρὸς ὑμᾶς ἐν χωρὴβ διαθήκην. οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο κύριος τὴν διαθήκην ταύτην, ἀλλὰ πρὸς ὑμᾶς. καὶ ὅρα γε ὅπως ἀκριβῶς φησι τὴν διαθήκην ταύτην, ἐπεὶ μὴ τὴν αὐτὴν τοῖς πατράσιν αὐτῶν διετέθειτο. εἰ δ'

οὖν

οὖν ἀπολύτως μὴ δεδόσθαι τοῖς πατράσιν αὐτῶν ἀφεσιν εἰρήκει, ψευδὴς ἂν
ἦν ὁ λόγος αὐτοῦ. δέδοται γοῦν τῷ Ἀβραὰμ ἄφεσις, καὶ ὧν ἅγιος, ὡς καὶ ἱερὰ μυ-
ρία λόγια. ἀφ' οὗ τοίνυν μὴ πρὸ τοῦ νόμου ὁ μωσῆς, οὐ ταύτην φησὶ δεδόσθαι τοῖς πα-
τράσιν αὐτῶν, ἑτέραν ἀντιπάλωσιν τῇ κρείττονι ἀφέσεως. δι' ἧς καὶ θεοφι
λὴς ἀπεφάνθησαν. αὐτίκα γοῦν Ἀβραὰμ ἀφὰ πίστεως εἰς τὸν τῶν ὅλων θεὸν πίστεως τὰ
» τῆς δικαιοσύνης κατορθώσας μεμαρτύρηται· ἐπ' αὐτῷ μωσέως λέγοντος, ἐπίστευσε
» δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ὅτι δὲ μὴ τὴν τῆς δικαιο
σύνης κατόρθωσιν, καὶ μὴ τὴν ἐπ' ἀσεβείᾳ μαρτυρίαν τὴν τῆς περιτομῆς εἴλη-
φε σημεῖον, καὶ μηδὲν πρὸς ἀσεβείας δικαίωσιν αὐτῷ τοῦτ' συνεβάλετο, σαφῶς ὁ
λόγος πρίσηται. λέγεις δ' δὴ καὶ τὸν ἰωσὴφ πρὸ τῶν μωσέως χρόνων ἐν τοῖς αἰγυ
πτίων βασιλείοις ἀπόδραν φυλάκτως, μὴ οὐκ ἰουδαϊκῶς ἀληθέντα. εἰ δὲ θέλεις, καὶ τὸν
κορυφαῖον αὐτὸν καὶ νομοθέτην τῶν ἰουδαίων ἐθνους μωσέα, γνοίης δὴ ἐξ ἑβδο
μάδας ἡλικίας πρὸ τῆς τοῦ αἰγυπτίου βασιλέως θυγατρὸς τὰς ἀφανείας πεποιη-
μένον, ἐφ' ᾗς τε τὴν αἰγυπτίας ἀπόδρασιν μετειληχότα. τί δεῖ λέγειν τὸν τερ-
μαναῖον ἰησοῦν, τὸν ἀλησθῆ δαυὶδ τὸν σκέψιον, τὸν ἀμεμπτον, τὸν δίκαιον, τὸν θεοσεβῆ;
τὸν εἰς ἄκρον εὐσεβείας αὐτῷ καὶ δικαιοσεφείας, τίς ἀφορμὴ ἦν; μήτι γε τὰ μω
σέως πρόδηλα; ἀδάμαντος. ἀμὰ γὰρ ἀβραὰμ ἡμέρας ὑπομένησις ἦν, ἢ ἴυνος ἀνὴρ
ἰουδαϊκῆς ἔθελοθρησκίας φυλακή; πόθεν, πρεσβυτέρῳ τῶν χρόνων μωσέως, καὶ τῆς
κατ' αὐτὸν νομοθεσίας γυμνάζων; ὁ μὲν γὰρ μωσῆς, ἑβδόμος ἐξ ἀβραὰμ γενεαλογεῖ-
ται. οὗτοι γ', πέμπτος, δυσὶ πρὸς τέτραις τὰ μωσέα γενεαῖς πρόγων. θεὰ δ' οὖν
καὶ τοῦτου τὸν βίον, μωσέως μὲν τὴν νομοθεσίας ὀρθὴν ἐπαγόμενον· τὸν γε μὴν ἀφ' ἑσπέρας λιμένα
ἀναγελικῆς διδασκαλίας, οὐκ ἀλλότριον. λέγει δ' οὖν αὐτὸς τὸν ἑαυτοῦ διεξιὼν βίον,
» ἐν τῇ πρὸς τοὺς ἑταίρους ἀπολογίᾳ, διέβαινον γὰρ πλωτὸν οὐ χέρσου δυνάτου, καὶ ὁρ
» φανῷ ᾧ οὐκ ἦν βοηθὸς, ἐβοήθησα. σῶμα γ' χέρσας με ἀλόγησεν, δικαιοσύνῃ δὲ
» ἀνεδεδύκειν. ἡμφιεσάμην γ' κρίμα ὡς διπλοΐδι, ὀφθαλμὸς ἦμην τυφλῶν,
» ποὺς γ' χωλῶν, ἐγὼ πατὴρ ἀδυνάτων. αὐτὰ δὴ ταῦτα, δῶτορες καὶ πᾶσιν
» ἡμῖν ἀφ' ἧς ἀναγελικῆς διδασκαλίας μαθήματα κηρυττόμενα. ἀμὰ καὶ ὡς εἰ-
» δὼς δ' μᾶλλον ὃ κλαίειν μὴ κλαιόντων· καὶ ὃ, μακάριοι οἱ κλαίοντες, ὅτι γελάσουσι)·
» καὶ ὃ, εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· ἐν τοῖς τῆς ἀναγελικῆς διδασκα
λίας μαθήμασιν παρεισχόμενα, ὃ πρὸς τοὺς ἐν τῷ βίῳ ταλαιπωρουμένους φι-
» λάνθρωπον ἐπεδείκνυε, λέγων, ἐγὼ γ' ὅτι πάντι ἀδυνάτῳ ἔκλαυσα. ἐπεὶ ἆρα γ'
» ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. εἶτα πάλιν τὴν ἀναγελικῆς διδασκαλίας τοὺς ἀσύμφυτους ἀ-
» παγορεύσας γλώσσας, πρεσβεύων ὁ μακάριος φησιν, εἰ γ' ἡμῶν πεπορδυμένος
» μὴ γλωσσῶν. εἰ γ' ἐκκωφύδασεν ὁ ποὺς μου εἰς δόλον. ἔσαμαι γ' ἐν ζυγῷ δικαίῳ. οἶ-
» δεν γ' ὁ κύριος τὴν ἀκακίαν μου. ὅπως γ' ὁ δὲ μωσεῖ λόγος νομοθετεῖ, λέγων, ἅ μοι
» χεύσῃς. ἀναβὰν τε κτὶ μοιχῶν ὑπολαφίζεται. ὁ γ' τῆς ἀναγελικῆς διδασκαλίας τὸν
» νόμον ὑπερτείνων φησὶν, ἐρρέθη τοῖς ἀρχαίοις, ἅ μοιχεύσῃς. ἐγὼ γ' λέγω ὑμῖν, μηδὲ
» τὴν ἀρχὴν ὑπθυμεῖν. σκέψασθε καλῶς τὸν περὶ οὗ νῦν ὁ λόγος, ὃς κτὶ ὃ ἀρίστου
βιοὺς ἀναγέλιον, καὶ ὃ μετ' ὑπθυμίας ἀκολασότερον ἐμβλέπειν πρεφυλάττετο,
ἐφ' ᾧ καὶ ἐσεμνύνετο, λέγων. εἰ δὲ ἐν τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου
» γυναικὶ ἀνδρὸς ἑτέρου. καὶ ὃν λογισμὸν ἀποδίδωσιν, ἐξῆς ἐπάγων. θυμὸς γὰρ ὀργῆς

ἀκατάσχετος τὸ μιαῖναι ἀνδρὸς γυναῖκα. πῦρ γὰρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν
μερῶν. οὗ δ' ἂν εἰσέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν. ἀλλὰ καὶ τὸ τοῦ τρόπου ἀδωροδό-
κητον παρίστησιν ὧδε. εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων, σπείραιμι ἄρα, καὶ
ἄλλοι φάγοιεν. ἄῤῥιζος δὲ γενοίμην ἐπὶ γῆς. ὅπως δὲ καὶ τοῖς οἰκείοις προσεφέρετο,
μαθεῖν ἐστιν, ἀφ' ὧν διδάσκει, φάσκων. εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου
ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρὸς ἐμέ. καὶ πάλιν τὸν λογισμὸν ἀποδίδωσι. τί
γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιῆται ὁ θεός; πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν σαρ-
κὶ, οὕτως κἀκεῖνοι γεγόνασι; γεγόνα μὲν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. τούτοις ἐπιλέγει, χή-
ρας τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος, καὶ οὐχὶ
ὀρφανῷ μετέδωκα ἐξ αὐτοῦ. εἰ δὲ καὶ εἶδον γυμνὸν ἀπολλύμενον, καὶ οὐκ ἠμφίεσα. καὶ
πάλιν ὑποβὰς λέγει. εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα. εἰ δὲ καὶ ἠυφράνθην πολλοῦ
πλούτου μοι γενομένου. εἰ δὲ καὶ ἐπ' ἀναριθμήτοις ἐθέμην χεῖρά μου. καὶ τὸν λογι-
σμὸν αὖθις ἐπιλέγει, ἢ οὐχ ὁρῶμεν ἥλιον ἐπιφαύσκοντα καὶ ἐκλείποντα, καὶ σελή-
νην δὲ φθίνουσαν. εἶτα πάλιν τῆς εὐαγγελικῆς διδασκαλίας φησάσης, ἐῤῥέθη τοῖς
ἀρχαίοις, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω
ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, αὐτοφυεῖ διδασκαλίᾳ προλαβὼν ὁ θαυμά-
σιος τοὔργον ἀπεπλήρου. διό φησιν, εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην ἐπὶ πτώματι
ἐχθροῦ μου, καὶ εἶπεν ἡ καρδία μου, εὖγε, ἤκουσεν ἄρα τὸ οὖς μου τὴν κατάραν
μου. καὶ ἐπιλέγει. ἔξω δὲ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα μου παντὶ εἰσόντι ἀνέῳκτο.
ἐπεὶ μὴ ἀλλότριος τοῦ φήσαντος, ξένος ἤμην, καὶ συνηγάγετέ με. οἷα δὲ αὐτοῦ καὶ
τὰ περὶ τῶν ἀκουσίων πλημμελημάτων, ἐπάκουσον λέγοντος. εἰ δὲ καὶ ἁμαρτὼν ἀκου-
σίως ἔκρυψα τὴν ἁμαρτίαν μου. οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγο-
ρεῦσαι ἐνώπιον αὐτῶν. εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ. χεῖ-
ρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν, συγγραφὴν δὲ ἣν εἶχον κατά τινος εἰ μὴ ῥήξας αὐτὴν
ἀπέδωκα, οὐδὲν λαβὼν παρὰ χρεωφειλέτου. ταῦτα ἦν καὶ τὰ τοιαῦτα τῶν πρὸ
μωσέως θεοφιλῶν ἀνδρῶν, ἐξ ἑνὸς γὰρ καὶ τὸν τῶν λοιπῶν τεκμαίρεσθαι προσήκει
βίον, τὰ περιύμνητα τῆς θεοσεβείας ἆθλα, δι' ἃ καὶ φίλοι θεοῦ καὶ προφῆται κατηξι-
ώθησαν. τοιούτοις δ' οὖσι, τίς ἔτι χρεία ἦν τῶν παρὰ μωσεῖ παραγγελμάτων φαύ-
λοις ἀνδράσι καὶ μοχθηροῖς παραδεδομένων; οὐκοῦν διὰ τούτων ἁπάντων τὸν
ἀρχαιότατον τῆς τῶν προπατόρων θεοσεβείας τρόπον ὁ χριστοῦ λόγος πᾶσι καταγ-
γείλας τοῖς ἔθνεσι προφανῶς ἀποδέδεικται, ὡς εἶναι τὴν καινὴν διαθήκην οὐδ'
ἄλλην ἐκείνης τῆς ἀρχαιοτάτης τῶν μωσέως χρόνων εὐσεβοῦς πολιτείας. ὥστε ὁμοῦ
καὶ παλαιὰν αὐτὴν εἶναι καὶ νέαν. παλαιοτάτην μὲν, διὰ τὰ ἀποδεδειγμένα. νέαν δὲ
αὖθις, διὰ τὸ μακροῖς τοῖς μεταξὺ χρόνοις ὥσπερ ἀποκρυβεῖσαν ἐξ ἀνθρώπων,
αὖθις ἀναβεβιωκέναι διὰ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας. τοῦτον γέ τοι τὸν με-
ταξὺ δηλούμενον χρόνον ἕως συνέβαινε λανθάνειν ἀνθρώπους, καὶ ὥσπερ ἐφησυ-
χάζειν τὴν τῆς καινῆς διαθήκης τρόπον, ὁ μωσέως ἐν ᾧ μεταξὺ παρεισελθὼν νόμος
οἷά τις νηπιῶν καὶ ἀτελῶν ψυχῶν ἐπίτροπος καὶ οἰκονόμος, ἢ καὶ ἰατρὸς δεινῇ καὶ αἰγυ-
πτιακῇ νόσῳ τετρυχωμένῳ ᾧ παντὶ ἰουδαίων ἔθνει, αὐτοῖς δὴ τοῖς τοῦ ἀβραὰμ
ἀπογόνοις μὴ οἵοις τε οὖσιν ὁμοίως τοῖς προπάτορσι κατορθοῦν, τὸν ὑποβεβη-
κότα καὶ ἀτελῆ βίον παρεδίδου. ἐπεὶ γὰρ ἐν τῇ παρ' αἰγυπτίοις διατριβῇ οὗτοι μετὰ τὴν
τῶν θεο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

τῶν θεοφιλῶν προπατόρων τελευτὴν τοῖς αἰγυπτιακοῖς ὁμοδοξίαις ἀπαχθέντες ὅτι τὸν πολύθεον, ὡς ἔφην, δαιδαιμονίαν ἀποπεπλώκεσαν, ὡς μηδὲν τῶν αἰγυπτίων πλέον ἔχειν δοκεῖν, γεγονέναι τε κατὰ πάντα ὁμοίους αὐτοῖς, καθάπερ τὸν τῶν εἰδώλων πλάνην, ἔνθεν τοῖς ἄλλοις ἐξηφρήμασιν, εἰκότως, ὥσπερ ἐκ βυθοῦ κακοῦ δαιμόνιος αὐτοὺς ὁ μωσῆς, ἀφίσι μὴν τῆς ἀθέου πολυθείας, δῆλον δὲ ὅτι τὸν πάντων δημιουργὸν θεὸν, πρόπαν ἐκάλουν βαθμὸν ἀσεβείας ὡς ἐν εἰσαγωγαῖς τε πρόθυρα τῶν τελεωτέρων προβεβλημένος. ἔπειτα οὐ φονεύειν, οὐ μοιχεύειν, οὐ κλέπτειν, οὐκ ἐπιορκεῖν, οὐκ ἄρρενας ἄρρεσιν ἐπιμίγνεσθαι, οὐ μητράσιν, οὐκ ἀδελφαῖς, οὐ θυγατράσιν ἐπιμίγνυσθαι, οὐδὲ ὅσα τοιαῦτα τοῖς τότε προάπτειν ἔξωθεν, ἀφόβως συνεχώρει. πολλαχοῦ δὲ ἀπὸ μέρους τὴν θηριώδους βίου, λοιπωτέραν τὴν ἄνομον ἐν τοῖς τότε χρόνοις πολιτείαν προῆκεν ἐπὶ γῆς ἀλλὰ γραφῆς σώζεσθαι, οὔπω τότε πᾶσιν ἀνθρώποις ἐκφοιτοῦς ὄντος οὐδὲ τὸ τοιοῦδε ἔργου. εἶτα δὲ ὡς ἀνθρέσιν ἀπείπων τὴν εἰδωλολατρείαν, θυσίας καὶ ἁγισμοὺς τελουμένοις ὧν ἕνα καὶ ὅπερ πρόπαν ἐκάλυε, δῆλον ἄνωθεν ἀπορρητότερον ἰδίᾳ συμβόλων τὴν κατ' αὐτὸν θρησκείαν ἐπιτελεῖν νομοθετήσας, ἣν καὶ θαυμασίως τῷ θείῳ πνεύματι σοφιδῶν ὧν εἰς ἄπειρον δεῖν προεκτείνειν, ὑφ' ἕνα τόπον προεγράψεν, ὁρίσας μὴ πλαχόσε συντελεῖν τὰ κατ' αὐτὸν νόμιμα, ἢ ἐν μόνῳ ἑνὶ τόπῳ. ἔστι δ' ἣν ὁ ἐν ἱεροσολύμοις. ἔξω γοῦν τούτου μηκέτι. ὅθεν εἰς ἔτι καὶ δεῦρο παισὶν ἑβραίων ὁ θεμιτὸν πλέον ἐκτὸς τοῦ καθηρημένης αὐτοῦ μητροπόλεως, ὅτε θύειν καὶ τὸν νόμον, ὅτε ἱερεῦσι, ὅτε θυσιαστήριον ἐγείρειν, ὅτε χειροτονεῖν ἱερέας, ὅτε βασιλέας, ὅτε τὰς καὶ μωσέα πανηγύρεις καὶ ἑορτὰς ἐκτελεῖν, ὁ μιασμὸς καθαίρεσθαι, ὁ πλημμελείας ἀπολύεσθαι, οὐ δῶρα ὧ θεῷ προσφέρειν, οὐχ ἱλεοῦσθαι καὶ τὰ νενομοθετημένα. δῆλον καὶ τῇ μωσέως εἰκότως ἐπανορθοῦται καλάμῃ, ἐν μέρει μὲν φυλάττειν ἵνα πειρώμενοι, ἐν δὲ τοῖς ὅλοις παρανομοῦντες. ἀμφιρρήδην μωσέως ἀποφαίνοντος, ὅτι δὴ ἐπικαθάρσιος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς ἐγγεγραμμένοις τῷ νόμῳ, τὰ ποιῆσαι αὐτά. τούτοις δὲ πᾶσι πεπεισμένοις, αὐτὸ μωσέως θείῳ πνεύματι προφητεύοντος ὅτι δὴ τὴν δι' αἵματος καινῆς διαθήκης ἀνανεωθείσης, καὶ τοῖς πᾶσιν ἔθνεσι καταγγελθείσης, πρεσβεῖς ἔσαι ἢ κατ' αὐτὸν νομοθεσία. ἰδοὺ εἰκότως ὑφ' ἕνα τόπον πρόεισιν, ἵνα εἴπερ τούτου στερηθείη, καὶ ἀποκλεισθείη τὰ οἰκείας ζωῆς, μηκέτ' αὐτοῖς ἔξον εἶναι ὅτι τὰ ἀμοδαπῆς τὰ κατ' αὐτὸν νόμιμα σώζεσθαι, ὡς καὶ διὰ τῆς δευτέρας διαθήκην τὴν διὰ αἵματος καταγγελθείσαν πρόδηλον. αὐτὸ δὴ οὖν τοῦτο μωσέως προφητεύοντος, ὁμοῦ τε ὁ αἱματὸς ἐπεδήμει τῷ βίῳ, καὶ τὰ καινῆς διαθήκης προσεδέχετο τοῖς ἔθνεσι διδασκαλία, πρόδηλα τὰ ῥωμαῖοι τὴν πόλιν ἑλόντες πολιορκίᾳ καθεῖλον τὰ ἱεροσόλυμα καὶ τὴν αὐτοῦ νεών. κέλευθά τε αὐλικὰ πᾶσα ἡ μωσέως διάταξις, ἃ τὰ τὴν παλαιᾶς προεμήνυε διαθήκης, ταύτης τῆς ἀρᾶς μετὴ τοὺς πρὸ καιροῦ τὰ μωσέως προφήτην παρανομοῦντας, εἰς αὐτὰ βιαζομένους. ἀντεισήγετο δὲ ὁμοῦ καὶ τὸ αὐτό, τὰ νέας καὶ ἐντελοῦς διδασκαλίας τὰ νόμιμα. δῆλον εἰκότως ὁ σωτὴρ καὶ κύριος τοῖς οἰομένοις ἐν μόνῃ τῇ ἱεροσολήμ, ἢ ἐν ὄρεσί τισιν ἢ τόποις ἀφωρισμένοις δεῖν τὸν θεὸν προσκυνεῖν, φησίν, ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσιν οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν ἱεροσολύμοις τῷ πατρὶ πνεύ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

μα γὰρ ὁ θεὸς, ἐν τοῖς προσκυνοῦσιν αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. καὶ ταῦτα φησὶν ὁ λόγος, ὡς ἀρχὴν μὲν καὶ οὐκ εἰς μακρὸν πολιορκηθέντων τῶν ἱεροσολύμων, τότε δὲ ἀληθῶς ἀναστάτου, καὶ τῶν περὶ αὐτὸν ἱερατείου, ἧς δὲ καὶ μωσέως λατρείας καὶ τῆς αὐτοῦ μωσέως ἀφάντου, ἀνεφάνη εἰς πάντας ἀνθρώπους καὶ ἐξέλαμψεν ἡ ἀρχέτυπος τῶν προ μωσέως θεοφίλων ἀνδρῶν ἀσεβεία, ἥτε δι' αὐτῆς πᾶσι τοῖς ἔθνεσιν ἐπηγγελμένη ἀλογία, ἀπὸ τοῦ προφητου βαθμοῦ, καὶ ἀπὸ τῆς προφητικῆς οἰκοδομῆς ἧς καὶ μωσέως λατρείας, ὅπερ τὸ κρεῖττον καὶ τελειότερον προφάσεις τοῖς προσιοῦσι τὴν θεοσέβειαν. αὐτίκα γοῦν ὧν μακαρίων ἐκείνων καὶ θεοφίλων, τῶν ἀμφὶ τὸν ἀβραὰμ λέγω, οὐκ ἀφωρισμένως εἴπεν ὅπου προσκυνοῦντων, οὐδὲ ἀφ' συμβόλων καὶ τύπων, ἀλλ' ἵνα φησὶν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἐν πνεύματι ἐν ἀληθείᾳ, ἀφ' ἧς τῆς σωτῆρος ἡμῶν ἐπιφανείας ἅπασι τοῖς ἔθνεσιν ὑπῆρξεν. τῶν πάλαι προφητῶν καὶ τοῦτο τεθεωρηκότων· λέγει γοῦν ὀψὲ μὲν οὖν μάλιστα σοφονίας, ἐπιφανήσεται κύριος ἐπ' αὐτοὺς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ, ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. ὁ δὲ μαλαχίας ὁμοῦ προὸς τοὺς ἐκ προτεινεται, καὶ προὶς τὰ ἔθνη ταῦτα προφωνῶν, φάσκων, οὐκ ἔστι μου θέλημα, λέγει κύριος παντοκράτωρ, καὶ θυσίας οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, ὅτι ἀπ' ἀνατολῆς, καὶ μέχρι δυσμῶν, τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. τὸ γὰρ ἐν παντὶ τόπῳ θυμίαμα καὶ θυσίαν ἀναφέρεσθαι θεῷ, τί ἕτερον προφήσιν, ἢ οὐκ ἐν ἱεροσολύμοις, μηδ' ἀφωρισμένως ἐν τῷδε τῷ τόπῳ, ἐν πάσῃ δὲ χώρᾳ, καὶ ἐν πᾶσι τοῖς ἔθνεσι μᾶλλον; τὸ δι' ἐμῶν θυμίαμα, καὶ τοῦτο οὐ δι' αἱμάτων, ἀλλὰ δι' ἔργων ὁσίων καθαρῶν ὠνομασμένῳ θυσίαν τῷ ὑπὲρ πάσαν ἀναφέρειν θεῷ; βοᾷ δὲ διαῤῥήδην, καὶ κέκραγεν ὁ ἡσαΐας, θαυμάζων ἅμα καὶ λέγων, ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ αἰγύπτου, καὶ γνωστὸς ἔσται κύριος τοῖς αἰγυπτίοις, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, καὶ γνώσονται οἱ αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιήσουσιν θυσίας, καὶ εὐχὴν εὐξονται τῷ κυρίῳ, καὶ ἀποδώσουσιν, καὶ ὑποστρέψουσι πρὸς κύριον, καὶ εἰσακούσεται αὐτῶν, καὶ ἰάσεται αὐτούς. ἔδει σοι δοκοῦμεν ἀληθῆ λέγειν μεταθέσειν τὰ μωσέως νόμου, μᾶλλον δὲ παῦλαν καὶ λύσιν φάσκοντες εἶναι τῶν φητικῶν φωνῶν θαυμάζειν. ὁ μὲν γε μωσῆς θυσιαστήριον καὶ θυσίας οὐκ ἀναχόσε γῆς, ἢ ἐν μόνῃ τῇ ἰουδαίᾳ, καὶ ταύτης ἐν μιᾷ πόλει συστῆσαι νομοθετεῖ. τὸ δὲ προφητεία ἐν χώρᾳ φησὶν αἰγύπτου τῷ κυρίῳ θυσιαστήριον ἱδρυθήσεται, καὶ τοῖς αἰγυπτίοις αὐτοῖς τῷ κυρίῳ τῶν προφητῶν, ἀλλ' οὐκετι τοῖς παρῳχημένοις θεοῖς καλλιερήσουσι τὰς θυσίας, καὶ τῆς θεογνωσίας οὐ μωσέα αἴτιον, οὐκ ἕτερον τῶν προφητῶν αὐτοῖς γενήσεται, ἀλλά τινα καινὸν καὶ νέον ἀνθρωπον θεόθεν ἀπεσταλμένον. μεταλαβεῖν δὲ τοῦ θυσιαστηρίου τοῦτο τοῦτο μωσεῖ δοκοῦντα, ἀνάγκη πᾶσα καὶ τοῦ μωσέως νόμου μεταβολὴν γενέσθαι. εἶτα δὲ θύοντες αἰγύπτιοι τῷ ὑπὲρ πάντων θεῷ, πάντως που καὶ ἱερωσυνῆς ἀξιωθήσονται· ἱερωμένων δῆτα αἰγυπτίων τὰ περὶ λευίτας καὶ τῶν ἐκ ἀαρὼν μωσῆ διαδεξαμένων, οὐκέτ' ἂν γένοιτο τοῖς αἰγυπτίοις χρήσιμα. ὥστε δὴ οὖν καινῆς νομοθεσίας δεῖν εἰς τὸ τῶν δηλουμένων σύστασιν. τί δὲ ἀναπεφώνηται;

πεφώνη)κ; ἢ καὶ τέλος ἐπενώεκ) τοῖς λόγοις; σκέψαι δ' οὖν εἰ μὴ σήμερον, λέγω δὴ καθ' ἡμᾶς ἀὐτοὺς, ὀφθαλμοῖς ὁρῶνται οὐ μόνον αἰγυπτίοι, ἀλλὰ καὶ πᾶν ἔθνος τ̃ ὑπ' ἠλίου ἐδωλολατρεύθη δώδεκα φῦλα, οὓς ἡ θεόρρησις δηλοῖ τ̃ αἰγυπτίων ἠνίττετο, ἧς μὴ πολυθέου καὶ δαιμονικῆς ἀπηλλαγμένον πλάνης, ὃν δὲ τ̃ θεοφητῶν θεὸν ἀνακαλούμενον. καὶ ὕχονται ὃ οἰκεῖα πλείοσι κυρίοις, ἐνὶ δὲ τ̃ μόνῳ κυρίῳ κ̃ῳ τ̃ ἱερὸν λόγιον, ἐ τούτῳ θυσιαστήριον ἀναίμων καὶ λογικῶν θυσιῶν, κ̃ῳ τ̃ καινὰ μυστήρια τ̃ς νέας καὶ καινῆς διαθήκης, καθ' ὅλης τ̃ ἀνθρώπων οἰκουμένης ἀνεγήρται ἐν αὐλῇ τε αἰγύπτῳ καὶ τοῖς λοιποῖς ἔθνεσι τὸν τόπον αἰγυπτιάζοισι κ̃ῳ τὸν δαιμονα πλανῶν. νῦν καθ' ἡμᾶς ἐκ τ̃ τ̃ ὅλων θεοῦ γνῶσις διαδάμπουσα τ̃ πίστιν ἀναμφίλεκτον τ̃ ἀποστόλων ἐπισφραγίζεται. ταῦτα ὃ ἔργοις ὑπιτελούμενα ὁρῶν, ἀλλ' οὐκέτ' ἀκοῇ προσδοκώμενα, τὸν καινὸν, ὁπόθεν τὸν διαλυθ τ̃ γραμμάτων εἵλκυσεν, οὐδ' ἄχρι ἀναζητήσας εὑρήσεις, ἐν τ̃ τόπου ὑπαφωνείας. αὐτὸς γάρ φησι τῷ ἑκάστῳ, ὃν ὁ χρησμὸς ἐδήλου, φήσας ἀποστελῶ τὸν τ̃ ὅλων θεὸν καὶ κύριον τοῖς αἰγυπτίοις ἀνθρωπον
" ὃς σώσῃ αὐτούς. ὃν καὶ τὰ μωσέως ἐδήλου λόγια, δι' ὧν ἔφησεν, ἐξηγούσε) ἄνθρωπος ὃς ἔσται ἀπέρματος αὐτ̃, καὶ κυριεύσῃ ἐθνῶν πολλῶν. ἐν οἷς ἔθνεσι καὶ αἰγύπτιοι δήπουθεν καταριθμοῦντ' αὖ. ἀλλὰ περὶ μὲ τούτων μακρὸς ἂν εἴη λόγος, ἐπ' οἰκείας σχολῆς ἐντελέστερον ἀποδηλούμενος. τό γε μὴν πρὸν, ὑπιτετρήσθω, ὅτι τὰ προφητευόμενα οὐδ' ἅπαξ ἐπὶ μ̃ τ̃ ὑπαφωνίαν ἡσσᾶ τ̃ σωτῆρος λόγων ἐπληρώθη. ἐξ ἐκείνου γὰρ ἐπὶ καὶ εἰς δῦσιν τὰ τοῖς αἰγυπτίοις, καὶ τὰ πέρσαις, σύροις τε ἀρμενίοις, καὶ τὰ τοῖς κατ' ἐσχατιὰς τ̃ γῆς οἰκοῦσι βαρβάροις, αὐτοῖς τε τοῖς ὑπ' ἀνημερωτάτοις καὶ θηριωδεστάτοις ἔθνεσι, ναὶ μὴν καὶ τὰ τοῖς κατὰ νήσους οἰκοῦσιν, ὅτι δὴ καὶ τούτων ἕνεκα μνήμην ποιήσασθαι, αὐτὴ ἐκείνη ἡ κ̃ῳ τ̃ ἀληθοῦς πολιτεία, καὶ ὁ παλαιότατος καὶ πρώτων ἀρχαιότατος τ̃ θεοσεβείας τρόπος ἀπουδάζε). καὶ τίς ὀκ ἂν ἐκπλαγείη τὸ παράδοξον τ̃ πράγματος, εἰ δὴ οἱ ἐξ αἰῶνος λίθοις καὶ ξύλοις καὶ δαίμοσι, θηρίοις τε ἀνθρωποβόροις, καὶ ἑρπετοῖς ἰοβόλοις, ζῴοις τε πτηνοῖς, καὶ εἰδεχθέσι κυνοδάκνοις, πυρί τε καὶ γῇ, καὶ τοῖς τοῦ πάντος ἀψύχοις στοιχείοις τὸ σεβάσμιον ἡμῶν προσηνείκαντες, ἐν ὕψιστον θεὸν, τὸν οὐρανοῦ καὶ γῆς δημιουργὸν, αὐτόνομον ἐν τ̃ πρώτων φίλων κύριον, τὸν θεὸν ἀβραὰμ καὶ τ̃ τούτου πατέρων, μ̃ τὸ τ̃ σωτῆρος ἡμῶν πρόνοιαν ἀνακαλοῦνται; καὶ οἱ μικρῷ πρόσθεν μητρογαμίαις καὶ συγγαμιξίαις, ἀνηλοφθορίαις τε καὶ πατρῴαις μιαφονίαις ἐκκαλινδούμενοι, οἱ μηδέν τι ἀνημέρων θηρίων τ̃ τρόπον ἀφεύγοντες, νυνὶ δὲ τ̃ τοῦ σωτῆρος ἡμῶν ἐνθέου διδασκαλίας μεταβληθέντες, καὶ ὥσπερ ἐξ ἑτέρων ἕτεροι γεγονότες, λόγους ἀρείτους, καὶ σωφροσύνης παιδεύματα, σπουδῇ εἰς τὰ κοινὰ διδασκόμενα, μανθάνουσιν· ὡς τὸ ἀνωτάτω φιλοσοφίαν, τ̃ μηδ' ἐμβλέπειν ἀκολάστοις ὀφθαλμοῖς, μηδὲ μέχρι λόγων ἀσχαφορᾶν, μηδὲ τὰ κοινὰ ἐ τοῖς πᾶσι σωτ̃ῆρι ἀπειθεῖν πρᾶγμα δόσμον, ἃ μόνον ἀνδρας, ἀλλὰ καὶ γυναῖκας, πένητάς τε καὶ πλουσίους, λογίους τε καὶ ἰδιώτας, μέχρι καὶ παίδων καὶ ἀνδρα πόδων, ἐν τοῖς κ̃ῳ πόλιν καὶ κατ' ἀγροὺς ἀπατεῶσι παιδεύεσθαι, μανθάνῃ τε ἀληθῆ θεὸν, καθ' ὃν ἂν ὑπὸ πάντων προσκυνῆται θεὸν σέβῃ, καὶ θεραπεύῃ ἐν πάντι τόπῳ, κ̃ῳ τὸ φή-

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ προφητείαν, καὶ προσκυνήσουσιν αὐτῷ, ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. προσκυνεῖ δῆπου οὖν πᾶς τις ὅτι πρώτων θεῷ βάρβαρος καὶ ἥλιον, οὐ προέχων ὅτι τὸ ἱερὸν τόλυμα, οὐδ' ἄγαλμα καὶ θυσίας ἀφοσιούμενος· οἰκοθεν δὲ καὶ ἐφ' ἑαυτῷ μόνον, καὶ πρὸ μικροῦ καὶ ἀηθείᾳ τινὶ δύναμιν καὶ καθαρὸν ἀποδιδοὺς αὐτῷ λατρείαν. καὶ αὐτήγε οὖν ἡ καινὴ διαθήκη, οὐκ ἔτι τῶν παλαιῶν τυγχάνουσα· παλαιαὶ δὲ μήτι νομίσῃς λέγεσθαι τὰ τῶν προ μωσέως θεοφιλῶν ἀνδρῶν, ἀλλὰ τὰ τοῦ μωσέως αὐτοῦ τοῦ ἰουδαίων ἔθνους νενομοθετημένα. ὅπερ φέρε γοῦν ὁ λόγος διασαφῶν ἵνα ἔφησεν εἰ τὰ παλαιὰ, ἢ μηδὲν ὅμοιον φήσῃ διδάσκειν τὰ καινὰ, λέγων, διαθήσομαι διαθήκην καινὴν, οὐκ ἔτι τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου. οὐκ ἔτι τοιαύτην γοῦν φησὶ τὴν τοῦ μωσέως νενομοθετημένην. αὕτη γὰρ ἦν ἔτι τὴν ἔξοδον τὴν ἀπ' αἰγύπτου τοῖς ἰουδαίοις παραδοθεῖσα. ἔδοξεν οὖν ἐναντίαν εἶναι τὴν καινὴν διαθήκην τοῦ ἔθνους τὰ θεοσεβείας τῶν ἀμφὶ τὸν ἀβραὰμ θεοφιλῶν, εἰ μὴ ἀκριβῶς ἐπεσημήνατο, φήσας, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, κατ' ἐκεῖνο καιροῦ καθ' ὃν ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου. οὐ κατὰ τὸ τοῦ μωσέως δηλονότι τὸ ἐξόδου, καὶ ὅτι τῆς κατ' ἔρημον διαιρεθείσης νενομοθετημένην, ἔστεφθαι τὰ καινὴν ἐθέσπιζεν, ἀλλὰ κατ' ἐκείνην δηλαδὴ τὴν προπάλαι πολιτευομένην, δι' ἧς καθορθώσαντες ἀνεφάνησαν οἱ προ μωσέως. δι' ἃ δὴ λοιπὸν εἶδη διαφόρων τὰς τὰ θεοσεβοῦς ἐπαγγελλομένων προαιρέσεις μὴ ὅτι δύο, ἀλλὰ τεῖα διαφοροῦντα, τό, τε τὰ πολιτικῶς εἰδωλολατροῦν, τὰ δὴ ὅτι τὸ πολύθεον πλανῶν ἀποπεπωκότων· καὶ τὸ ὧν ἐκ προτομῆς διὰ μωσέως ὅτι τὸν προτον ἀνηλυθότων τῆς ἀσεβείας βαθμόν· καὶ τέτρον τὸ τῶν ἐπιμαβεβηκότων διὰ τὰ διαγλυφικῆς διδασκαλίας, ὃ καὶ τῶν δυοῖν μέσον προεμβαίνων, μηκέτι εἶναι τοὺς ἀπὸ ἰουδαίων ἀφισαμένους, πάντως διὰ ἐφ' ἡμῶν ἰσμοῦ ἐκπίπτειν, μηδὲ τοὺς ἐξ ἡμῶν ἀναχωρεῖν ἐξ ἀνάγκης χρῆναι ἰουδαίους ἔσεσθαι· τὰ δὲ μέσον ἡμῶν τὰ ἔθνος, ὑρισμὸς ἀμφοτέρων ἑστώτα, καὶ ὥσπερ ἐφ' ὑψηλοτάτης ἀκρωρείας ἀναβεβηκότα, ἑκατέρωθεν δὲ κάτω τοὺς λοιποὺς ἀποκλείοντα. ἡμῶν μὲν γὰρ ἐκπέφευγε τὰ ἄθεον καὶ πολυπλανῆ δεισιδαιμονίαν, καὶ τὰς ἀνάνδρους πορνείας τε ἐκ ἀκοσμίας· ἰουδαίων δὲ ὡσαύτως τοῦ μωσέως ἀτελῆ καὶ οἷα νηπίοις καὶ ἀσθενέσι καταλληλον ἐθελοθρησκείαν. τὸ οἰκεῖον ἦ ἀνάνδρων ἐ μόνον ἰουδαίοις, ἀλλὰ καὶ ἡμῖν ἐκ βαρβάροις, καὶ τοῖς ὑφ' ἡλίῳ πᾶσιν ἔθνεσιν ὅπερ ὁ μέγας νόμος, ὅσα τε φησὶν, ὦ ἀνάνδρες καὶ σύμπαν ὁ θνητῶν γένος, ὁ μὲν δὴ μωσέως νόμος ἀφ' ἑνὸς γένους ἀνάνδρων ἐξελόμενος, πρῶτον ἁπάντων τοῦ ἰουδαίων γένος, τὰ τοὺς θεοφιλεῖς προπάτορας αὐτῶν ἐπαγγελίας ἕνεκεν, ὅτι τοῦ ἑνὸς θεοῦ γνῶσιν ἀνεκαλέσατο, τῆς πικρᾶς τὰ δαιμόνων δουλείας τοὺς ὑπακούοντας ἀπαλλάττων· ἐγὼ δὲ πᾶσιν ἀνάνδρασι καὶ τοῖς καθ' ὅλης τὰ οἰκουμένης ἔθνεσι τὴν ἐπιμαβεβηκυῖαν τῷ θεοῦ γνῶσιν καὶ ἀσέβειαν προαγγέλων, τοῖς ἀμφὶ τὸν ἀβραὰμ, τοῖς ἔτι παλαιοτέροις προ μωσέως χρόνων βιοῦσι πάντας, οἳ οἷς ἐξ ἀνοσιωτάτων ἐθνῶν πλείους ἐπ' ἀσεβείᾳ μνημονεύονται διαλάμψαντες. καὶ πάλιν, ὁ μὲ μωσέως νόμος ἐφ' ἕνα τινὰ τῆς ἀφωρισμένον τόπον τοῖς ἀσεβοῦσι προσηλυτεύειν πανταχόθεν προκελεύεται· ἐγὼ δὲ τοῖς

δὲ τοῖς πᾶσιν αὐτοῦ τὴν ἀλήθειαν, οὐκ ἐν γωνίᾳ γῆς, οὐδ' ἐν ὄρεσιν, ἢ λίθοις ἀψύχοις ποιήτοις ναοῖς ζηλῶν τὸν ὅτι πάντων θεὸν, οἰκοθεν δὲ ἕκαστον σέβειν αὐτὸν καὶ τοῦτο κωλύειν παραδύω. καὶ πάλιν· ὁ μὲν παλαιὸς νόμος, θυσίαις τὰς διὰ ζώων σφαγαῖς, λιβάνου τε καὶ πυρὸς, καὶ ὕδατος ὁμοίως τε καὶ σώματος καθαρμῶν ἀρησκεύειν τὸν ὅτι πάντων θεὸν παρεκελεύετο· ἐγὼ δὲ τὰς ψυχῆς παραδίδους ὄργανα διανοίᾳ καθαρωτάτῃ καὶ νῷ διαυγεῖ, ἐν εὐφημοσύνῃ καὶ τῇ κατ' ἀρετὴν βίῳ, δόγμασί τε ὀρθοῖς καὶ εὐσεβέσι τὸ θεῖον γεραίρειν τοῦτο πάντως. καὶ πάλιν· μωσῆς μὲν ὡς ἀν μιαιφόνοις οὖσι τοῖς τότε μὴ φονεύειν παρήνει· ἐγὼ δὲ τοῖς ἐν τούτῳ τοῦτο παιδαγωγηθεῖσι, καὶ τῷ τοῦτο ἐν τελειοτέρῳ, μηδ' ὀργῆς ἐνέχεσθαι πάθη τοῦτο πάντων. καὶ αὖθις, ὁ μὲν μωσῆς μοιχοῖς καὶ ἀκολάστοις διετάττετο τὸ μὴ μοιχεύειν, μηδὲ ἀρσενοκοιτεῖν, μηδὲ παρὰ φύσιν ἡδονὰς διώκειν, θάνατον τῷ ἁμαρτεῖν τοῖς τοιαῦτα ἐπάγων· ἐγὼ δὲ μηδ' ἐμβλέπειν γυναικὶ μετ' ἐπιθυμίας ἀκολάστου τοῖς ἐμοῖς βούλομαι. καὶ πάλιν, ὁ μὲν ἔλεγεν, οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ θεῷ τοῖς ὅρκους σου· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως, ἀλλ' ἔστω ὁ λόγος ὑμῶν ναὶ ναὶ, οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. καὶ πάλιν, ὁ μὲν τοῖς ἀδικουμένοις ἀμύνασθαι καὶ ἀντάδικον πορεκελεύετο, λέγων, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ. ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα σου, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ πάλιν, ὁ μὲν πλησίον τὸν μὲν φίλον ἀγαπᾶν, μισεῖν δὲ τοὺς ἐχθροὺς. ἐγὼ δὲ καὶ ἀλλοφύλων φιλανθρωπίας καὶ ἀνεξικακίας ἀγαπᾶν τοὺς ἐχθροὺς ὑμῖν νομοθετῶ, καὶ προσεύχεσθαι ὑπὲρ ἀλλων διωκόντων, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτις τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. καὶ ὅτι τούτοις, ὁ μὲν προς τὴν ἀλλων πολλῶν σκληρίαν ἱερμόζετο, καὶ τοῖς ἐμπαθέσι καλάληλα διετάττετο, ἀξηλλαγμένον καὶ ὑπερβεβηκότα τὸν παλαιὸν, ἕπον παραδίδους ἀνεσέβειας· ἐγὼ δὲ ὅτι τὸν προπαλαι θεοφιλῶν ἀνδρῶν ἀνεσεβῆ καὶ θεοφιλῆ βίον ἀνακαλοῦμαι τοῖς πολίταις. καὶ ἐφ' ἅπασιν, ὁ μὲν γλῶ ῥέγδην γάλα καὶ μέλι, οἷα νηπίοις, ἐπηγγείλατο· ἐγὼ δὲ βασιλείαν οὐρανῶν τοῖς οἵοιστε χωρεῖν προξενῶ. ταῦτα καὶ τὰ τοιαῦτα ὁ τῆς καινῆς διαθήκης λόγος διὰ τοῦ χριστοῦ διδασκαλίας πᾶσι καλῶς ἐκήρυξε τοῖς ἔθνεσι. καὶ ταῦτα ἴσως, ἃ τοῖς αὐτὸ μαθηταῖς ὁ χριστὸς τοῦ θεοῦ πᾶσιν τοῖς ἔθνεσι κατασκῆψαι πρῶτα, φήσας, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. ἃ καὶ πᾶσιν ἀνθρώποις βαρβάροις φυλάττειν παραδίδους, σαφῶς ὑποτέθειται ὁ χριστιανισμός, ἐξέφωνεν· εἷνες δ' ἡμεῖς, καὶ ὁποῖος ὁ παρ' ἡμῖν τοιοῦτος λέγων τε καὶ μαθητὴς διδάσκαλος αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἰησοῦς ὁ χριστὸς τοῦ θεοῦ, ὁ τὴν καινὴν ταύτην καὶ παράφορον πολιτείαν καθ' ὅλου τοῦ κόσμου συστησάμενος· ὥστε τοιαῦτα μανθάνειν, καὶ φιλοσοφεῖν μὴ μόνον ἀνδρας, ἀλλὰ καὶ γυναῖκας, πλουσίους τε καὶ πένητας, καὶ δούλους ἅμα δεσπότας. καὶ μὴν ὁ τῆς καινῆς ταύτης νομοθεσίας εἰσαγωγεὺς τὰ πάντα τοῦ μωσέως νόμου εἰσῆκται πεπολίτευμένος· ὁ καὶ αὐθαιμάξειν ἄξιον, ὅτι δὴ νέας πολιτείας νομοθέτης μὴν καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

ςήσεσθαι τ̃ χ̃ῡ̃ τὸ ϑ̈αλλήλιον αὐτ̃ καὶ τ̃ δ̈ιαθήκης, ὐχ ὡς ἐχθρὰ καὶ ἀνάμνια τὰ μωσέως πρ̃ητήσαντο. εἰ γὰρ ἀν̃ ἀνομίαθη τὰ πολέμια μωσεῖ διαλαττόμεϑ, οὕτω τε ἂν καὶ πρ̃έχειν τ̃ης χ̃ῡ̃ μωσέως καὶ τ̃ῶν προφητῶν τοῖς ἀθέοις αἱρεσιώταις πλείστης δυσφημίας ἀφορμὴν, τοῖς τε ἐκ περιτομ̃ης ϑ̈λίβοντι τ̃ης κατ̃ αὐτ̃ συκοφαντ̃ης αἰτίαν, οἱ δὲ ὡς προδιδάσκ̃η τὸ νόμου τῷ προτ̃ὸς θάνατον ἐπιβουλῷ αὐτ̃ συνεσκευάσϑαι.

Γ ὡς ὁ χ̃ριστὸς τὰ προφ̃ὰ μωσ̃ῆ προτέρων ἐκτελέσας, καινῆς κ̃ῆ νέας εἰσαγωγ̃ῆς κατέστη πολιτείας.

" βόσκημα αὐτοῖς. ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσιν, οὗτοι ἀπὸ βορρᾶ καὶ θαλάσσης. ἀλλοι δὲ
" ἐκ γῆς περσῶν. εὐφράνθητε οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡγῆ. ῥηξάτωσαν τὰ ὄρη εὐφρο-
" σύνην, ὅτι ἐλέησεν κύριος τὴν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν.

Τοῦ αὐτοῦ. Δήλωσις χριστοῦ καὶ κλῆσις ἐθνῶν.

" Προσέχετε τοῖς ὠσὶν ὑμῶν καὶ ἐπακολουθήσατε τῶν ὁδοῖς μου. ἐπακούσατέ μου, καὶ ζή-
σεται

© Centre d'Études Supérieures de la Renaissance - Tours

» σεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια
» δαβὶδ τὰ πιστά. ἰδοὺ μάρτυρον ἔθνεσι δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσον-
» τα ἔθνεσιν. ἔθνη ἃ οὐκ οἴδασίν σε, ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε,
» ἐπί σε καταφεύξονται, ἕνεκα κυρίου τοῦ θεοῦ τοῦ ἁγίου σοῦ ἰσραὴλ, ὅτι ἐδόξασέν σε.
καὶ διὰ τούτων οὖν μεμαθηκότες, ὡς ἡ τοῦ χριστοῦ παρουσία οὐ μόνοις ἰουδαίοις,
ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσιν σωτήριος ἔσεσθαι προηυτρεπίζετο, φέρε καὶ τὸ τρίτον ἀ-
ποδείξωμεν, ὅπως κατὰ τοὺς τῆς ἐπιφανείας αὐτοῦ χρόνους οὐ μόνον τὰ χρηστότερα
τοῖς ἔθνεσι προεφητεύετο, ἀλλὰ καὶ τοῖς ἐκ περιτομῆς τὰ ἐναντία. διαῤῥήδην
γοῦν ἀπόπτωσιν καὶ ἀποβολὴν τοῦ ἰουδαίων ἔθνους διὰ τὴν εἰς χριστὸν ἀπιστίαν
αὐτῶν ἔσεσθαι τὰ παρ' αὐτοῖς λόγια προαγορεύει, ὡς μηκέτι ἴσους ἡμᾶς αὐτοῖς,
ἀλλὰ καὶ κρείττους αὐτῶν ἐκ περιουσίας ἀναφαίνεσθαι. καὶ νῦν δὲ χρήσομαι ψι-
λαῖς ταῖς τῶν προφητῶν παραθέσεσι, δίχα πάσης τῆς εἰς αὐτὰς θεωρίας, διάτε
τὸ σαφὲς αὐτῶν, καὶ διὰ τὸ μέλειν ἐπὶ σχολῆς πληρεστάτην αὐτῶν ποιήσασθαι τὴν
ἐξέτασιν.

Ἀπὸ τοῦ ἱερεμίου. Δήλωσις ἀρνήσεως τοῦ ἰουδαίων ἔθνους, καὶ τῆς
ἀντ' αὐτῶν εἰς ποιήσεως τῶν ἐθνῶν.

Τάδε λέγει κύριος, στῆτε ἐν ταῖς ὁδοῖς καὶ ἴδετε, καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους.
» καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν
» ταῖς ψυχαῖς ὑμῶν, καὶ εἶπαν, οὐ πορευσόμεθα. καθέστακα ἐφ' ὑμᾶς σκοποὺς, ἀκού-
» σατε τῆς φωνῆς τῆς σάλπιγγος, καὶ εἶπαν, οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ
» ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια ἐν αὐτοῖς.

Ἀπὸ τοῦ αὐτοῦ. Τῆς τῶν ἐθνῶν εὐσεβείας δήλωσις, καὶ τῆς τοῦ ἰουδαίων ἔθνους
δυσσεβείας κατηγορία. προῤῥήσις δὲ τῶν μετὰ τὴν τοῦ χριστοῦ παρουσίαν
μετελθόντων αὐτοὺς κακῶν.

» Κύριε ἰσχύς μου καὶ βοήθειά μου, καὶ καταφυγήμου ἐν ἡμέρᾳ κακῶν. πρός σε ἔθνη
» ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν, ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴ-
» δωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλεια. εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεοὺς, καὶ οὗτοι
» οὐκ εἰσὶν θεοί. διὰ τοῦτο ἰδοὺ ἐγὼ δείξω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ, γνωριῶ αὐτοῖς
» τὴν χεῖράμου καὶ τὴν δυναμίν μου· καὶ γνώσονται ὅτι ὄνομά μοι κύριος. ἁμαρτία
» ἰούδα ἐγγέγραπται ἐν γραφῇ ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐγκεκολαμμένη ἐπὶ τοῦ στή-
» θους τῆς καρδίας αὐτῶν, ἡνίκα ἂν μνησθῶσιν τὰ ἄλση αὐτῶν ἐπὶ ξύλου δασέος, καὶ
» ἐπὶ βουνῶν μετεώρων, καὶ ὀρέων ἐν ἀγρῷ. ἰσχύν σου καὶ θησαυροὺς σου εἰς προνο-
» μὴν δώσω, καὶ τὰ ὑψηλά σου διὰ τὰς ἁμαρτίας σου τὰς ἐν πᾶσι τοῖς ὁρίοις σου. καὶ
» ἀφεθήσῃ μόνη καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας σου, ἧς ἔδωκά σοι. καὶ καταδου-
» λώσω σε τοῖς ἐχθροῖς σου ἐν τῇ γῇ ἣν οὐκ ἔγνως. ὅτι πῦρ ἐκκέκαυται ἐν τῷ θυ-
» μῷ μου, ἕως αἰῶνος καυθήσεται.

Ἀπὸ τοῦ ἀμώς. Τὰ περὶ τῆς εἰς πάντα τὰ ἔθνη διασπορᾶς τοῦ ἰουδαίων
ἔθνους. καὶ περὶ τῆς ἀνανεώσεως τῆς χριστοῦ παρουσίας καὶ βασιλείας, καὶ
τῆς ἐπ' αὐτῇ γεγενημένης τῆς τῶν ἐθνῶν ἁπάντων κλήσεως.

» Ἰδοὺ ἐγὼ ἐν τέλλομαι, καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον ἰσραὴλ, ὃν τρόπον λιμᾶται
» ἐν ᾧ τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. ῥομφαίᾳ τελευτήσουσιν πάντες οἱ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἁμαρτωλοὶ τοῦ λαοῦ μου, οἱ λέγοντες, οὐ μὴ ἐγγίσῃ οὐδὲ μὴ ἔλθῃ ἐφ' ἡμᾶς τὰ κακά.
» ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικο-
» δομήσω τὰ πεπτωκότα αὐτῆς. καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικο-
» δομήσω αὐτὴν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος. ὅπως ἐκζητήσωσίμε οἱ κατάλοι-
» ποι τῶν ἀνθρώπων. καὶ πάντα τὰ ἔθνη, ἐφ' ἃ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτὰ,
» λέγει κύριος ὁ ποιῶν ταῦτα.

Ἀπὸ τοῦ μιχαίου. Κατηγορία τῶν ἀρχῶν τῶν τοῦ ἰουδαίων ἔθνους, καὶ δήλωσις ἐρημώσεως τῆς μητροπόλεως αὐτῶν, ἐπιφανείᾳ τε χριστοῦ καὶ οἴκου θεοῦ τῆς ἐκκλησίας αὐτοῦ, λόγου τε καὶ νόμου προσόδος, καὶ τῶν ἐθνῶν ἁπάντων δήλωσις.

» Ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου ἰσραὴλ, οἱ βδε-
» λυσσόμενοι κρῖμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦντες σιὼν ἐν αἵ-
» μασι, καὶ ἱερουσαλὴμ ἐν ἀδικίαις. οἱ ἡγούμενοι αὐτῆς μετὰ μισθοῦ ἀπεκρίναντο, καὶ
» οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο,
» λέγοντες, οὐχὶ κύριος μεθ' ἡμῶν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. διὰ τοῦτο δι'
» ὑμᾶς, σιὼν ὡς ἀγρὸς ἀροτριασθήσεται, καὶ ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται,
» καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμφανὲς τὸ
» ὄρος κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω
» τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι,
» δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακὼβ, καὶ δείξουσιν
» ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ, ὅτι ἐκ σιὼν ἐξελεύ-
» σεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλὴμ.

Ἀπὸ τοῦ ζαχαρίου. Δήλωσις περὶ χριστοῦ παρουσίας, καὶ τῆς τῶν ἰουδαίων πολεμικῆς παρασκευῆς ὄλεθρος, ἐθνῶν τε εἰρήνη καὶ βασιλεία κυρίου μέχρι τῶν περάτων τῆς οἰκουμένης.

» Χαῖρε σφόδρα θύγατερ σιὼν, κήρυσσε θύγατερ ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου
» ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον, καὶ
» πῶλον νέον, καὶ ἐξολοθρεύσει ἅρματα ἐξ ἐφραίμ, καὶ ἵππον ἐξ ἱερουσαλὴμ, καὶ
» ἐξολοθρεύσει τόξον πολεμικόν. καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ
» θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν δι' ἐκβολῶν γῆς.

Ἀπὸ τοῦ μαλαχίου. Παραίτησις τοῦ ἰουδαίων ἔθνους, καὶ τῆς κατὰ τὴν μωσέως νόμον σωματικῆς αὐτῶν θρησκείας ἄρνησις, τῆς διὰ χριστοῦ πᾶσι τοῖς ἔθνεσι παραδοθείσης πνευματικῆς λατρείας.

» Οὐκ ἔστι μου θέλημα ἐν ἡμῖν, λέγει κύριος παντοκράτωρ. καὶ θυσίαν οὐ προσδέ-
» ξομαι ἐκ τῶν χειρῶν ὑμῶν. διότι ἀπ' ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά
» μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνό-
» ματί μου, καὶ θυσία καθαρά. διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος
» παντοκράτωρ, ὑμεῖς δὲ βεβηλοῦτε αὐτό.

Ἀπὸ τῶν ἡσαΐου. Τοῦ ἰουδαίων ἔθνους ἀπόπτωσις λόγου τῆς θεοῦ, καὶ νόμου καινοῦ, οἴκου τῆς αὐτοῦ φανέρωσις, καὶ τῶν ἐθνῶν ἁπάντων εὐσεβείας δήλωσις.

» Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλά-
κιον ἐν

© Centre d'Études Supérieures de la Renaissance - Tours

» χιον ἐν σικυρῶτῳ· ὡς πόλις πολιορκουμένη. καὶ ἐξῆς ὀπτελέγ, πῶς ἐγένετο
» πόρνη πόλις πιστὴ σιών, ἐν ᾗ δικαιοσύνη ἐκατοικήθη ἐν αὐτῇ, νυνὶ δὲ φονεῦσι. καὶ
» ὀπτὶ τούτοις· ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδει
» σος ὕδωρ μὴ ἔχων. ϗ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη συπτοῦ, ϗ αἱ ἐργασίαι αὐ-
» τῶν ὡς σπινθῆρες πυρός, ϗ καυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα,
» καὶ οὐκ ἔσται ὁ σβέσων. τούτοις ἅπασιν ὀπτελέγ, καὶ ἔσται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ
» ἐμφανὲς τὸ ὄρος κυρίου, ϗ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. καὶ ὑψωθήσεται
» ὑπεράνω τῶν βουνῶν, ϗ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη· καὶ πορεύσονται ἔθνη
» πολλὰ, ϗ ἐροῦσιν, δεῦτε, καὶ ἀναβαίνωμεν εἰς τὸ ὄρος τοῦ κυρίου, ϗ εἰς τὸν οἶκον τοῦ
» θεοῦ ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, ϗ πορευσόμεθα ἐν αὐτῇ. ὅτι γὰρ σιὼν
» ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἰερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν.

Ἀπὸ τοῦ αὐτοῦ. Καθαίρεσις τῆς δόξης τῶν ἰουδαίων λαῶν, ϗ τῶν ἐθνῶν ἀπὸ τῆς
εἰδωλολατρείας ὀπιστροφὴ πρὸς τὸν ὅλων θεὸν, πάντες ὁμοῦ τῆς ἐρημίας
τῶν ἰουδαϊκῶν πόλεων, καὶ ὁμοῦ τὰ εἰς τὸν θεὸν ἀπιστίας αὐτῶν.

» Τάδε λέγει κύριος σαβαὼθ, καὶ ἔσται οὗπον ἐὰν ἔλθῃς σὺ καὶ πᾶς ὁ λαός σου ἐπὶ τὸ
» ἔδαφος τὸ ἅγιον ἐκεῖνο, καὶ κατακληθῇ ἐν αὐτῇ κλαυθμὸς, ἢ ὡς ῥαγὲς ἐλαίας δύο ἢ τρεῖς ἐπ'
» ἄκρου μετεώρων, ἢ τέσσαρες ἢ πέντε ὀπτὶ τῶν κλάδων αὐλῶν κατακληθῶσι. τάδε
» λέγει κύριος ὁ θεὸς τοῦ ἰσραὴλ τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἀνθρωπος ὀπὶ
» τῷ ποιήσαντι αὐτὸν. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον ἰσραὴλ ἐμβλέψονται· καὶ οὐ
» μὴ πεποιθότες ὦσιν ὀπὶ τοῖς βωμοῖς, οὔτε ὀπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐ-
» ποίησαν οἱ δάκτυλοι αὐτῶν· καὶ οὐκ ὄψονται τὰ δένδρα, οὔτε τὰ βδελύγματα αὐ-
» τῶν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔσται αἱ πόλεις τοῦ ἐκκαλελειμμένου, ὃν τρόπον ἐγκατέλιπον
» οἱ ἀμορραῖοι ϗ οἱ εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν ἰσραὴλ. καὶ ἔσονται ἔρημοι, διότι
» ἐγκατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ κυρίου τοῦ θεοῦ σου οὐκ ἐμνήσθης. διὰ
» τοῦτο φυτεύσεις φύτευμα ἄπιστον. τῇ δὲ ἡμέρᾳ ἢ σὺ φυτεύσῃς, πλανηθήσῃ.

Τοῦ αὐτοῦ. Δήλωσις καθαιρέσεως τῶν ἰουδαϊκῶν πόλεων καὶ ἧς τῶν
ἐθνῶν πρὸς θεὸν ἀφεστώσης.

» Κύριε ὁ θεός μου δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πρόσταγμα
» τα, βουλὴν ἐξ ἀρχαίας, ἀληθινήν. γνῶθι κύριε, ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις
» ὀχυρὰς τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια. τὸ ἀσεβῶν πόλις εἰς τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ.
» διὰ τοῦτο αἰνέσουσί σε λαοὶ ὁ πλησίος, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων αἰνέ-
» σουσί σε. ἐλπὶς γὰρ πᾶσι πόλεσι πεινῆν βοηθὸς, καὶ τοῖς ἀθυμήσασι δι' ὑδρίαν σκέ-
» πη. καὶ ποιήσει κύριος σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ὀπὶ ὄρος τοῦτο. πίονται αἰφρο-
» συνίως, πίονται οἶνον. χεῖρον μεῖζον ἐν ᾧ ὁρᾷ τοῦτο. παράδοξα πάντα τὰ πρώτα τοῖς
» ἔθνεσιν. ἡ γὰρ βυθὴ αὕτη ὀπὶ πρώτα τὰ ἔθνη. κατέπιεν ὁ θάνατος ἰσχύσας. καὶ πάλιν,
» ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ προσώπου, ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ὁ
» θεὸς ἀπὸ πάσης τῆς γῆς. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα.

Τοῦ αὐτοῦ. Ἀγαθῶν ἐπαγγελία τῇ πάλαι ἐρήμῳ ἐξ ἐθνῶν ἐκκλη-
σίᾳ, τοῦτ' ἰουδαίων ἔθνους ἀπόγνωσις καὶ ἔλεγχος τῶν ἁμαρτιῶν αὐτῶν,
καὶ πρώτων τῶν ἐθνῶν κλῆσις.

» Μὴ μιμνῄσκεσθε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. ὅτι ἰδοὺ ἐγὼ ποιῶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» καινὰ ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτὰ, καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύ-
» δρῳ ποταμούς. καὶ εὐλογήσει μὲ τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες καὶ θυγατέρες στρουθῶν.
» ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, λαόν μου ὃν περι-
» εποιησάμην. τὰς ἀρετάς μου διηγεῖσθε. οὐ νῦν ἐκάλεσά σε ἰακὼβ, οὐδὲ κοπιάσαι
» σὲ ἐποίησα ἰσραήλ. οὐκ ἦν ἔγκαίνιά μοι πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν τῇ
» θυσίαις σου ἐδόξασάς με. οὐκ ἐδούλευσάς μοι ἐν δώροις, οὐδὲ ἔγκοπόν σε ἐποίησα
» ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοὶ ἀργυρίου θυμίαμα, οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπε-
» θύμησα. ἀλλ' ἐν ταῖς ἁμαρτίαις σου καὶ ἐν ταῖς ἀδικίαις σου προέστην σου. καὶ ἐν
» τοῖς ἑξῆς φησιν, ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς. ἐγὼ εἰ-
» μὶ, καὶ οὐκ ἔστιν ἄλλος. κατ' ἐμαυτοῦ ὀμνύω, ἢ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου
» δικαιοσύνη. οἱ λόγοι μοῦ οὐκ ἀποστραφήσονται, ὅτι ἐμοὶ πᾶν γόνυ κάμψει, καὶ ὀμεῖ-
» ται πᾶσα γλῶσσα τὸν θεὸν τὸν ἀληθινὸν, λέγων, δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει,
» καὶ αἰσχυνθήσονται πάντες οἱ διορίζοντες ἑαυτοὺς ἀπὸ τοῦ κυρίου.

Τοῦ αὐτοῦ. Δήλωσις τῆς τοῦ χριστοῦ εἰς ἀνθρώπους παρουσίας. καὶ ἔλεγ-
χος τοῦ ἰουδαίων ἔθνους, καὶ τοῖς ἔθνεσιν ἅπασιν ἀγαθῶν ἐπαγγελία.

» Οὕτω λέγει κύριος, ποῖον τὸ βιβλίον τοῦτο τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ἐν ᾧ ἐξ-
» απέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεω πέπρακα ὑμᾶς; ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν
» ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. διότι ἦλθον, καὶ
» οὐκ ἦν ἄνθρωπος ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος. καὶ τὰ ἑξῆς. οἷς ἐπι-
» λέγει, οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς. πεποίθατε ἐπὶ τῷ ὀνόματι
» κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ ὑμῶν. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατ-
» ισχύσατε φλόγα. πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἣ ἐξεκαύσατε.
» δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν. ἐν λύπῃ κοιμηθήσεσθε. καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγει, ἀκού-
» σατέ μου, ἀκούσατέ μου λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε. ὅτι νόμος
» παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. ἐγγίζει ταχὺ ἡ δικαιοσύνη
» μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ ἐπὶ τὸν βραχίονά μου ἔθνη ἐλ-
» πιοῦσιν.

Ελεγχος τῶν ἀσεβημάτων τοῦ τῶν ἰουδαίων ἔθνους, καὶ ἀπόπτωσις αὐτῶν τῆς
εὐσεβείας. τῆς δὲ τῶν ἐθνῶν ἁπάντων κλήσεως δήλωσις. Εκ τοῦ αὐτοῦ.

» Μὴ οὐχὶ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι, ἢ ἐβάρυνεν τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι; ἀλλὰ
» τὰ ἁμαρτήματα ὑμῶν διίστησιν ἀνὰ μέσον ὑμῶν, καὶ τοῦ θεοῦ. καὶ διὰ τὰς ἁμαρτίας
» ὑμῶν ἀπέτρεψεν τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν, τοῦ μὴ ἐλεῆσαι. αἱ γὰρ χεῖρες ὑμῶν
» μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις. τὰ δὲ χείλη ὑμῶν ἐλά-
» λησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. οὐδεὶς λαλεῖ δίκαια, οὐδ' ἔστιν
» ἡ κρίσις ἀληθινή. πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά. ὅτι κύουσι πόνον καὶ
» τίκτουσιν ἀνομίαν. ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. καὶ ὁ θέλων τῶν
» ὠῶν αὐτῶν φαγεῖν, σὺν τρίψας οὔριον εὗρε, καὶ ἐν αὐτῷ βασιλίσκον. ὁ ἱστὸς αὐτῶν,
» οὐκ ἔσται εἰς ἱμάτιον, οὐδὲ μὴ περιβάλονται ἀπὸ τῶν ἔργων αὐτῶν. τὰ γὰρ ἔργα
» αὐτῶν, ἔργα ἀνομίας. οἱ δὲ πόδες αὐτῶν, ἐπὶ πονηρίαν τρέχουσι. ταχινοὶ ἐκχέαι
» αἷμα. καὶ οἱ διαλογισμοὶ αὐτῶν, διαλογισμοὶ ἀφρόνων. σύντριμμα καὶ ταλαι-
» πωρία ἐν ταῖς ὁδοῖς αὐτῶν. αἱ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσιν. καὶ οὐκ
οἴδασιν

© Centre d'Études Supérieures de la Renaissance - Tours

» οἴδασιν εἰρώνω. Δι᾽ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ᾽ αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς
» δικαιοσύνη. ἐσκοτωμένων φῶς, ἐλθὲν αὐτοῖς σκότος. μένοντες αὐτῷ, ἐν
» ἀνοίᾳ πεπατήσομεν. ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐκ ἔχοντων
» τῶν ὀφθαλμῶν, ψηλαφήσουσι. πεσοῦνται ἐν μεσημβρίᾳ, ὡς ἐν μεσονυκτίῳ· ὡς
» ἀποθνήσκοντες γενάξουσιν· ὡς ὄρνεις καὶ πετεινὰ, ἅμα πορεύσονται. καὶ τὰ ἑξῆς.
» οἷς ὄπτασία. καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου, καὶ οἱ ἀπὸ
» ἀνατολῶν ἡλίου, τὸ ὄνομα τὸ ἔνδοξον. ἀλλὰ γὰρ πλείστων ὄντων οὐσῶν περὶ τῆς
αὐτῆς ἐπαγγελίας περιφητειῶν, ταῖς παραπεφεισμέναις μαρτυρίαις ἐγκεκαθησόμεθα, καὶ κατ᾽ καιρὸν αὖθις ἀναλαβόντες ἐξομαλίσομεν. ἡγούμενοι τέως ἀρκεῖν τὰ λεχθέντα, ἐκ τῶν ἀπὸ τούτων μαρτυρίας κεχειρημένοι, ἱκανῶς ἀποδεδηλωκέναι μηδὲν πλέον ἔχειν ἰδαίους τῶν λοιπῶν ἐθνῶν. εἴτε γὰρ τῶν θεοφιλεῖς ἀβραὰμ ὑπολογίας μόνους αὐτοὺς φασιν εἶναι κοινωνοὺς, ἀφ᾽ ὧν ἐξ αὐτοῦ καταγεν τὸ γένος· ἀλλὰ καὶ τοῖς ἔθνεσι τῆς ἴσης τοῦ ἀβραὰμ οὐ μόνον, ἀλλὰ καὶ τοῦ ἰσαὰκ καὶ τοῦ ἰακὼβ ὑπολογίας μεταδώσειν ἐπηγγείλατο. Δι᾽ ἀρρήδου ὑπολογήσεσθαι ὁμοίως πάντα τὰ ἔθνη τοῦ φησιν, καὶ ἐπὶ μίαν καὶ τὴν αὐτὴν ὑφεστηκυῖαν τοῖς μακαρίοις καὶ θεοφιλέσι καὶ τὰ λοιπὰ ἔθνη ἀναλαλοῦμεν, καθ᾽ ὃ, ὑφεγνώσθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ, ἐλεύσονται λαοὶ συνηγμένοι μετὰ τοῦ θεοῦ ἀβραάμ. εἴτε ὅτι βασιλεία τοῦ θεοῦ, ὡσανεὶ αὐτοῦ γεγονότες κλῆρος, φρυάττονται· ἀλλὰ καὶ ὅτι πάντα τὰ λοιπὰ ἔθνη βασιλεύσειν ὁ θεὸς θεατίζεται. εἴπατε γάρ, φησιν, ἐν τοῖς ἔθνεσιν ὅτι κύριος ἐβασίλευσε. καὶ πάλιν, ἐβασίλευσεν ὁ θεὸς ὅτι πάντα τὰ ἔθνη. εἴτε ὅτι τὸ ἱερουργεῖν καὶ τῷ θεῷ λατρεύειν ἐξηλέχθαι αὐτοὺς φαίνεται, δεικτέον ὡς καὶ τοῖς ἔθνεσι τῆς ἴσης ὁ λόγος μεταδώσειν ἐπηγγείλατο θεραπείας, λέγων, ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. οἷς καὶ ὁ τῶν ᾠδῶν τὴν ἱλαρὰν σωτηρίαν λόγιον, ὃ φῆσιν, ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ αἰγύπτου, καὶ γνώσονται οἱ αἰγύπτιοι τὸν κύριον. καὶ ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσιν. εἶτα καὶ βαπτίσῃ ὡς ἐκ τοῦ τῆς ἱερουσαλὴμ ὅτι τῆς αἰγύπτου θυσιαστήριον τῷ κυρίῳ συσήσεσθαι, καὶ θύσειν αὐθὶ τοὺς αἰγυπτίους καὶ εὔξεσθαι εὐχαὶ, καὶ ἀποδώσειν τῷ κυρίῳ τοῦ φητεύεται. οὐ μόνον δὲ ἆρα ὅτι τῆς αἰγύπτου, ἀλλὰ καὶ ἐπ᾽ αὐτῆς τῆς ἀληθοῦς ἱερουσαλὴμ, ἥτις ποτὲ αὕτη νοεῖται, πάντα τὰ ἔθνη, καὶ αὐτοί γε οἱ πάντων δεισιδαιμονέστατοι αἰγύπτιοι τὴν ἀξιόνειαν θεωρουμένην σκηνοπηγίαν ἑορτάσειν ἐκ τοῦ τῆς προφητείας ἀναλαβών). Εἰ δὲ καὶ πάλαι προέτερον ἐλπίδη μέρις κυρίου λαὸς αὐτοῦ ἰακὼβ, κλῆσις κληρονομίας αὐτοῦ ἰσραὴλ, ἀλλ᾽ ὕστερόν ποτε καὶ τὰ ἔθνη πάντα τῷ κυρίῳ δοθήσεται κλῆρος εἴρηται· φήσαντος αὐτῷ τῷ παιδὶ, αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. καὶ γὰρ καταπειρώσειν οὐ τῆς ἰουδαίας, ἀλλ᾽ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ περάτων τῆς οἰκουμένης προφητεύει, πάντα τε τὰ ἔθνη δουλώσουσιν αὐτῷ, καὶ εὐλογηθήσειν ἐν αὐτῷ πᾶσαν αἱ φυλαὶ τῆς γῆς. τοῦτον δεῖν ἄρα, ὃ γνώσεσθαι τῶν ὅλων θεὸν ὃν σωτήριον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν. σεσημείωται δὲ ἡμῖν ἤδη προέτερον τὸ ἰησοῦς ὄνομα εἰς τὸ ἡμίσεων ἀπὸ τοῦ ἑβραίων μεταδημόμενον φωνῆς, σωτήριον ἑρμηνεύεσθαι, ὡς μηδὲν ἕτερον εἶναι τὸ σωτήριον τοῦ θεοῦ, ἢ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὴν δ' Ῥωτῆρος λιμνὴν ἰησοῦ χριστοῦ τοῦ σωτῆρος εἶναι. μάρτυρα τούτῳ καὶ ὁ συμεὼν
ἐν ᾧ διαγγέλῳ, ὃς λαοῦ τὸ παιδίον αὐτὸν δηλοῖ τῷ ἰησοῦ μὴ χείρας ἐπενέγκαντος,
» νεῦ ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλ-
» μοί μου τὸ Ῥωτήριόν σου, ὃ ἡτοίμασας κατὰ τοῦ Ῥώπου πάντων τῶν λαῶν. φῶς εἰς ἀπο-
» κάλυψιν ἐθνῶν. αὐτὸν ἰησοῦν τὸ Ῥωτήριον καὶ ὁ ψαλμῳδὸς ἐδήλου, λέγων· ἐγνώρισε
» κύριος τὸ Ῥωτήριον αὐτοῦ, ἐνώπιον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.
καὶ κατὰ τὴν ἡμετέραν τοῦτ' αὐτὸ τὸ Ῥωτήριον ἰδόντες πάντες ἀνθρωποι, τοῦ σωτῆρος
λέγονται πᾶν ὅλων θεῶν τὸ Ῥωτήριον αὐτοῦ τοῖς πᾶσιν ἀφθόνως κεχαρισμένον. καὶ
τοῦ σωτῆρος γε αὐτῶν, οὐκ ὀπὶ τῆς κάτω ἱερουσαλὴμ τῆς κατὰ τὴν παλαιστίνην,
ἀλλ' ἕκαστον ἐν τοῦ τόπου αὐτοῦ, καὶ πάντας τοὺς ἐν ταῖς νήσοις τῶν ἐθνῶν. ὅτε καὶ πλη-
ρωθήσεται τὸ φάσκον λόγιον, ὑπακουσθήσεται πάντας ἀνθρώπους οὐκ ἔτι τοὺς πα-
τρῴους θεοὺς, οὐδὲ τὰ εἴδωλα καὶ τοὺς δαίμονας, ἀλλὰ τὸ ὄνομα κυρίου· καὶ δουλεύσῃ
αὐτῷ ὦτο ζυγὸν ἕνα. οὐ περάτων τε πομπῶν αἰθιοπίας προσοίσουσιν αὐτῷ
τὰς λογικὰς καὶ ἀναίμους θυσίας, ἀφ' ἧς τῆς χριστοῦ καινῆς διαθήκης, οὐκ ὀπὶ τῆς
κάτω ἱερουσαλὴμ, οὐδ' ἐν τῷ προτέρῳ θυσιαστηρίῳ, ἀλλ' ἐν τοῖς ἀνὰ πᾶσαν οἰκουμένην
πέρασι τῆς αἰθιοπίας ἀνενεχθησομένας. εἰ δὲ καὶ μέγα τί ὅστιν λαὸν εἶναι τὸ χρη-
ματίζειν θεοῦ, τὸ ἔστιν τοῦτο τῶν μεγίστων θείων ἐπαγγελιῶν τυγχάνει, τὸ ὦτο αὐτοῦ
» λέγεσθαι πρὸς τῶν ἀξίων αὐτοῦ, ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός· ἐ-
σεμνύνετό τε πρὶν εἰκότως ὁ ἰσραὴλ ὅτι τῷ ὡς μόνος λαὸς ὢν τοῦ θεοῦ, ἀλλὰ καὶ
τοῦτο τὸ ἀγαθὸν ὑπεδημήσας ὁ κύριος, τοῖς ἔθνεσι χαρίσασθαι ὦτο ἐφώνησε, λέγων,
» ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου. καὶ καταφεύξονται ἔθνη πολλὰ
» ὅτι ὃν κύριον, καὶ ἔσονται αὐτῷ εἰς λαόν. πρὸς ὧν καὶ ἁρμόσει λέγεσθαι, καὶ ἐρεῖ
» τῷ λαῷ μου, λαός μου εἶ σύ· καὶ αὐτὸς ἐρεῖ, κύριος ὁ θεός μου εἶ σύ. εἰ δ' αὐτός ὅστι
καὶ οὐδεὶς ὅλως ὁ χρόνος ὁ ἐκ ῥίζης ἰεσσαὶ βλαστήσας προφητευόμενος, καὶ τοῦτό γε καὶ
αὐτοῖς ἑβραίοις ὁμολογεῖται), ὡς μηδένα μηδαμῶς πρὸς τούτου γε ἀμφισβητεῖν,
ὅσα ὅπως καὶ ἔστ' ἀναστήσεσθαι ὅτι ὁ ἐξ ἰεσσαὶ, ἀλλὰ τῶν ἐθνῶν ἀναπε-
φώνηται, ἀφ' ὅτε ἔθνη ἤλπισαν ἐπ' αὐτῷ, οὐ γὰρ οὐκ ἔτι ἰσραὴλ λέλεκται), ἐπειδήπερ αὐ-
τὸς ἐν ἑαυτῷ τοσαύτα τῶν ἐθνῶν. δι' ὃ καὶ κρίσιν τοῖς ἔθνεσιν ἐξοίσειν λέγει), καὶ εἰς φῶς
» ἐθνῶν γνήσεσθαι· καὶ πάλιν, ὅτι τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι. καὶ εἰς σωτηρίαν δο-
θήσεσθαι οὐ μόνοις ἰουδαίοις, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις τοῖς ἕως ἐσχάτου τῆς γῆς.
» διὸ καὶ εἴρηται αὐτῷ ὦτο τοῦ καταπέμψαντος αὐτὸν παῖδός, ἔδωκά σε εἰς διαθή-
» κην γένους· εἰς φῶς ἐθνῶν, τοῦ καταξῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας
» ἐρήμους. μάρτυρον ὃ τοῖς ἔθνεσί φησιν, ὡς τε πάντα τὰ ἔθνη τὰ μηδέποτε τὰ πρὸς
ἰησοῦ μεμαθηκότα, γνόντα τὴν πρὸς αὐτοῦ οἰκονομίαν, καὶ τὴς ἐν αὐτῷ δυνά-
μεως, ὑπακούσεσθαι αὐτὸν, καὶ τοὺς μὴ πάλαι ποτὲ εἰδότας αὐτὸν λαοὺς, ἐπ'
αὐτὸν καταφεύξεσθαι. καὶ τί μὲ δεῖ μηκύνειν τὸν λόγον; πρὸν δ' ἐξ αὐτῶν τῶν προ-
φητικῶν λέξεων, ὧν τε προτεθείμεθα καὶ ὧν ὑπὸ χρόνῳ μνημονεύσομεν, ἐν τῇ θείας
φερομένων γραφῆς, ὅτῳ φίλον ἀναλέξασθαι τὰς προφητικὰς φωνὰς, αὐτόθεν
καταγιάζειν τοὺς ἐκ περιτομῆς, φάσκοντας μόνοις αὐτοῖς τὰς ἐπαγγελίας τοῦ θεοῦ
δεδωρῆσθαι· λιμὰς δὲ τοὺς ἀπὸ τῶν ἐθνῶν, περιποιεῖ), καὶ τῶν θείων ὑποσχέσεων
ἀλλοτρίους. δέδηκται γὰρ ἔμπαλιν, ὡς τεθείασται τὰ μὴ ἔθνη πρόσω τῆς χριστοῦ

προσίας

παρουσίας ἀπολαύσειν, τὰ δ' ἰουδαίων πλήθη ἀποπεσεῖσθαι τῆς πρὸς τοὺς αὐτῶν προγόνους ἐπαγγελίας διὰ τὴν εἰς χριστὸν αὐτῶν ἀπιστίαν, σπανίων ἐξ αὐτῶν εἰς τὴν σωτῆρα καὶ κύριον ἡμῶν πιστευσάντων, καὶ διὰ τοῦτο τῆς ἐπηγγελμένης πνευματικῆς ἀπολυτρώσεως δι' αὐτοῦ τευξομένων· περὶ ὧν καὶ ὁ θαυμάσιος ἀπόστολος διδάσκει που, λέγων, Ἡσαΐας δὲ κραυγάζει ὑπὲρ τοῦ ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ὑπόλειμμα σωθήσεται. λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προεῖπεν Ἡσαΐας, εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν. οἷς μεθ' ἕτερα ἐπιφέρει λέγων, μὴ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, μὴ γένοιτο. καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος ἀβραὰμ, φυλῆς βενιαμίν. οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω. ἢ οὐκ οἴδατε ἐν ἡλίᾳ τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ θεῷ, λέγων περὶ τοῦ ἰσραὴλ; κύριε, τοὺς προφήτας σοῦ ἀπέκτειν, τὰ θυσιαστήρια σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου, τοῦ λαβεῖν αὐτήν. ἀλλὰ τί λέγει ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατὰ ἐκλογὴν χάριτος γέγονεν. διὰ τούτων γὰρ ὁ ἀπόστολος σαφῶς ἐπὶ τῇ τοῦ παντὸς ἰουδαίων ἔθνους ἀποπτώσει, ἑαυτὸν καὶ τοὺς αὐτῷ παραπλησίους ἀποστόλους τε καὶ εὐαγγελιστὰς τοῦ σωτῆρος ἡμῶν, πάντας τοὺς ἔτι καὶ νῦν ἐξ ἰουδαίων εἰς τὸν χριστὸν πιστεύσαντας, τὸ σπέρμα εἶναι διὰ σαφεῖ τὸ ὑπὸ τοῦ προφήτου ὠνομασμένον κατὰ τὸ, εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα. τοῦτο δὲ εἶναι καὶ τὸ ἐν ταῖς λοιπαῖς προφητείαις δηλούμενον ὑπόλειμμα τοῦ παντὸς, ὅπερ φησὶν κατ' ἐκλογὴν χάριτος πεφυλάχθαι. περὶ οὗ ὑπολείμματος φέρε πάλιν τὸ ἀπὸ τῶν προφητῶν ἐξαπλώσωμεν, ὡς ἂν παρασταίη διὰ πλειόνων, ὅτι μὴ ἀδιακρίτως παντὶ τῷ ἰουδαίων ἔθνει τὴν τοῦ χριστοῦ παρουσίαν σωτήριον ἔσεσθαι ὑπέσχετο ὁ θεὸς, ἀλλ' ὀλίγοις καὶ κομιδῇ σπανίοις τοῖς εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν πεπιστευκόσιν, ὡς περ οὖν καὶ τὸ ἔργον ἀκολούθως ταῖς προῤῥήσεσιν ἐπηκολούθησεν.

Ὅτι μὴ εἰς πᾶν τὸ ἰουδαίων ἔθνος, ἀλλ' εἰς ὀλίγους αὐτῶν διήκει τὰ τῶν θείων ἐπαγγελιῶν. ἀπὸ τοῦ Ἡσαΐου.

Η γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι. τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὁ πωροφυλάκιον ἐν σικυκράτῳ, ὡς πόλις πολιορκουμένη· καὶ εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν. ἀρχόμενος ὁ μέγας καὶ θαυμάσιος προφήτης τῆς οἰκείας βίβλου, τὴν πᾶσαν τῆς προφητείας ὑπόθεσιν, κατὰ τῆς ἰουδαίας καὶ κατὰ τῆς ἱερουσαλὴμ ὅρασιν καὶ θεωρίαν περιέχειν διδάσκει, ἔπειτα τὸ πᾶν ἰουδαίων ἔθνος ἀπελέγχει, πρῶτα μὲν λέγων, ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. εἶτα τὸ πᾶν ἔθνος ταλανίζων, ἐπιφέρει, οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι. τούτοις ἐν ἀρχῇ τῆς βίβλου κατ' αὐτῶν χρησάμενος τοῖς ἐλέγχοις, καὶ προδιδάξας τὰς αἰτίας τῆς μελλούσ

© Centre d'Études Supérieures de la Renaissance - Tours

σης ἐπιφέρεσθαι κατ' αὐτῶν προῤῥήσεως, ἑξῆς ἀπέρχεται φάσκων, ἡ γῆ ὑμῶν
ἔρημος· μὴ οὔσης ἐρήμου καθ' οὓς προεφήτευε χρόνους. αἱ πόλεις ὑμῶν πυρίκαυ-
στοι· μηδὲ τούτου πω γεγενημένου. ἀλλ' οὐδὲ τὴν χώραν αὐτῶν τότε ἤσθιον ἀλλότριοι·
καὶ ὅμως φησὶν, τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν. καὶ
τὰ ἑξῆς. εἰ οὖν ἐπὶ τὴν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ μετέλθοις παρουσίαν, καὶ
τοὺς ἐξ ἐκείνου καὶ εἰς δεῦρο χρόνους, πάντα ἂν εὕροις τὰ εἰρημένα πληρούμενα.
ἥτε γὰρ θυγάτηρ σιὼν, αὕτη δὲ ἦν ἡ ἐπὶ ὄρους τῶν καλουμένου σιὼν ἐπιτελουμένη
θρησκεία, ἀπὸ τῆς ἰησοῦ τοῦ σωτῆρος ἡμῶν παρουσίας, ἐγκαταλέλειπται ὡς σκη-
νὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυκράτῳ, καὶ εἴ τι τούτων ἐρημότερον.
τήν τε χώραν αὐτῶν ἀλλότριοι ἐνώπιον αὐτῶν κατεσθίουσι, τοτὲ μὲν δασμοὺς καὶ φό-
ρους αὐτοὺς εἰς πραττόμενοι, τοτὲ δὲ ἴδιον ἑαυτῶν κτῆμα τὴν πάλαι τῶν ἰουδαίων
γῆν πεποιημένοι. ἀλλὰ καὶ τὸ ἱερὸν τὸ εὐπρεπὲς τῆς μητροπόλεως αὐτῶν ἠρειπίωται,
κατεστραμμένον ὑπὸ λαῶν ἀλλοτρίων. αἵτε πόλεις αὐτῶν πυρίκαυστοι γεγόνασι,
καὶ γέγονεν ἱερουσαλὴμ ἀληθῶς πόλις πολιορκουμένη. ἀλλ' ἐπεὶ τούτων περὶ αὐτοὺς
συμβεβηκότων ὁ τῶν ἀποστόλων χορὸς, οἵτε ἐξ ἑβραίων εἰς τὸν χριστὸν πεπιστευκότες
γονίμου δίκην σπέρματος ἐξ αὐτῶν ἐκείνων διεφυλάχθησαν, καθ' ὅλης τε τῆς οἰ-
κουμένης καὶ εἰς πᾶν γένος ἀνθρώπων διηθόντες, πᾶσαν πόλιν καὶ τόπον καὶ χώραν
τοῦ οἰκείου καὶ ἰσραηλιτικοῦ σπόρου κατέπλησαν, ὥστε ἐξ αὐτῶν στάχυς τὰς ἐπ'
ὀνόματος τοῦ σωτῆρος ἡμῶν ὑποστάσας ἐκκλησίας φῦναι, εἰκότως ὁ θεῖος προ-
φήτης ἐπιλέγει τὸν προαποφανθείσαις κατ' αὐτῶν ἀπειλαῖς, εἰ μὴ κύριος σα-
βαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν
ὡμοιώθημεν. ὅπερ συναγαγὼν ἐπὶ τὸ σαφὲς ἑρμηνεύει ἐν τῇ πρὸς ῥωμαίους
ἐπιστολῇ ὁ ἱερὸς ἀπόστολος, ἡσαΐας δὲ κραυγάζει ὑπὲρ τοῦ ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀρι-
θμὸς τῶν υἱῶν ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ ὑπόλειμμα σωθήσεται. λό-
γον γὰρ συντελῶν καὶ συντέμνων ποιήσει κύριος ἐπὶ τῆς γῆς. καὶ καθὼς προείρη-
κεν ἡσαΐας, εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενή-
θημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν. οἷς αὖθις προστίθησι, λέγων, μὴ ἀπώ-
σατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος
ἀβραὰμ φυλῆς βενιαμίν. οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. ἢ οὐκ
οἴδατε ἐν ἡλίᾳ τί λέγει ἡ γραφὴ, ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ ἰσραὴλ; κύριε τοὺς
προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν. κἀγὼ ὑπηλείφθην
μόνος, καὶ ζητοῦσί μου τὴν ψυχὴν, τοῦ λαβεῖν αὐτήν. ἀλλὰ τί λέγει αὐτῷ ὁ χρημα-
τισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ
τῇ βάαλ. οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέ-
γονεν. ὅτι δ' οὐκ εἰς ἄλλον καιρὸν ἀλλ' εἰς τὴν τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν ἰησοῦ
χριστοῦ συντείνει ἡ προφητεία, ἑξῆς ὁ λόγος μετὰ τὸ φάναι, εἰ μὴ κύριος σαβαὼθ
ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώ-
θημεν, τὸν πάντα τῶν ἰουδαίων λαὸν, λαὸν γομόρρας ὀνομάσας, τοὺς δὲ ἡγου-
μένους αὐτῶν, ἄρχοντας σοδόμων, ἐπιφέρει παραίτησιν τῆς κατὰ μωσέα θρησκείας,
καὶ τῆς διὰ τοῦ σωτῆρος ἡμῶν πᾶσιν ἀνθρώποις κατηγγελμένης διαθήκης τὸν
τρόπον, λέγω δὴ τὴν διὰ λουτροῦ παλιγγενεσίας, λόγον τε ἄντικρυς νέον καὶ νόμον εἰσῆ-

κται

» κται ἐν τῇ πρὸς τ̃ Ἰουδαίων προφῆτ. λέγ. ὃ οὕτω, ἀκούσατε λόγον κυρίου ἄρ-
» χοντες Σοδόμων, προσέχετε νόμον θεοῦ λαὸς Γομόῤῥας, τί μοι πλῆθος τῶν θυσιῶν
» ὑμῶν; καὶ τὰ ἑξῆς. ἄνωθεν οἰκεῖα ὄντα τῆς κ̄τ̄ μαρτύρια νομοθεσίας αὐτῶν, αἰτιασά-
μ. ἀφέσεως ἁμαρτημ̄τ̄ ἕτερον τρόπον, τ̄ δὲ τ̃ σωτηρίου λουτροῦ καὶ θ̃ σαφῶς τοῦτο
» κηρυττομένου βίᾳ, λέγων, λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ
» τῶν ψυχῶν ὑμῶν. καὶ τὰ ἑξῆς. ἔρχονται δὲ Σοδόμων, καὶ λαὸν Γομόῤῥων δι' ὧν
» αἰνίττεται αὐτ̃ ὠνόμασεν, ὁ αὐτὸς προέφησε τοιαῦτα χρῆμα εἰπών, αἱ γὰρ χεῖρες ὑμῶν
» πλήρεις αἵματος. καὶ αὖθις δὲ ἐπιστρέψας λέγει, τίνι ἀνομίαν αὐτῶν ὡς Σοδόμων
» ἀνήγγειλαν, καὶ ἐπεφώνησαν. ἀπὸ τῆς ψυχῆς αὐτῶν, ὅτι ἐβουλεύσαντο βουλὴν πονη-
» ρὰν καθ' ἑαυτῶν, εἰπόντες ὅτι δήσωμεν τ̄ δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Σφέσα-
τα αἵματός υἱνος ἐκ ἑνὸς δικαίου μεμηνυμένος ὑπὸ βουλῆς. υἱνος δὲ ἦρα, ἢ θ̃ Σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ. δι' ὧν κ̄ μθ' ὧν ἀπώλετο μετῆλθον αὐτὸν τὰ προφητικὰ μηνύματα.

Τοῦ αὐτοῦ Ἱερεμίου.

» Τῇ δὲ Ἱερεμίᾳ ἐκείνῃ ὑπελάμβ. ὁ θεὸς ἐν βουλῇ μ̄τ̄ δόξης ὑπὲ τῆς γῆς, θ̃ ὑψώ-
» σαντα καὶ τοῦ δοξάσαντος ὃν καθηλόφθειν τ̃ Ἰσραὴλ ἐν σιὼν, καὶ ὃ καθηλόφθειν ἐν Ἰε-
» ρουσαλήμ. ἅγιοι κληθήσονται πρώτοις οἱ γραφέντες εἰς ζωὴν εἰς Ἱερουσαλήμ. καὶ τί
δ' ἂν ἄλλοιο ὃ καθηλόφθειν τ̃ Ἰσραὴλ, αὐτὸς ὁ προφήτης διεσάφησεν εἰπών,
» πρώτοις οἱ γραφέντες εἰς Ἱερουσαλὴμ ἐκ οἱ κληθέντες ἅγιοι. τίς οὖν αὕτη Ἱερεμίου ἡμέ-
ρα ἐν ᾗ δοξάσθη ὁ θεὸς καὶ ὑψώθη ὃ καθηλόφθειν τ̃ Ἰσραὴλ, καὶ τοὺς κληθησο-
μένους ἁγίους, καὶ γραφησομένους εἰς ζωήν λέγε), ἀναδραμόντα σοὶ τὸν ὅλον τῆς
προφητικῆς διηγήσιν δῆλον ἔσται. ἐν ἀρχῇ τοιγαροῦν τῆς ὅλης βίβλου τὸν κ̄τ̄ τ̃
Ἰουδαίας καὶ κ̄τ̄ Ἱερουσαλὴμ ἰδὼν ὅρασιν ὁ προφήτης, ἢ διὰ πλείστων ἀπαει-
θουμενοσάμενος τὰ τ̃ παντὸς Ἰουδαίων ἔθνους ἀσεβήματα, ἀπειλήσας τε καὶ εἰ-
πὼν τὰ περὶ τῆς καταστροφῆς αὐτῶν, καὶ τ̃ παντελοῦς ἐρημίας Ἱερουσαλήμ, τέλος
» τῆς κατ' αὐτῶν θεωρίας ἐπάγ. λέγων· ἔσται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ
» φύλλα, ἢ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτ̃, ὡς καλάμη συπαίου,
» ἢ αἱ ἐργασίαι αὐτῶν, ὡς σπινθῆρες πυρὸς, καὶ καυθήσονται οἱ ἄνομοι, ἢ οἱ ἁ-
» μαρτωλοὶ ἅμα, ἢ σβέσαι ἔσται ὁ σβέσων. περιῤῥάμενος δὲ ἐν ταύτῃ τὸν κατ' αὐ-
τῶν προῤῥήσιν, ἐπισχολὴν ποιεῖται. ὀξὺ ἑτέρας δὲ ἀρχῆς, δευτέρας ἐπιθέσεως
» ἀπτῆ), ἐκ προοιμίου γὰρ τῷ λεγομένῳ τοιῷδε χρῆ), ὁ λόγος ὁ γενόμενος πρὸς
» Ἱερεμίαν ὑὸν Ἀμώς, τ̄ προφήτην περὶ τ̃ Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ. ἤ, ὡς ὁ
σύμμαχος Ἑρμήνευσεν, ἐπὶ τ̃ Ἰουδαίας καὶ ἐπὶ Ἱερουσαλήμ. ἵνα τὴν ἐπιστολὴν
ψ̄ῆ) περὶ ὧν τὰ σκυθρωπὰ προλαβὼν ἐθάπτισε, τούτων αὖθις πάλιν τὰ χρηστό-
τερα μεταβαλόντα λέγει. ἀλλ' ὀκνῶ δὴ τοῦτο ὑπιστέλλειν φαῦλα ἢ τὴν ὑπιφε-
ρομένων ἀκολουθία, ἐπὶ μὲν τ̃ Ἰουδαίων ἔθνους, ἢ ἐπὶ τοῦ καλουμένου Ἰσρα-
ὴλ οὐδὲν οὐδὲ ὅλως χρηστὸν προέχουσα, οὐδέ γε ἐπὶ τῆς Ἰουδαίας, οὐδὲ ἐπὶ
Ἱερουσαλήμ, τοὐναντίον δὲ μυρίας κ̄τ̄ τ̃ Ἰσραὴλ μέμψεις ἢ κατηγορίας, ἀπει-
λάς τε κ̄τ̄ τῆς Ἱερουσαλὴμ σκυθρωπὰς, καὶ τ̄ πᾶσι τοῖς ἔθνεσι σωτήριον κλῆσιν
ἢ γνῶσιν τ̃ ὑπὲ παντῶν θεοῦ θεραπείουσα, ἢ ἐπὶ πρὸς τούτοις, ὁρᾷς ὑπιφαίνειν
καινοῦ, καὶ οἴκου θεοῦ ἑτέρου παρὰ τὸν ἐν Ἱερουσαλὴμ δυάδ̄ξιν πρισσεύσα. λέγ
» ει οὕτω μ̄τ̄ ὃ φανῇ περὶ τ̃ Ἰουδαίας ἢ περὶ Ἱερουσαλήμ, ὅτι ἔσται ἐν ταῖς ἐσχάταις

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. καὶ ὑψω-
θήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη. καὶ πορεύσονται
ἔθνη πολλὰ, καὶ ἐροῦσιν, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ
θεοῦ ἰακώβ. καὶ περὶ μὲν τῶν ἐθνῶν ἁπάντων τοιαῦτα θεσπίζει. περὶ δὲ τῶν ἰου-
δαίων ἑξῆς οἷα ἐπιλέγει, ἄκουε· ἀνῆκεν γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ θεοῦ ἰα-
κώβ, ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύ-
λων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν
ἀργυρίου, καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ τὰ ἑξῆς
τούτων ὄντα πλείω, οἷς ἐπιφέρει, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι
αὐτῶν, καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη, καὶ οὐ μὴ ἀνήσω αὐτοὺς, καὶ νῦν εἰσέλθε-
τε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου,
καὶ ἀπὸ προσώπου τῆς δόξης αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. δι' ὧν σα-
φῶς ἀνάστασίν τινα τοῦ κυρίου διδάσκει ἔσεσθαι, ἐν ᾗ θραυσθήσεσθαι πᾶσαν τὴν
γῆν τοῦ ἰουδαίων ἔθνους. περὶ αὐτῶν γὰρ ὁ πᾶς ἦν λόγος. ὥσπερ καὶ ἑξῆς, δι' οὗ φη-
σιν, ἡμέρα γὰρ κυρίου σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ
πάντα ὑψηλὸν καὶ μετέωρον. καὶ τὰ τούτοις ἀκόλουθα. ἐν ταύτῃ τοιγαροῦν τῇ ἡ-
μέρᾳ τῆς ἀναστάσεως τοῦ κυρίου τὰ κατὰ τῶν ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ θεοῦ
προαγορεύσας, ἐν αὐτῇ ταύτῃ, φησὶ, τῇ ἡμέρᾳ ὑψωθήσεται κύριος, καὶ τὰ
χειροποίητα πάντα κατακρύψουσιν εἰσενέγκαντες εἰς τὰ σπήλαια. μονονουχὶ δη-
λῶν τὴν ἀποστροφὴν τῶν εἰδώλων, ἣν ἀπεστράφησαν αὐτοί τε ἰουδαῖοι, καὶ οἱ λοι-
ποὶ πάντες ἄνθρωποι μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἐπιφάνειαν, καταπτύσαν-
τες πάσης δεισιδαιμονίας. τῇ γοῦν ἡμέρᾳ ἐκείνῃ, φησὶν, ἐκβαλεῖ ἄνθρωπος
τὰ βδελύγματα αὐτοῦ τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ ἃ ἐποίησαν, προσκυνεῖν τοῖς μα-
ταίοις. καθ' ὅλου, ὡς εἰκὸς καὶ περὶ παντὸς ἀνθρώπου ταῦτα ἀναφωνῶν, διὰ τὴν
μελλούσαν ἔσεσθαι τῶν ἐθνῶν κλῆσιν. ἰδίως δὲ αὖθις περὶ τοῦ ἰουδαίων ἔθνους ὑπὸ
μίαν διάνοιαν ἑξῆς ἐπιλέγει, ἰδοὺ ὁ δεσπότης κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς
ἰουδαίας καὶ ἀπὸ ἱερουσαλὴμ ἰσχύοντα, καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου, καὶ ἰσχὺν ὕδατος.
γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστὴν, καὶ δικαστὴν, καὶ προφήτην, καὶ στοχα-
στὴν, καὶ πρεσβύτερον, καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχι-
τέκτονα, καὶ συνετὸν ἀκροαστήν. καὶ τὰ τούτοις ἑξῆς. ἐνθὰ ἐπιστήσας, παράθες τὰ
προλεγόμενα τῆς προφητείας δι' ὧν εἴρηται, ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου
πρὸς ἡσαΐαν υἱὸν ἀμὼς ὑπὲρ τῆς ἰουδαίας καὶ ὑπὲρ ἱερουσαλήμ. ὡς μᾶλλον κατ'
αὐτῶν ἢ ὑπὲρ αὐτῶν τὰ ἐπενηνεγμένα τυγχάνει. εἰ μήτις ἄρα ἐν τούτοις λανθά-
νων περιέχεται νοῦς. πῶς γὰρ μελλῶν ἀφαιρεῖν ἀπὸ τῆς ἰουδαίας καὶ ἀπὸ ἱερουσαλὴμ
ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, καὶ πάντα τὰ ἐν αὐτοῖς πάλαι
διαπρέποντα, ὑπὲρ τῆς ἰουδαίας καὶ ὑπὲρ ἱερουσαλὴμ ἔσεσθαι τὰ θεσπιζόμενα
προὔλεγε; πῶς δὲ ὑπὲρ αὐτῶν ἐστι καὶ τὰ ἑξῆς αὖθις λέγεσθαι, ἀνεῖται ἱερουσαλὴμ,
καὶ ἡ ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς κύριον ἀ-
πειθοῦντες. ἀλλὰ γὰρ ἐν τοιῷδε καιρῷ ἐν ᾧ τὸ ὄρος κυρίου πᾶσι τοῖς ἔθνεσιν ἀνάγκη
κηρύττεσθαι. ὅ, τε ἐπὶ τοῦ ὄρους οἶκος τοῦ θεοῦ, ἐφ' οὗ πάντα τὰ ἔθνη συνιόντα φα-
σὶν, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακώβ. τοιαύ-

ταις

© Centre d'Études Supérieures de la Renaissance - Tours

ταις ὁ λόγος χρησάμενος κατηγορίαις τοῦ ἰουδαίων ἔθνους, ἀπειλήσας τε αὐτοῖς
καὶ ἔγκλα, ὅπισθεν ἀπὸ τούτοις πᾶσι τὰς προσκτησίους λιμῶν λέξεις, διδάσκων
ὅλη τῷ πρωτὸς ἰουδαίων ἔθνους μόνους ἀποπεσεῖσθαι τῆς χῦ τοῦ θεοῦ υἱοθεσίας,
προειλφθησονται γάρ ἐν αὐτοῖς οὐ σωσαπολούσθωτες τοῖς πᾶσι τῶν κακῶν·
ἔμπαλιν δὲ ὠσθῶ ἐκ μοχθηρῶν καὶ πονηρῶν ἀφορισθησομένοι, καὶ τὸ εἰλικρινὲς τῆς
υἱοθεσίας ὑπεδεδεγμένοι, ἵνα τῶν ἀπὸ τῆς γραφῆς καταξιωθήσονται, τοῦ θεοῦ τε
καὶ ἅγιοι κληθήσονται δοῦλοι. δηλοῖ δὲ ἀφ' ἑαυτῶν τοὺς τοῦ σωτῆρος λιμῶν ἀποστό-
λους καὶ μαθητὰς καὶ διαγγελιστὰς, καὶ τοὺς λοιποὺς ἁπάντας τοὺς ἐν πίστει εἰς αὐ-
τὸν πεπιστευκότας, κῦ τὴν χρόνον τῆς ἀποπλώσεως τοῦ πρωτὸς αὐλῶν ἔθνους. ταῦτα ὁ
» αἰνίττεται φάσκων ὁ λόγος, ἐν τῇ λιμέρᾳ ἐκείνῃ, ἐν ᾗ δηλονότι τὰ προηγορευ-
μένα πάντα περὶ τῆς κλήσεως τῶν ἐθνῶν, καὶ περὶ τῆς τῶν ἰουδαίων ἀποστάσεως
» γενήσεται, ὅτι λάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ὅπὶ τῆς γῆς, τῷ ὑψῶσαι καὶ δοξάσαι
» τὸ καταλλφθὲν τῷ ἰσραὴλ. ἔσαι, τὸ κατοικλφθὲν ἐν σιὼν καὶ τὸ καταλλφθὲν ἐν ἱε-
» ρουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν ἱερουσαλήμ. δι' οὗς
καὶ εἰκότως ἀπὸ τῆς ἰουδαίας καὶ κατ' ἰερουσαλὴμ τῷ προφητείᾳ ἐδήλου λέγε-
σθαι τὸ προοίμιον, ἢ καὶ ἀφὰ τῷ ἀγνῇ ἱερουσαλὴμ, καὶ τῷ δικαλόγως αὐτῇ κῦ
ἀφάνοιαν θεοσυμβόλῳ ἰουδαίαν. περὶ δὲ κῦ καιρὸν εἰσόμεθα. καὶ τίς γε τῶν ἀπο-
στόλων δὲ σωτῆρος λιμῶν καὶ τῶν διαγγελιστῶν τῷ ἐνθεον σωφροσύνην δικαιοσύνῃ, καὶ
ἰῷ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης
τὰ ῥήματα αὐτῶν, πᾶσαι τε ἐξ ἐκείνου καὶ εἰς δεῦρο αἱ τοῦ χριστοῦ ἐκκλησίαι τοῖς
λόγοις αὐτῶν αὐτὰ τὰ μαθήματα ἔχουσι, καὶ ταῖς τῆς καινῆς διαθήκης δι' αὐ-
τῶν κηρυχθείσαις τοῦ χριστοῦ νομοθεσίαις, οὐκ αὖ ἀγνήσαν τῇ προφητείᾳ ὅπι μάρ-
τυρήσαι φησάσῃ ἐμφανῶς, ἐν βουλῇ καὶ μετὰ δόξης ὅπὶ πᾶσαν τὴν γῆν ὑψώσαν
τὸν θεὸν καὶ δοξάσαν τὸ καταλλφθὲν ἰσραήλ. καὶ ὡς ἔσαι τὸ καταλλφθὲν ἐν σιὼν καὶ τὸ
καταλλφθὲν ἐν ἱερουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωήν. ἀν-
τὶ δὲ τοῦ λεγομένου παρὰ τοῖς ἑβδομήκοντα, ἐν βουλῇ μετὰ δόξης, ὁ ἀκύλας καὶ θεοδο-
τίων συμφώνως εἰς δύναμιν καὶ δόξαν ἡρμήνευσαν, τὴν ἐκ τοῦ θεοῦ δοθεῖσαν
τοῖς ἀποστόλοις δύναμιν, καὶ τὴν ὅτι ταύτῃ παρὰ τοῦ θεοῦ δόξαν πιστεύοντες,
» τὸ, κύριος δώσει ῥῆμα τοῖς διαγγελιζομένοις δυνάμει πολλῇ.

» Καὶ αὖθ' ὑπομνήσθω. ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ
» μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσε, καὶ τοὺς
» ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσε, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ
» τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. καὶ εἶπα, ἕως πότε κύριε; καὶ εἶπεν, ἕως ἂν ἐρημωθῶσι
» πόλεις χωρὶς τοῦ μὴ κατοικεῖσθαι, καὶ οἶκοι, χωρὶς τοῦ μὴ εἶναι ἀνθρώπους. καὶ ἡ γῆ καταλεί-
» φθήσεται ἔρημος. καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυν-
» θήσονται καταλελειμμένοι ὅπὶ τῆς γῆς. ὅθεν δὴ καὶ ἐν ταύτῃ λοιπὸν ἔσται οἱ καταλει-
φθέντες πάλιν ὅπὶ τῆς γῆς, τῆς λοιπῆς ἀπάσης ἐρήμου γεγενημένης, μόνοι πλη-
θυνθήσεσθαι λέγονται. εἶεν δ' ἂν καὶ ἕτοιμοι τῶν σωτῆρος λιμῶν μαθηταὶ ἐξ ἑβραίων
εἰς πόλεις ἀνθρώπους προσηλύτους, οἱ δὲ δίκαιοι σπέρματος καταλελειμμένοι,
πολύχρονον προσμείναντες τὸν καιρὸν, ταῖς καθ' ὅλης τῆς οἰκουμένης τῶν ἐθνῶν ἐκκλησίαις.
καὶ θέα γε ὡς κῦ ὁ αὐτὸς φησι τούτους μὲν πληθυνθήσεσθαι μόνους καταλελειμμένους,

ἐκ τῆς τῶν ἰουδαίων ἀποστάσεως, ἐκείνους γεμίζω πάμπαν ἐρήμους ἔσεσθαι. λέ-
» γει γὰρ αὐτῶν, φησὶν, καὶ ἀλλοφύλοις) ἔρημος. τοῦτο δὲ ὁ ἀκριβέστερον ἐπὶ τοῦ
» ἁγίου προφήτου, καὶ ὃ, ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι, τὴν χώραν
» ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν. πότε γὰρ ταῦτα ἐπλήρου-
το, ἢ ἀπὸ τῶν χρόνων τοῦ Χριστοῦ τοῦ ἡμῶν; ἕως μὲν γὰρ οὐδέπω τὰς κατ' αὐτοῦ τε-
χνικὰς δυνατόφρας, οὐκ ἦν ἡ γῆ αὐτῶν ἔρημος, οὐδὲ αἱ πόλεις πυρίκαυστοι, οὐδὲ τὴν χώραν
αὐτῶν ἀνωθεν ἀλλότριοι κατήσθιον. ἀπὸ δὲ τῆς ἐνθένδε φωνῆς ἐκείνης, δι' ἧς ὁ μόνον αὐ-
» τοῖς ἔσεσθαι προεφήτευσεν αὐτὸς ὁ Χριστὸς καὶ κύριος ἡμῶν, εἰπών, ἀφίεται ὁ οἶκος
» ὑμῶν ἔρημος· ἐξ ἐκείνου καὶ ἀπ' ἐκεῖ πολὺ τῆς προρρήσεως, πολιορκηθέντες ὑπὸ ῥω-
μαίων, εἰς ἔρημον κατέστησαν. καὶ τόγε ἄξιον τῆς ἐρημώσεως αὐτῶν ὁ προφητικὸς
λόγος ἀπελέγχει· μονονουχὶ βοᾷ διερμηνεύων, καὶ τὴν αἰτίαν τῆς ἀποπλώσεως
αὐτῶν προίσας. ὅτι γὰρ τὸν σωτῆρος ἡμῶν διδάσκοντος ἐν αὐτοῖς ἀκούσαντες, ὡσὶ
διανοίας οὐκ ἤκουσαν, οὐδὲ συνῆκαν ὅστις ἐστίν. ἰδόντες δὲ αὐτὸν τοῖς ὀφθαλ-
μοῖς, τοῖς τῆς ψυχῆς οὐ τεθέανται, ἐπάχυναί τε ἑαυτῶν τὴν καρδίαν, καὶ μονονουχὶ
τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἔμυσαν, καὶ τὰ ὦτα ἐβάρυναν, ὡς φησιν ἡ προφη-
τεία, τούτου χάριν ἐρημωθήσεσθαι αὐτοὺς φησι τὰς πόλεις, ὥστε τὸ μὴ κατοικεῖσθαι,
καὶ τὴν γῆν ἠρήμωσεν ἔρημον, βεβαιοῖ δὲ τὴν ἀπόφασιν ἐξ αὐτῶν ἐπιφθέγγεται, δίκαιον γὰρ
νίμου καὶ ζωπύρου σπέρματος πεφυλαγμένους. οἱ καὶ εἰς πόλεις προελθόντες ἀν-
θρώπους, πληθυνθήσεσθαι ὅτι τὴν γῆς λέγουσιν). πλὴν ἀλλὰ καὶ μετὰ τὴν προδοσίαν τού-
των αὐτῶν δηλαδὴ τῶν ἀποστόλων τοῦ Χριστοῦ ἡμῶν, ἐφ' οἷς φησιν ἐπ' αὐτοῖς τὴν ἰουδαίας
χώρας δεδημεῖναι ὃ ὅπερ δέκατον, καὶ μετὰ ταῦτα αὖθις ἔσεσθαι αὐτοῖς εἰς προνομὴν
ὡς τρέβινθος, καὶ ὡς βάλανος ὅταν σκιδέσῃ τὴν θήκης αὐτῆς. πρίσηται γάρ, ὡς οἶμαι,
δεῖ τούτων ὁ λόγος, ὅτι μετὰ τὴν προφητικὴν πολιορκίαν, καὶ τοὺς τῶν ἀποστόλων χρό-
νους, καὶ κατὰ ῥωμαίων αὖθις ἐφ' ἕτερα ἐσόμενα ἀνὸν ἰσορροπῶν) πεπονθέναι, αὖθις ὅτε ἀ-
δριανοῦ δεύτερον πολιορκηθέντες πανωλεθρίᾳ ἐάλωσαν, ὡς μηδὲ τὸ ἐδάφους
τοῦ ἱεροσολύμων ὅπου βαίνειν ὅπου τρέπεσθαι. τοῦτο δὴ οὖν αἰνιττόμενός φησιν, καὶ πάλιν
» ἔσεσθαι εἰς προνομὴν, ὡς τρέβινθος καὶ βάλανος ὅταν σκιδέσῃ ἐκ τῆς θήκης αὐτῆς.
» Καὶ ἔσεσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φρέαρ δένδρου πολλοὶ βοῶν, καὶ δύο προ-
» βατα. καὶ ἔσεσθαι ἀπὸ παντὸς ποιοῦ γάλακτος, φάγεσθαι βούτυρον, καὶ μέλι φάγεσθαι πᾶς ὁ κα-
» ταλελειμμένος ἐκ τῆς γῆς. ἐνταῦθα τὴν δηλουμένην ἡμέραν ὅπερ ζητήσας, λύσεις αὐτὸν
» τὸν χρόνον τοῦ Χριστοῦ ἡμῶν ὅπου φανέντος. εἰπὼν γὰρ ὁ προφήτης· ἰδοὺ παρθένος
» ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν· πλησίον δέ μέσου θεωρεῖται καὶ τὸν αὐτὸν ἡ-
μέραν, τοῦτ' ἔστιν ἀμφὶ τὸν χρόνον τοῦ σωτῆρος ἡμῶν ὅπου φανέντος γενησομένων. δυ
νάμεις γὰρ ἀοράτους καὶ ἵππους ἐχθρικὰς καὶ πολεμίους μιᾶς καὶ μιᾶσας νόμοις ἀν-
θρωπείοις ὀνομαζομένους ὅπου ἐπέσεσθαι τῇ τῶν ἰουδαίων χώρᾳ φησὶν, καὶ τὸν κύριον ξυρῷ τοῖς
πολεμίοις, ὡσανεὶ μεγάλου σώματος, τοῦ ἰουδαίου ἔθνους τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν
ποδῶν καὶ ὃν πώγωνα, καὶ πᾶντα συλλήβδην εἰπεῖν, τὸν κόσμον αὐλῶν ξυρήσειν. τού-
των δὴ ἐνθυμίων ἐν τῇ θεωρουμένῃ ἡμέρᾳ τοῦ ἐκ τῆς παρθένου γενομένου, ὃν
καταλελοιπέναι φησὶν ἐκ τοῦ τοῦ παντὸς ἔθνους ἀπωλείας, τοῦτ' ἔστιν πᾶντα τὰ ἐξ
αὐλῶν εἰς ὃν χρεισὸν τοῦ θεοῦ πεπιστευκότα φρέαρ δάμαλιν βοῶν, καὶ δύο πρό-
βατα προφητεύει, ἅπερ τοῦ πλῆθος ποιοῦ γάλακτος φάγεσθαι βούτυρον καὶ μέλι.

νοήσας

© Centre d'Études Supérieures de la Renaissance - Tours

νοήσεις δὲ καὶ ταῦτα κατὰ μυστικὴν θεωρίαν ἐπὶ τῶν τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τετελεσμένα. ὧν ἕκαστος ἐν αἷς σὺν τῇ τοῦ χριστοῦ δυνάμει συνεστήσατο ἐκκλησίαις, δύο πρόβατα, τοῦτ' ἔστιν δύο τάγματα δίκην προβάτων, ἐπὶ τὴν τοῦ χριστοῦ ποίμνην συνιόντα· τὸ μὲν εἰσέτι στοιχειούμενον· τὸ δ' ἤδη διὰ τοῦ λουτροῦ πεφωτισμένον. καὶ ἐπὶ τούτοις μίαν δάμαλιν τὴν ἐκκλησιαστικὴν τῶν προέδρων ἀρχὴν ταῖς ἐνθέοις καὶ λογικαῖς τροφαῖς ἐκθρέψας, γόνιμον ἐξ αὐτῶν γάλα καὶ μέλι τῆς πονηθείσης αὐτῷ τροφῆς τὴν καρπὸν ἀπηνέγκατο. ὅπως μὲν οὖν τὰ τῶν ἀτελεστέρων πλήθη προβάτοις εἴωθεν ὁ θεῖος ἀφομοιοῦν λόγος, οὐδὲν δεῖ λέγειν, πάσης γραφῆς τοῦτο διδασκούσης. τὴν δέγε ἐντελέστερον καὶ τοὺς πολλοὺς γεωργοῦντα τῆς ἐκκλησίας ἡγούμενον, ὅπως ὦ γεωπόνῳ τῶν βοῶν παραβάλλει, συνίστησιν ὁ ἱερὸς ἀπόστολος, λέγων· μὴ τῶν βοῶν μέλει ὦ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν, ἐπ' ἐλπίδι τοῦ μετέχειν. εἰ δὲ προσκόπτοι τις τοῦ τοιαῖσδε τροπολογίαις, ὥρα τοῦτον μηδὲ τὰς ὀνομαζομένας μύιας, ἢ μελίσσας, μηδὲ τὸ ξυρὸν, μηδὲ τὴν πώγωνα, μηδὲ τὰς τρίχας τῶν ποδῶν κατὰ διάνοιαν θεωρεῖν, εἰς ἀτόπους δὲ καὶ ἀσυστάτους ἐκπίπτειν μυθολογίας. εἰ δ' ἀνάγκη ταῦτα μὴ ἀλλῶς ἢ κατὰ μόνην θεωρίαν δέχεσθαι, δῆλον ὅτι καὶ τὰ ἀκόλουθα παραπλησίως.

Τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοὶ, καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν. καὶ ἔσται ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης. καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν, ἔσονται ἀριθμὸς, καὶ παιδίον μικρὸν γράψει αὐτούς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκ ἔτι προστεθήσεται τὸ καταλειφθὲν τοῦ ἰσραήλ. καὶ οἱ διασωθέντες τοῦ ἰακὼβ οὐκ ἔτι πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὴν θεὸν τὴν ἅγιον τοῦ ἰσραὴλ τῇ ἀληθείᾳ, καὶ ἀναστρέψει τὸ καταλειφθὲν τοῦ ἰσραὴλ ἐπὶ θεὸν ἰσχύοντα. καὶ ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον σύντετμημένον ποιήσει ὁ θεὸς ἐν τῇ οἰκουμένῃ ὅλῃ. κἀνταῦθα πρόσχες, ὅτι ἐν τῇ σκυθρωπῶν ἀπειλῇ, φησὶν, ἔσται ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης. καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν, ἀριθμὸς ἔσται, καὶ παιδίον μικρὸν γράψει αὐτούς. δι' ὧν τὸ σπάνιον τῶν φευξομένων τὸν ὄλεθρον ἐκ περιτομῆς λαοῦ, καὶ τὸν τῆς ἱερουσαλὴμ ἐμπρισμὸν παρίστησιν. οἱ δὲ καταλειφθέντες οὗτοί, φησιν, ἀριθμὸς ἔσονται. τοῦτ' ἔστιν ἀριθμῷ λήπτοι γενήσονται, οὕτω βραχεῖς καὶ εὐαρίθμητοι ὄντες. τοσοῦτοι δ' οὖν ὡς ἐν συγκρίσει τοῦ παντὸς πλήθους τοῦ ἰουδαίων ἔθνους, οἱ εἰς τὴν σωτῆρα καὶ κύριον ἡμῶν πεπιστευκότες γεγόνασιν, οἳ καὶ κατηξιώθησαν τῆς ὑπ' αὐτοῦ γραφῆς, ὡς δηλοῖ φάσκων ὁ λόγος, καὶ παιδίον γράψει αὐτούς. προδιδάξας ὅ, τί ποτε ἦν τὸ παιδίον, ἐν οἷς ἔλεγεν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν. καὶ πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα. καὶ ἐπειδήπερ ἐνταῦθα παιδίον φησὶν, γράψει αὐτούς, εἰκότως ἐν τοῖς πρόσθεν ἐλέγετο, καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν σιὼν καὶ τὸ καταλειφθὲν ἐν ἱερουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν, ὥσπερ γοῦν ἐν ἐκείνοις τὸ καταλειφθὲν ὠνόμαστο, οἱ δ' αὐτοὶ γραφέντες ἦσαν εἰς ζωήν· οὕτως καὶ ἐν ταῦθα, οἱ καταλειφθέντες ἀπ' αὐτῶν, ἀριθμὸς ἔσονται. καὶ παιδίον γράψει αὐτούς. τοῦτο δὲ καταλειφθὲν ἐκ τοῦ ἰσραὴλ, καὶ οἱ διασωθέντες ἀπὸ τοῦ ἰακὼβ οὐκέτι, φησὶν, ἔσονται ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὴν ἅγιον τοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἰσραήλ. καὶ ὅρα γὲ εἰ μὴ ταύτῃ γὲ τῇ πεποιθήσει οἱ ἐκ τοῦ ἰουδαίων ἔθνους προσηθόντες, οἵ τε ἐκ τῆς ἀποπτώσεως τοῦ ἰσραὴλ περιλειφθέντες μαθηταὶ καὶ ἀπόστολοι τοῦ σωτῆρος ἡμῶν, μηδένα λόγον ποιησάμενοι τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ἢ τῶν ἀρχόντων τῶν ἐκ περιτομῆς λαοῦ τῶν πάλαι ἀδικούντων αὐτοὺς, ἐξῆλθον εἰς πάντα τὰ ἔθνη κηρύττοντες τὸν χριστὸν λόγον, πεποιθήσει τε τῇ πρὸς τὸν θεὸν, ἐπείπερ κατὰ τὴν προφητείαν πεποιθότες ἦσαν ἐπὶ τὸν θεὸν ἅγιον τοῦ ἰσραὴλ ἐν ἀληθείᾳ. οὐ γὰρ ὑπούλως, οὐδὲ μεθ' ὑποκρίσεως, σὺν ἀληθείᾳ δὲ ὅλοις ἑαυτοὺς ἐπιδέδονται ἐπίδι. οὐ μόνον προῆλθον τῆς ἑαυτῶν χώρας, ἀλλὰ κατώρθωσαν τὸ προστεθειμένον. τοῦτο δὲ αὐτὸ πάλιν τὸ καταλειφθὲν οἱονεὶ τὸ σπέρμα τῆς ἀποπτώσεως τοῦ ἰακὼβ γέγονε, πεποιθὸς ἐπὶ θεὸν ἰσχύοντα, καὶ αὐτὸ δὴ τοῦτο τὸ κατάλειμμα τοῦ παντὸς ἔθνους αὐτῶν γενομένου, ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἀλλ' οὐ κατὰ τὰ ἄστρα τοῦ οὐρανοῦ τῆς παρὰ τῷ θεῷ σωτηρίας ἠξιώθη, ὥσπερ οὖν ἐμαρτύρησεν ὁ ἀπόστολος, εἰπὼν, ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ ἰσραὴλ, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. δύο γάρτοι ἐπαγγελιῶν διὰ τοῦ χρησμοῦ τῷ ἁβραὰμ δεδομένων περὶ τῶν ἐξ αὐτοῦ γενησομένων, ὡς ἄρα ἔσονται κατὰ τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ κατὰ τὴν ἄμμον τῆς θαλάσσης, τῶν μὲν θεοφιλῶν λαμπόντων ὁμοίως τοῖς οὐρανίοις φωστῆρσιν, οἷοι ἦσαν οἱ πάλαι προφῆται, καὶ οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι, οἷς ἐμαρτύρησεν εἰπὼν, ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· τῶν δὲ γηγενῶν καὶ χαμαιπετῶν ἄμμῳ γῆς παραβαλλομένων. εἰκότως ἐν τούτοις ὁ προφητικὸς λόγος, ἐπὰν τὸ πᾶν πλῆθος τῶν υἱῶν ἰσραὴλ ἐκπεσούμενον τῆς ἀξίας καὶ τοῦ μεγαλοφυοῦς τῆς ἀρετῆς, ὅλον δι' ὅλου χαμαιπετὲς γενόμενον παραβληθῇ τῇ ἄμμῳ τῆς θαλάσσης, τότε δὴ τὸ κατάλειμμα αὐτῶν μόνον σωθήσεται. περὶ οὗ καταλείμματος πλεῖστα ἡμῖν γεγύμνασται. ταῦτα δέ φησιν ἔσεσθαι, ἐπὰν αὐτὸς ὁ κύριος συντέμνων καὶ συντελῶν λόγον καθ' ὅλης τῆς οἰκουμένης ποιήσει. ἐναργῶς τὸ εὐαγγελικὸν παρίστας κήρυγμα. ἐν ᾧ πάσης τῆς κατὰ μωσέα περιόδου ἐν εἰκόσι καὶ συμβόλοις καὶ σωματικαῖς θρησκείαις περιαιρεθείσης, ὁ σύντομος τοῦ εὐαγγελίου λόγος εἰς πάντας ἀνθρώπους παραδοθεὶς, τῆς προφητείας τὴν ἀλήθειαν ἐπιστώσατο.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι καὶ ζητῆσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ αὐτοῦ, ὃ ἂν καταλειφθῇ ὑπὸ τῶν ἀσσυρίων, καὶ ἀπὸ αἰγύπτου, καὶ ἀπὸ βαβυλωνίας, καὶ ἀπὸ αἰθιοπίας, καὶ ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἀπὸ τῶν νήσων τῆς θαλάσσης. καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ τοὺς διεσπαρμένους ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. πολλάκις τινῶν λεγομένων ἔσεσθαι ἐν ἐπισήμῳ ἡμέρᾳ, τουτέστιν ἐν ἐπιφανείᾳ χρόνου, λογισμῷ συνάγοντες τὴν τῶν δηλουμένων ἀκολουθίαν, ἐπὶ τὴν τοῦ θεοῦ παρουσίαν ἀναφέρεσθαι ἀπεδείξαμεν, καθ' ἣν τοῦ παντὸς ἰουδαίων ἔθνους ἀποπεσουμένου, σπανίους τινὰς σωθήσεσθαι τοὺς ἐξ αὐτῶν καταλειφθησομένους οἱ θεῖοι δηλοῦσι λόγοι. ἡ γεμὴν μετὰ χεῖρας λέξις καὶ τὴν ἡμέραν καὶ τὸν διὰ ταύτης σημαινόμενον χρόνον, καὶ τὰ ἐπὶ τούτῳ συμβεβηκότα λευκότατα παρίστησιν. θεσπίζουσα γὰρ τὴν ἐκ σπέρματος τοῦ δαβὶδ γενησομένην τοῦ χριστοῦ γένεσιν, ὁμοῦ καὶ τὴν

ἰουδαίων

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἰουδαίων ἀποπλωσιν ωεϱιαιϱουσ. λέγ ϡ δὲ οὕτως· ἰδοὺ δὴ ὁ δεσϖότης κύϱιος
» σαβαὼθ, σωλαϱεύσῃ τοὺς ἐνδόξους μϛ ἰσχύος, καὶ οἱ ὑψηλοὶ ταπεινωθήσονται, καὶ
» πεϱιῶται οἱ ὑψηλοὶ μαχαίϱᾳ. ὁ δὲ λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται. λίθινον
δὲ ἐνταῦθ ιϛ ἱεϱουσαλὴμ ἀνίϖπεται, ὡς ἂν ἑτέϱοις ἀϖεδείξαμεν. ἵν μϛ ϖολύ-
των τῶν ἐν αὐτῇ σεμνῶν καὶ ἐνδόξων ϖεισθῆναι ὁ λόγος ἀϖειλῇ. καὶ ταῦτά γε
» ωεϱιαιϱετικὰ μῦθος, ἐξῆς ὀϖτελέγ ϡ, καὶ ἔξελεύσεται ἐϕόδος ἐκ τ ῥίζης ἰεσσαὶ,
» καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. καὶ τὰ ἑξῆς. σαφέσταται τοίνυν ἐκ ῥίζης ἰεσσαὶ,
ϖατὴρ δὲ ἦν ἐξ οὗ τὸ δαβὶδ, ϕησὶν τοῦ χϱιστοῦ ϖϱοϕῆσαι, ἐϕ' ᾧ ϕησὶ τοίνυν τῶν ἐ-
θνῶν κλῆσιν ωεϱιτϱεϖὼν μῦθ δι' αἰνίγματος ωεϱϕηλικῷ ἔϖῃ ἀναϕωνῶ. ὃ γὰϱ,
» συμβοσκηθήσεται λύκος μϛ ἀϱνὸς, καὶ ϖάϱδαλις σὺν ἐϱίϕῳ σὺν ἀναϖαύσεται,
καὶ τὰ τοιαῦτα, οὐδὲν ἕτεϱον, ἢ τῶν ἀγϱίων καὶ ἀϖήνων τ ἤϑων καὶ μηδὲν θηείων
ἀϕαιϱεϑέντων ἐθνῶν, τοῦ ὀϖτὶ τ ἀσεβῆ τε καὶ ἀμεϱῆ τε καὶ κοινωνικὸν ἤϑους μετα-
» βολὴν ἐδήλου. τοῦτο δὲ αὖθ εἰς ὕστεϱον γυμνότεϱον διδάσκ, ϕάσκων· ἐνεϖλή-
» σθη ἡ σύμϖασα γῆ τ γνῶναι τὸν κύϱιον, ὡς ὕδωϱ ϖολὺ καταλύ ϕ θαλάσσας. καὶ
» ἔτιγε αὖθ ἑαυτὸν ἑϱμηνεύων ὁ ωεϱϕηλικὸς λόγος ὀϖτελέγ ϡ, καὶ ἔσται ἐν τῇ ἡ-
» μέϱᾳ ἐκείνῃ ἡ ῥίζα ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄϱχειν ἐθνῶν. ἐϖ' αὐτῷ ἔθνη ϐλπιοῦσιν,
» καὶ ἔσται ἡ ἀνάϖαυσις αὐτ ἁγία. ὀϖτῶ τοίνυν ἀνωτέϱω μὲν τὴν ἀϖόϖτωσιν τ
ἰουδαίων ἐθνους ἐσήμηνεν ὀϖτικεκαλυμμένως, μϛ δὲ ταῦτα τὴν τῶν ἐθνῶν κλῆσιν
ὁτὲ μὲν κεκαλυμμένως, ὁτὲ δὲ γυμνῶς· εἰκότως αὖθις ἐϖαναλαμϐάνων τ λό-
γον, τῶν ἐκ ωεϱιτομῆς εἰς ὃν χϱιστὸν ϖιστευόντων μνημονεύ ϕ, ὡσϖεϱ ἂν μὴ ϖολύτη
» ἀϖοκλῆσαι αὐτῶν τ εἰς τ χϱιστὸν ἐλϖίδα. ἔσται μὲν γὰϱ, ϕησιν, ὁ ἀνιστάμενος ἄϱ-
» χειν ἐθνῶν. ὃς δ' ἐστὶν ὁ ἀνιστάμενος, ἀλλ' ἡ ῥίζα τοῦ ἰεσσαὶ, ὃν καὶ σαφῶς ϕησιν ἄϱξειν
ἐθνῶν, ἀλλ' οὐχὶ ἰσϱαήλ; ὀϖτῶ τοίνυν ἀϖϱοφόϱως τὴν τῶν ἐθνῶν ὑϖοτϱοϕὴν ὀϖτὶ
τ ἐκ ῥίζης ἰεσσαὶ ϕωτὸς καὶ ϐλαστήσαντα ἐδίδαξεν, οὐδὲν δὲ δεῖν ἔτι χϱηστὸν ωεὶ
τῶν ἐκ ωεϱιτομῆς εἰϱήκει, εἰκότως ὃ ἐλλιϖὲς τῆς ωεϱῥήσεως ἀϖοδίδωσι, ϕά-
» σκων. καὶ ἔσται· ἐν τῇ ἡμέϱᾳ ἐκείνῃ, τοῦτ' ἔστιν ἐν τῷ χϱόνῳ τ ὀϖτοφανείας τοῦ
» ἐκ ῥίζης ἰεσσαὶ φυέντος, ωεϱισθήσ κύϱιος δ δεῖξαι τὴν χεῖϱα αὐτ, ζητῆσαι καὶ
» ζηλῶσαι ὃ καταλειφθὲν ἐϖίλοιϖον τοῦ λαοῦ, ὃ δὴ καταλειφθὴν ἀϖὸ τῶνδε καὶ
» τῶνδε τῶν ϖολεμίων. διὸ ὁ μὲν ἀκύλας ϖεϖοίηκε, καὶ ἔσται ἐν τῇ ἡμέϱᾳ ἐκεί
νῃ ωεϱισθήσ κύϱιος δεύτεϱον τὴν χεῖϱα αὐτ, τὸ κτήσασθαι ὃ ἐϖίλειμμα
τοῦ λαοῦ αὐτ, ὃ ἐϖιλειφθήσεται ἀϖὸ τῶν ἀσσυϱίων, καὶ τῶν ἑξῆς. νοήσᾳς ὃ καὶ
ἐνταῦθα, ϖολεμίους δ λαοῦ τοῦ θεοῦ νοητοὺς ἵνας καὶ ϖνευματικοὺς, ἤτοι δαίμονας
ϖονηϱοὺς, ἢ δωϱεὰν μὴ εἰκῇ μάϱας ϖαϱὰ τὸν λόγον θεοσεϐεῖς, οἳ τῶν καταγνωσμέ-
νων ἐθνῶν ϖάλαι ωεϱίτϱεϖον ἀοϱάτως ωεϱιϝῶντες, ταῖς ψυχαῖς ἐϖολιόϱκουν τοῦ
ἰσϱαήλ, ϖοικίλοις ϖάθεσιν αὐτὰς ωεϱιϐάλλοντες, ἐϖισυϱόντές τε καὶ αἰχμαλω-
τίζοντες εἰς τ ὅμοιον τῆς τῶν ἀγνοφύλων ἀγωγῆς βίον. τούτου δὴ οὖν ϖάντως ϱε-
δὸν εἰϖεῖν τοῦ λαοῦ κϛ ψυχὴν αἰχμαλώτου ληφθέντος ἐκ τῶν δεδηλωμένων,
οἱ φυλαχθέντες καὶ καταλειφθέντες ἀτϱωτοι καὶ ἄσυλοι κϛ τ ωεϱιτείαν, τ δη-
λουμένης ἐϖαγγελίας τεύξονται, οἱ ϕόϐημοι τοῦ κυϱίου τὴν χεῖϱα καὶ κτῆμα αὐτ
» ἡμισόϐμοι, κϛ ὃ ϕάσκον λόγιον, ωεϱισθήσ κύϱιος τοῦ δεῖξαι τὴν χεῖϱα
» αὐτ, τοῦ ζηλῶσαι ὃ καταλειφθὲν ἐϖίλοιϖον δ λαοῦ. τί δὲ ωεϱισθήσ κύϱιος;

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀλλὰ γὰρ τοῖς οἷς ἅπαξ ἐπεδείξατο πάλαι τοῦ τέρων ἀφ' ὧν τοῦ φητῶν,
» τοῦ στηλιτεύθη χεῖρ κυρίου, καὶ τούτοις ἀφ' ὧν ἐβδελύξατο ἀπὸ τῆς πλάσεως τοῦ παντὸς
λαοῦ, τὰ λείποντα τοῖς τοῦ τέροις τοῦ ἐδόθη. ταῦτα δὲ ἐν τῇ καινῇ ἀφ' ἡμῶν
κτησις μυστήρια, ἀφ' ὧν χλεὸς τοῦ κυρίου διεδήμευσα τῷ καταλελοιφότι ἀπὸ τοῦ λαοῦ.
ἀλλὰ τί τοῦ ζηλωτοῦ φησιν ὁ καταλελοιφὼς ὑπόλοιπον τῶν λαοῦ. ὡσπερ οὖν συμφώ
νως ὁ ἀκύλας τί θεοδοτίων, τοῦ κτήσασθαι, φησὶν, ὁ ὑπόλημμα τοῦ λαοῦ αὐτοῦ, ὃ ἐν
καταλίπῃ ἀπὸ τῶν ἀσυνειῶν καὶ ἀπὸ τῶν λοιπῶν πολεμίων ἐθνῶν. τοῦτο δὲ ὁ κα-
ταλελοιφὼς τοῦ λαοῦ ὑπόλοιπον ἁρμὸς φησὶν σημεῖον εἰς τὰ ἔθνη. σαφῶς δ' αὐτῶν
ὁ ἑαυτοῦ σημεῖον ὁ κύριος ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπεδέκνυτο μενος. καὶ σωτῆρα δι'
αὐτῶν τοῖς ἀπολομένοις ἰσραὴλ, καὶ τοῖς διεσπαρμένοις ἰούδα, ἐκ τῶν τεσσάρων
περάτων τῆς γῆς ὑπὸ ὃν χεισὸν τοῦ θεοῦ, ἀφ' τοῦ τῶν ἀποστόλων αὐτοῦ κηρύγμα-
τος καταπεφωνήσας, τοῖς σωσαμένοις εἰ) λέγων τῶν πάλαι ἀπωκισμένων καὶ ἀ-
φωρισμένων ἐκ τοῦ κτ' ἀφ' ἡμῶν ἰσραὴλ καὶ ἰούδα. ἔσται δὲ τοιάνδε ψυχῶν τ'
ἀληθινὸν ἰσραὴλ τῷ θεοῦ δείκνυσιν· ὡς δυσπαλιν φαύλη καὶ μοχθηρᾶ ἀφ' ἧσις
ὧν κτ' ἔρκα ἰσραὴλ, ἔχοντας ἐδόμων καὶ λαοῦ χρημάτιζε ποιῆ. ὃ
τοίνυν λῆμμα κατ' ἐκλογὴν χάριτος, καὶ ὃ λεγόμενον ἐν τῇ προφητείᾳ κατα-
λελοιφὸν ὑπόλοιπον τοῦ λαοῦ, τὸ σημεῖον τοῦ κυρίου πᾶσι τοῖς ἔθνεσιν ἀνεκήρυξεν,
καὶ τὰς τοιάσδε ψυχὰς τῶν ἐθνῶν ἐξ ἀπωλείας ὑπὸ τὸν τοῦ κυρίου γνῶσιν ἐφέλκυ-
σάμενον, ἵνα λαὸν σωσῆται ὁ θεὸς, ὃν ἐκ τῶν τεσσάρων περάτων τῆς γῆς εἰς ἑνὸς νῦν
τῆς τοῦ χεισοῦ δυνάμει συγκροτούμενον. οὗτοι δὲ αὖθις οἱ ἀπὸ τῶν ἀπολωλότων τῶν
ἰουδαίων ἐθνους ἀφορισθέντες μαθηταὶ καὶ ἀπόστολοι σωτῆρος λιμένι, ἐκ ἀφο-
φόρων φυλῶν τυγχάνοντες, μιᾶς κλήσεως καὶ μιᾶς χάριτος ἑνὸς πνεύματος ἁγίου
κατηξιωμένοι, πόντα ζῆλον ὃν πάλαι τοῦς αὐτοῖς εἶχον αἱ τῶν ἑβραίων ἔθνους φυ-
λαὶ, ἀπορρίπτουσιν, ὡς ἡ προφητεία φησίν. κατηρτισμένοι γνῶν τῷ αὐτῷ νοὶ καὶ
τῇ αὐτῇ γνώμῃ, οὐ μόνον τοῦ ἤπειρον, ἀλλὰ καὶ τὰς νήσους διῆλθον τῶν ἐθνῶν, πάσας
πανταχόθεν τὰς τῶν ἀνθρώπων ψυχὰς προσηνεύοντες καὶ αἰχμαλωτεύοντες
» εἰς τοῦ ὑπόταγμα τοῦ χεισοῦ, ἀκολούθως τῷ χρησμῷ φήσαντι, καὶ πεζεύθή
» σονται ἐν πλοίοις ἀλλοφύλων, θαλάσσαν ἅμα προσηνεύοντες, καὶ τοῖς ἀφ' ἡλίου
» ἀνατολῶν. καὶ τὰ λοιπὰ δὲ τῆς προφητείας τούτοις ἀναλόγως ὑπεγεγράπται, ἐκάσ-
την λέξιν τοῦ ἑαυτῷ βασανίσας, καὶ πανταχοῦ τὸ ἀσύγκριτον καὶ ταπεινὸν, αὐτῆς
ἀπαγορευσάμενος, τοῦ δὲ ἀνοιαν τοῦ πνεύματος, ὡς ἀνθρώποις θεωρήσας, ἐκά-
στην

γλιῶν.

" Καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλῆψις δόξης ἰακὼϐ, καὶ τὰ πίονα τ δόξης αὐτ
" σῤῥηθήσονται. ϗ ἔσαι ὁν τόπον ἐάν τις σωαγάγῃ ἀμητὸν ἑσηκότα, καὶ σπέρμα σα-
" χύων ἀμήσῃ. καὶ ἔσαι ὁν τόπον ἐάν τις σωαγάγῃ σάχυας ἐν φάραγγι τρεᾶ, καὶ
" καλαλῆφθῇ ἐν αὐτῇ καλάμη. ἢ ὡς ῥᾶγες ἐλαίας δύο ἢ τρῖς ἐπ' ἄκρῳ μετεώρου, ἢ
" τέσσαρες ἢ πέντε ὅπὶ τῶν κλάδων αὐλῶν καταλῆφθῶσι. τάδε λέγῃ κύριος ὁ θεὸς
" τῷ ἰσραὴλ, τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσαι ἄνθρωπος ὅπὶ τῷ ποιήσαντι αὐτόν·
" οἱ δὲ ὀφθαλμοὶ αὐτῦ εἰς ὃν ἅγιον τοῦ ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ μὴ πεποιθότες
" ὦσιν ὅπὶ τοῖς βωμοῖς, οὐδὲ ὅπὶ τοῖς ἔργοις τ χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυ-
" λοι αὐτῶν. καὶ διὰ τούτων σκαρτῶς θεατίζεται ἡ δόξα τοῦ ἰσραὴλ, ϗ πρῶτα
τὰ πίονα αὐλῶν καθαιρεθήσεται, ὀλίγοι δὲ αὖθις καὶ ἀριθμῷ λεπτοὶ ὡς δρῦ βάλανος
ἐν φυτῷ ῥᾶγες βεβαχεῖς καταλῆφθήσεται λέγων). οὗτοι δὲ δρῦ εἶεν, οἱ ἐξ αὐλῶν
εἰς τ κύριον ἠμῶν πεπιστευκότες. ἀκολούθως δὲ μ τὰ περὶ ἐκείνων εἰρημένα,
περὶ πρώτου δρυὸς ἀνθρώπων γένους ἀποστραφησομένου τὸν κ τὰ εἴδωλα πλάνην,
ὅπιγνωσθησομένου δὲ τὸν θεὸν ἰσραὴλ, περιφητεύεται.

" Ακούσατε νῦν, εἰ καταλελῆμμένοι ϗ ὀδυνώμενοι ἀκούσατε, αἱ ἤκουσα παρὰ
" κυρίου σαβαὼθ, ὁ θεὸς τ ἰσραὴλ ἀνήγγειλεν ἡμῖν. ὄρος λίνα τόπον ϗ ἐν ταῦθα ὁ
πρῶτος τοῖς ἐκ περιτομῆς ὅπὶ τὸν τῶν ἀπορρήτων ἀκροάσιν παρὰ καλῶ, ἀλλ' ἢ
μόνοις, οὓς ὀνομάζῃ καταλελημμένους ϗ ὀδυνωμένους. οἷοι ἦσαν οἱ κ τὸν ἀπόστο-
λον τεναζοντες ϗ ἀποκλαόμενοι τὸν πικρίαν τοῦ τῶν ἀνθρώπων βίου.

" Επέστησαν οἱ ὑψηλοὶ τῆς γῆς, λίθ δὲ γῆ ἰώμενοι διὰ τοὺς καινοποιῶντας αὐ-
" τόν. διὰ τοῦτο πολλοὶ ἔσονται οἱ ἀνοικοῦντες ὅπὶ τῆς γῆς, ϗ καταλῆφθήσον-
" ται ἄνθρωποι ὀλίγοι. καὶ ἐν τούτοις τοῖς παρὰ βεβηκότας τὸν νόμον, ϗ τὸν τοῦ θεοῦ
διαθήκην τ ἐκ περιτομῆς λαὸν ἀπελέγξας, ἀπειλήσας τε αὐτοῖς τὰ ἀναγεγραμ-
μένα, καταλῆφθήσεται ἄνθρωποι ἐξ αὐλῶν ὀλίγοι περιφητεύῃ. εἶεν δ' ἂν οὗτοι
ὁ ὠνομασμένον παρὰ τῶν ἀποστόλων, λῆμμα κατ' ἐκλογὴν χάριτος.

" Καταλῆφθήσονται πόλεις ἔρημοι, ϗ οἱ οἶκοι οἱ ἐν καταλελημμένοι ἀπολοῦνται. τοῦ-
" τα πρῶτα ἔσαι ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν, ὃν τόπον ἐάν τις καλαμήσηται ἐλαί-
" αν, οὕτως καλαμήσονται αὐτοί. καὶ ἐὰν παύσηται ὁ τρυγητὸς, οὗτοι φωνῇ φωνή-
" σουσιν. οἱ δὲ καταλῆφθέντες ὅπὶ τῆς γῆς, ὑφεθήσονται ἅμα τῇ δόξῃ κυρίου.
καὶ ἐνταῦθα οἱ καταλῆφθέντες μόνοι ὑφεθήσεσθαι λέγονται, τῶν λοιπῶν ἀ-
πρώτων τοῖς θεατιζομένοις παραδοθησομένων.

" Καταπατηθήσεται ὁ στέφανος τ ὕβρεως, οἱ μεθυσθοὶ τ ἐφραίμ. ϗ ἔσαι ὃ ἄνθος
" ὃ ἐκπεσὸν τῆς ὑπίδος τ δόξης ἐπ' ἄκρου τοῦ ὄρους τῶν ὑψηλῶν, ὡς πρόδρομος
" σύκου, ὃ ἰδὼν αὐτὸ, πρὶν ἢ εἰς τὸν χεῖρα λαβεῖν αὐτὸ, θλίψας αὐτὸ καταπίῃ. τῇ
" ἡμέρᾳ ἐκείνῃ κύριος ἔσαι ὁ στέφανος τῆς ὑπίδος, ὁ πλακεὶς τῆς δόξης τῷ κα-
" ταλῆφθέντι τ λαῶ αὐτ. καταλῆφθήσονται γὰρ ἐν πυρὶ μαλὶ κρίσεως. ϗ ἐνταῦ-
θα τῷ καταλῆφθέντι τοῦ λαοῦ, οὐχὶ δὲ πρώτοις τοῖς ἔθνεσιν αὐλῶν, ἀλλὰ μόνοις τοῖς διὰ
τοῦ καταλείμματος σημαινομένοις, ὃν κύριον στέφανον ἔσεσθαι ὑπίδος ϗ δόξης
περιφητεύῃ, τοῖς ἀνθρώποις παρὰ τὸ καταλῆμμα τοῦ λαοῦ, στέφανον ὕβρεως ϗ μεθυ-
σοῖς τ ἐφραὶμ ὀνομάζων.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καὶ ἔσονται οἱ ἐγκαταλελειμμένοι ἐν τῇ ἰουδαίᾳ, φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι σπέρμα ἄνω, ὅτι ἐξ ἱερουσαλὴμ ἔσονται οἱ σωζόμενοι ἐξ ὄρους σιών. ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα. τοὺς κατ' ἐκλογὴν χάριτος καταλειφθέντας ἐκ τοῦ ἰουδαίων ἔθνους φυήσειν ῥίζαν κάτω, καὶ ποιήσειν σπέρμα ἄνω προφητεύει. σαφέστατα τὴν τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ σωτῆρος ἡμῶν ἐκλογὴν παρίστας. οὗτοι γὰρ ἀπὸ τῶν ἐκ περιτομῆς καταλειφθέντες, κάτω μὲν εἰς γῆν τὰς ῥίζας τῆς διδασκαλίας αὐτῶν κατέβαλλον, ὡς ἐμπαγῆναι καὶ ῥιζῶσαι καθ' ὅλης τῆς οἰκουμένης τὴν διδαχὴν αὐτῶν· ἄνω δὲ τὸ σπέρμα καὶ τὸν καρπὸν φέρεσθαι εἰς τὰς ἐπουρανίους ἐπαγγελίας παρεκελεύσαντο. οἱ δ' αὐτοὶ οὗτοι ἐκ τοῦ ἰουδαίων ἔθνους καταλελειμμένοι, τῶν λοιπῶν ἀπολλυμένων, μόνοι σωζόμενοι λέγονται. ταῦτα δὲ πάντα ὁ ζῆλος κυρίου ἐποίησεν. εἰς γὰρ τὸ παραζηλῶσαι τοὺς ἀσεβεῖς τοῦ ἐκ περιτομῆς, ἐκλεξάμενος ὁ ζῆλος κυρίου τούτους, παρεζήλωσεν ἐκείνους. κατὰ τὸ παρὰ μωσεῖ λεγόμενον, αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Οὕτως λέγει κύριος, ὃν τρόπον εὑρήσει ὁ ῥώξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσιν μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλογία κυρίου ἐστὶν ἐν αὐτῷ. οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μου. τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας, καὶ ἐξάξω τὸ ἐξ ἰακὼβ σπέρμα, καὶ τὸ ἐξ ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου. καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ. καὶ ἔσται ἐν τῷ δρυμῷ ἔπαυλις ποιμνίων, καὶ φάραγξ ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἳ ἐζήτησάν με. ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες μὲ καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν, καὶ πληροῦντες τῷ δαίμονι κέρασμα, ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν. πάντες ἐν σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. διελὼν καὶ ἐν τούτοις ὁ λόγος βραχὺ μὲν τί φησιν σπέρμα ἐξ ἰακὼβ τεύξασθαι τῶν ἐπηγγελμένων. ἐκλεκτούς τε εἶναι τοὺς κατοικήσαντας ἐν τῷ δρυμῷ· οὕτως ὀνομάζων τὴν κλῆσιν τῶν ἐθνῶν. ἐν ᾗ οἱ ἐκλεκτοὶ τοῦ κυρίου, καὶ τὸ ἰακὼβ σπέρμα, εἶεν δ' ἂν οἱ ἀπόστολοι καὶ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν, οἱ δὲ λοιποὶ πάντες παρὰ τούτους ταῖς δηλουμέναις ἀπειλαῖς ὑποβέβληνται, μονονουχὶ τοῦ λόγου γυμνότατα παριστῶντος μὴ ὡς ἔτυχεν ἐπὶ πᾶν τὸ ἰουδαίων ἔθνος φθάσειν τὰς τοῦ θεοῦ ἐπαγγελίας, ἀλλ' ἐπὶ μόνον τὸ ὠνομασμένον σπέρμα καὶ τοὺς ἐπικαλουμένους ἐκλεκτοὺς τοῦ θεοῦ, ἐπεὶ πολλοὶ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. τούτους δὲ καὶ νῦν ὄνομα καινὸν ἐπιτεθήσεσθαι ἑξῆς ὁ λόγος θεσπίζει, φάσκων πρὸς τοὺς ἀσεβεῖς, καταλειφθήσεται γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δ' ἀνελεῖ κύριος. τοῖς δὲ δουλεύσουσίν μοι, κληθήσεται ὄνομα καινόν. τὸ δὴ οὖν ὄνομα καινὸν, ὃ μὴ παρὰ τοῖς παλαιοῖς ἔγνωστο, ποῖον ἂν εἴη, ἢ τὸ ἀπὸ τῆς τοῦ σωτῆρος ἡμῶν ἰησοῦ τοῦ χριστοῦ προσωνυμίας, καθ' ὅλης τῆς οἰκουμένης εὐλογημένον χριστιανῶν ὄνομα;

ἀπὸ τοῦ μιχαίου.

Καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγόμενος, συναχθήσεται ἰακὼβ σὺν πᾶσιν. ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ ἰσραήλ· ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν

σομαι τῳ ἀποστροφῳ αὐτῶν. συμφώνως τοῖς προεκτεθεῖσιν ἐκ τοῦ ἡσαΐου καὶ ὁ μιχαίας ἐκδέξασθαι τὸν θεὸν οὐχ ἁπλῶς πρώτας, ἀλλὰ μόνους τοὺς καταλοίπους ὀνομάζει. ὥσπερ γὰρ τὰ ἐξ ἀμπέλου καὶ ἐλαίας ἄπερμα ὠνομάζετο τὸ ἐξ αὐτῶν λῆμμα, οὕτως καὶ νῦν σαρόνα ὀνομάζει τοὺς ἐξ αὐτῆς φρησομηνούς. δηλοῦται δὲ καὶ ἀφ' τούτων ὁ τῶν ἀποστόλων χορός, ὡς σαρὼν μὲν ἄπερμα δὲ ἰουδαίων ἔθνους γεγονημένος. ἐξ ἧς σαρόνος πρῶτοι οἱ καθ' ὅλης τῆς οἰκουμένης τὸν χριστὸν ἐπεγνωκότες τοῦ θεοῦ, καὶ τῳ διδασκαλίᾳ αὐτοῦ πεπαιδευμένοι, τῆς θεραπευομένης ὑπισχνουμένης καταξιώθησαν, τῳ ἀπὸ τῶν πολεμίων λύτρωσιν εὑρόμενοι.

Καὶ σὺ βηθλεὲμ οἶκος δ' ἐφραθᾶ, ὀλιγοστὸς εἶ ἐν χιλιάσιν ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, δ' εἰς ἄρχοντα τοῦ ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ ἐκτύσης τέξεται, καὶ οἱ ὑπόλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσι. καὶ μὴ βραχέα ὑπολέγει, καὶ ἔσται τὸ ἐπόλλυμα δ' ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς δρόσος παρὰ κυρίου πίπτουσα, καὶ ὡς ὄμβροι ἐπ' ἄγρωστιν, ὅπως μὴ σὺν ἀνθρώπῳ μηδεὶς, μηδὲ ἐλπιεῖ ἐν υἱοῖς ἀνθρώπων· καὶ ἔσται τὸ ἐπόλλυμα ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι δρυμοῦ, ὡς σκύμνος ἐν ποιμνίοις προβάτων. ὃν τρόπον ὅταν διέλθῃ, καὶ διασπείρας ἁρπάσῃ, καὶ μὴ ἦ ὁ ἐξαιρούμενος. ὑψωθήσεται ἡ χεὶρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πρῶτοι οἱ ἐχθροί σου ἐξολεθρευθήσονται. τούτων οὐδὲν ἀνθρώπινόν ἐστιν, ἀλλ' τὸ αὐτὸ καὶ τῳ γένεσιν τὴν ἐν βηθλεὲμ τοῦ σωτῆρος ἀναφωνούντων, καὶ τῳ προφητείᾳ αὐτοῦ, ἐκ τῆς παρθένου τεχεῖν, καὶ τῶν ἀποστόλων καὶ μαθητῶν αὐτοῦ τῳ κλῆσιν, καὶ τὸ κήρυγμα τὸ καθ' ὅλης τῆς οἰκουμένης τοῦ χριστοῦ δι' αὐλῶν κατηγγελμένον. δ' γὰρ δηλουμένου ἄρχοντος, οὗ αἱ ἐξόδοις ὁ λόγος ἐξ ἡμερῶν αἰῶνος εἰ) δηλοῖ, ἐκ τῆς βηθλεὲμ προελθουσομένου, καὶ τ τοῦτον ἀποκτούσης ἁγίας παρθένου τεχομένης, οὐ πρώτας φησὶ τοὺς ἐκ περιτομῆς, ἀλλὰ μόνους τοὺς ὑπολοίπους ἀναφωνήσεσθαι, οὓς καὶ λῆμμα γνήσεσθαι δ' ἰακὼβ, καὶ δίκην δρόσου ὑπὸ πρώτα δοθήσεσθαι τὰ ἔθνη. ἔσται γὰρ, φησὶν, τὸ ἐπόλλυμα δ' ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ὡς δρόσος παρὰ κυρίου πίπτουσα, καὶ ὡς ὄμβροι ἐπ' ἄγρωστιν. μὴ σὺν οὖν, καὶ ὡς ψακάδες ὑπὸ πόαν, ὁ ἀκύλας· ὁ δὲ θεοδοτίων, καὶ ὡσεὶ νιφετὸς ὑπὸ χόρτον, ἐκ δεδώκασιν. καὶ πάλιν δέ, ὅπως μὴ σὺν ἀνθρώπῳ μηδεὶς μηδὲ ἐλπιεῖ ἐν υἱοῖς ἀνθρώπων, μηδὲ προσκόψῃ υἱὸς ἀνθρώπου, φησὶν ὁ θεοδοτίων, ὃς οὐ μόνος ἄνθρωπον, καὶ οὐκ εἶπεν ὑπὸ υἱὸν ἀνθρώπου. καὶ ὁ ἀκύλας, ὃς οὐχ ἑλληνικῶς ἀνθρώπινα, ἐν οὐ προσκόψῃ υἱοῖς ἀνθρώπων. δι' ὧν πᾶσα τῶν ἀποστόλων δ σωτῆρος λιμῶν εἶπεν οὔτε εἰς ἄνθρωπον, ἀλλ' εἰς τ σωτῆρα καὶ κύριον αὐλῶν, ἐξ δὲ ἐκ ὁ τοῦ θεοῦ λόγος. οἷς ἑξῆς ὑπολέγει, καὶ ἔσται τὸ ἐπόλλυμα ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι δρυμοῦ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων. ὃν τρόπον ὅταν διέλθῃ, καὶ διασπείρας ἁρπάσῃ, καὶ μὴ ἦ ὁ ἐξαιρούμενος. δι' ὧν οἶμαι δηλοῦσθαι τὸ θαρσαλέον καὶ ἀκαταπλήκτον δ ἀποστολικοῦ κηρύγματος. δίκην γοῦν λέοντος καὶ σκύμνου ἐν ταῖς δρυμῷ τῶν ἐθνῶν, καὶ ἐν ταῖς τῶν ἀνθρωπίνων προβάτων αὐλαῖς εἰσβαλόντες, καὶ διασπείραντες τοὺς ἀξίους ἀπὸ τ ἀναξίων, ὑπηκόους τῳ χριστοῦ λόγῳ· ποὸς οὓς ἑξῆς ἀναφωνήσαντα τὰ ἀπ' αὐτ, ὑψωθήσεται ἡ χεὶρ σου ἐπὶ τοὺς θλίβοντάς σε. καὶ πρῶτοι

οἱ ἐχθροί σου ἐξολοθρεύσωσιν. ὁ γὰρ αὐτὸς πάντων ἐστὶν ὀφθαλμοῖς ὧδε λαμβάνων. μυρίων γὰρ ὄντων τῶν χειροῦ λόγον θλιβομένων, καὶ εἰσέτι νῦν πολεμουμένων, ὑπερήρθη καὶ κρείττων πάντων γέγονεν. ἀλλὰ καὶ ὑψώθη ἡ χεὶρ ἡ χειροῦ καὶ πάντων τῶν θλιβομένων αὐτὸν, οἵτε ἐχθροὶ αὐτοῦ πάντες οἱ καὶ χρόνους ἐπανισάμενοι αὐτοῦ τῇ ἐκκλησίᾳ, ἐξολοθρευθήσεσθαι λέγονται.

Ἀπὸ τοῦ σοφονίου.

Ὅτι τότε μεταστρέψω πάντα λαοὺς γλώσσαν, εἰς ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ περάτων ποταμῶν Αἰθιοπίας θεοσεβήσομαί τοις ἱκετεύουσάς με. υἱοὶ τῆς διεσπαρμένων οἴσουσι θυσίας μοι. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ. ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὑβρεώς σου, καὶ οὐκ ἔτι οὐ μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἔτι ὄρος ὅγιον μου, καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πραῢν καὶ ταπεινόν. καὶ ἐλπιοῦσιν ἐν τῷ ὀνόματι κυρίου οἱ καταλοιποὶ τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι ματαια. καὶ ἡ μὴ εὑρεθῇ ἐν στόματι αὐτῶν γλῶσσα δολία. ὅτι αὐτοὶ νεμηθήσονται καὶ κοιμηθήσονται, καὶ οὐκ ἔστιν ὁ ἐκφοβῶν αὐτούς. καὶ ἐν τούτοις ὑπολείψεται ἑαυτῷ λαὸν πραῢν καὶ ταπεινὸν ὁ κύριος ἐπὶ πάντα, οὐκ ἀμύνον δηλονότι, ἢ ὃν ἐκ πεπιστευκότα. καὶ πάλιν τοὺς καταλοίπους τοῦ Ἰσραὴλ μόνους σωθήσεσθαι μετὰ τῆς τῶν λοιπῶν ἐθνῶν κλήσεως, ἐν τοῖς περὶ τῆς προφητείας ἐσήμηνεν.

Ἀπὸ τοῦ Ζαχαρίου.

Ἰδοὺ ἡμέρα ἔρχεται ἐν σοί, καὶ διαμεισθήσεται τὰ σκῦλά σου ἐν σοί. καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἰερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ. οἱ δὲ καταλοιποὶ τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθήσονται ἐκ τῆς πόλεως. σεσώσθαι καὶ ταῦτα τοῖς προτεθεσπισμένοις ὅτι ὡς ὀλέθρῳ πάντα τὰ ἔθνη τῶν ἰουδαίων ἐθνους, μετελθόντα αὐτοὺς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πεπληρωμένα. μετ' οὐ πολὺ δὲ ἀπὸ βαβυλῶνος ἐπάνοδον ταῦτα ὁ Ζαχαρίας προφητεύει, θεατίζων τὴν ὑπὸ Ῥωμαίων γενησομένην ὑστάτην πολιορκίαν τοῦ λαοῦ. ἐφ' ᾗ τὰ πάντα ἔθνη ἰουδαίων ὑποχείριον τοῖς πολεμίοις γενησόμενα, μόνους φησὶ τοὺς καταλοίπους τοῦ λαοῦ σωθήσεσθαι, δῆλον ὡς αὐτοὺς τοὺς ἀποστόλους τοῦ Χριστοῦ ἐξ ἡμῶν δηλονότι.

Ἀπὸ τοῦ ἱερεμίου.

Ἐπιστράφητε υἱοὶ ἀφεστηκότες, λέγει κύριος, διότι ἐγὼ κατακυριεύσω ὑμῶν, καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ πόλεως, καὶ δύο ἐκ πατριᾶς. καὶ εἰσάξω ὑμᾶς εἰς σιών, καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς, ποιμαίνοντες μετ' ἐπιστήμης. καὶ ἔσται, ἐὰν πληθυνθῆτε, καὶ αὐξηθῆτε, λέγει κύριος, ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἐροῦσιν ἔτι, κιβωτὸς διαθήκης κυρίου Ἰσραὴλ οὐκ ἀναβήσεται ὅτι καρδίᾳ, οὐδὲ ὀνομασθήσεται, καὶ οὐ ποιηθήσεται ἔτι. ὁμοῦ καὶ ἐν τούτοις τὸ ὅτι προφωνεῖ τοῦ Ἰσραὴλ τὴν ἐν τῇ προτέρᾳ τοῦ Χριστοῦ ἡμῶν παρουσίᾳ ἰησοῦ χριστοῦ γενησομένην θεατίζει, καθ' ἣν ἕνα ἐκ πόλεως καὶ δύο ἐκ πατριᾶς, καὶ σφόδρα ὀλιγοστοὺς καὶ ἀειθαμῶ βεβαχεῖς ἐκλεξάμενος ποιμένας τε εἰς αὐτὸν πεπιστευκότων ἐθνῶν, καὶ αὐξηθέντων

ξηθέντων ὑπὸ τῆς γῆς ἐν τῇ δι' αὐλῶν ἐξομνύῃ κλήσῃ τῶν ἐθνῶν. οὐκέτι, φησὶν, ἐρεῦσιν, ζῇ ὁ θεὸς Ἰσραὴλ κύριος. οὐκέτι γὰρ ὑπὲρ τὰς μωσέως ἀναδραμοῦσαι ϐρομαλικωτέρας θρησκείας, ἀτε χαυνῆς Ἰσραὴλ αὐλοῖς ὠδὰ δοθησομένης.

Ἀπὸ τοῦ αὐτοῦ.

" Ἐπλήθυναν ἀσεϐείας αὐτῶν, ἰάχυσαν ἐν ταῖς ἀποστροφαῖς αὐλῶν. ποίῳ τούτων ἵ-
" λεως ἔσομαί σοι; υἱοί σου ἐγκατέλιπόν με, καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς, ϗ ἐ-
" χόρτασα αὐτοὺς, καὶ ἐμοιχῶντο, καὶ ἐν οἴκοις πορνῶν κατεκλύσθησαν. ἵπποι θηλυμανεῖς
" ἐγενήθησαν, ἕκαστος ὑπὸ τὸν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζον. μὴ ὑπὲρ τούτοις
" οὐκ ἐπισκέψομαι; λέγει κύριος, ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;
" ἀνάϐητε ὑπὲρ τοὺς τοίχους αὐτῆς, καὶ καταφάξατε. σωτελῆ δὲ μὴ ποιή-
" σητε. ἐκλείπετε τὰ ἐκφυσήματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν. καὶ ἐν τούτοις ὁμοῦ κατηγορεῖα τοῦ πονηροῦ ἔθνους αὐτῶν, καὶ ἡ μετελθοῦσα αὐτοὺς πολιορκία δηλοῦται, καὶ πάλιν τὸ καθάλλημα, ὅπερ σημεῖον αὐτῆς ὀνομάζει τοῦ κυρίου τυγχάνον. τοῦτο δὲ ἕως τοῦ δεῦρο τῆς εἰς τὸν χρεὼν τοῦ θεοῦ πίστεως διαμαθὲν καὶ σεῤῥωθὲν, ὡς μηδὲ τὰ ὅμοια ἐκφυγεῖν, οἷς τὸ πρῶτον ἔθνος αὐτῶν ἐπεπόνθει.

Ἀπὸ τοῦ ἰεζεκιήλ.

" Καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος, ἐν ᾧ
" λυέσθαι δεῖ ὑμῶν διασῳζομένους ἐκ ἐμφάσεως ἐν τοῖς ἔθνεσιν, ϗ ἐν τοῦ διασκορπισμῷ ὑμῶν, ἐν ταῖς χώραις. καὶ μνησθήσονταί μου οἱ διασῳζόμενοι ἐξ ὑμῶν
" ἐν τοῖς ἔθνεσιν, ᾧ ἠχμαλωτεύθησαν κτλ. δοκεῖ μοι καὶνοῦσθαι στενάζειν τοῖς ἀπὸ τῶν λοιπῶν προφητειῶν. τοὺς γὰρ διασωζομένους τίνας ἂν εἴποις, ἢ τὸ ἐν ἑτέροις ὠνομασμένον ἐκφόλημα, καὶ πυὼ σαγήνα καὶ πυὼ δρόμον τοῦ λαοῦ ἐκείνου; δι' ὧν ἐδηλοῦτο ἡ τῶν ἀποστόλων τοῦ σωτῆρος μύθων σύστασις. οὗτοι γοῦν διασῳθέντες ἐκ τῆς ἀπωλείας τοῦ πονηροῦ ἔθνους αὐτῶν, καὶ ἐν ᾧ διασκορπισμῷ αὐλῶν, ἐμνήσθησαν τοῦ θεοῦ, ὡς ὁμολογεῖσθαι τοῖς αὐτῶν εἰρῆσθαι τὰ ἀναγεγραμμένα.

Ἀπὸ τοῦ αὐτοῦ.

" Τάδε λέγει ἀδωναὶ κύριος, ὅτι ἀποίσομαι αὐτοὺς εἰς τὰ ἔθνη, καὶ διασκορπιῶ αὐ-
" τοὺς εἰς πρώτα τὰ ἔθνη, καὶ διασκορπιῶ αὐτοὺς εἰς πᾶσαν τὴν γῆν. καὶ ἔσομαι αὐτοῖς
" εἰς ἁγίασμα μικρὸν ἐν τῇ χώρᾳ, οὗ δὴ εἰσελθοῦσιν κτλ. καὶ ἐνταῦθα ἕτερος
" τοὺς αὐτοὺς κέκληκεν, ἁγίασμα μικρὸν εἰπὼν τοὺς ἐξ αὐλῶν διασῳθησομένους ϗ
" ἐκφοληθησομένους. καὶ πρώτας τοὺς διὰ λαμβανομένους αὐτῶν διασπορὰς εἰς
" πρώτα δύσεμον, ϗ ἐμφάσεων ἐκχεῶ ὀπίσω αὐλῶν, καὶ γνώσονται ὅτι ἐγὼ κύ-
" ριος, ἐν τοῦ διασκορπίσαι με ἐν τοῖς ἔθνεσιν, καὶ διασπορὰ αὐτοὺς ἐν ταῖς χώραις.
" καὶ ἐκφοβήσομαι ἐξ αὐλῶν ἄνδρας ἐν ἀριθμῷ ἐκ ἐμφάσεως καὶ ἐκ λιμοῦ καὶ ἐκ
" θανάτου, ὅπως ἐκδιηγήσωνται πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς ἔθνεσιν, οὗ δὴ
" εἰσέλθωσιν κτλ. καὶ γνώσονται ὅτι ἐγὼ κύριος. ὑπὲρ τῆς τοῦ πρώτου λαοῦ διασπορᾶς ϗ ἐνταῦθα ἐκφοβήσω ἑαυτοῦ ὀλίγους ἀριθμῷ φησιν, οὐδὲ ἅπαντας δηλονότι τοὺς προφηθέντας.

Ἀπὸ τοῦ αὐτοῦ.

" Τάδε λέγει ἀδωναὶ κύριος, ἐπὶ δὲ ϗ τοὺς τέσσαρας ἐκδικήσω μου τὰς πονηρὰς,
" ἐμφάσεσι καὶ λιμῷ καὶ θηρίοις πονηροῖς, καὶ θανάτῳ ἐξαποστελῶ ὑπὲρ ἱερουσαλὴμ, τοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ὀξολοθρεύσαι ἐξ αὐτῆς αὐθέφτον ἐκ κτηνῶν, ἐκ ἰδοὺ ἐσωκεκλεισμένοι ἐν αὐτῇ
» οἱ ἀνάσεφαμμένοι. ὡσαύτως δὲ καὶ ταῦτα ἑξαφέροι τῶν προφητευθέντων.

Ἀπὸ τοῦ αὐτοῦ.

» Οὕτως κρινῶ ὑμᾶς, λέγει κύριος, καὶ ἔσται ἐὰν μὴ ἐξέλθητε ὑμεῖς ἐπὶ τὴν ἔξοδον μου, καὶ εἰσ-
» άξω ὑμᾶς ἐν ἀριθμῷ τὴν ἐκκλησίαν μου, καὶ ἐκκλέξω ἐξ ὑμῶν τοὺς ἀφεστηκότας,
» καὶ τοὺς ἀσεβεῖς. ἐγὼ ἐκ τῆς προοικίας αὐτῶν ἐξάξω αὐτούς, καὶ εἰς τὴν γῆν τοῦ
» Ἰσραὴλ οὐκ εἰσελεύσονται. σαφῶς καὶ ἐν τούτοις ἀριθμῷ βεβαιοῖ ἐπὶ τὴν
ἔξοδον τοῦ θεοῦ γίνεσθαι, ὅτι τοῖς λοιποῖς τοῦ Ἰσραὴλ ἀποπεσεῖσθαι τῶν ἐπαγγελιῶν, μάρτυρε). ἀλλὰ γὰρ ἀποδείξας, ὅτι μὴ ὡς ἔτυχεν ἀδιακρίτως πᾶσιν
ἁπλῶς τοῖς ἀπὸ τῶν Ἰουδαίων ἔθνεσι φαύλοις τε καὶ ἀσεβέσι, καὶ τοῖς μὴ τοιούτοις
ταῖς τῶν ἀγαθῶν ἐπαγγελίαις οἱ θεῖοι λόγοι προσεδέσμιζον, ἀπανίοις δὲ αὐτῶν καὶ
ἀριθμῷ λιπαροῖς, ἤτοι τοῖς εἰς τὸν σωτῆρα καὶ κύριον Ἰησοῦν ἐξ αὐλῶν πεπιστευκόσιν, ἢ
τοῖς μετὰ τὴν προφοσίαν αὐτὸν δεδικαιωμένοις, αὐτάρκως ἡμῖν δεδηλωκέναι, ὅτι
μὴ ἀδιακρίτως εἰς ἀπάντας Ἰουδαίους ταῦτα τῶν θείων ἐπαγγελιῶν ἐπληροῦτο, καὶ ὅτι μὴ
μᾶλλον αὐτοῖς ἢ τοῖς ἐξ ἐθνῶν τὸν χειρὸν τοῦ θεοῦ παιδαγωγοῦντος ταῦτα τῶν προφη-
τῶν ἐφαρμόττει λόγια. ὅτις γοῦν ἐστὶν ἡ τῶν θείων ἐπαγγελιῶν ἀξία, καὶ τίνες τὸν χειρὸν τοῦ σω-
τῆρος ἔσονται παιδαγωγοί. ταῦτα δὲ ὡς ἀναγκαίως μοι συνείληπται εἰς ἔλεγχον τῶν
ἐκ περιτομῆς, ὡς ἀλόγου μεγαλαυχίας μόνοις αὐτοῖς τὸν χειρὸν ἐπιδημήσειν,
οὐχὶ δὲ καὶ πᾶσιν ἀνθρώποις ἐπαυθαδιζομένων, εἴς τε ἀπόδειξιν τῆς ἡμῶν αὐ-
τῶν περὶ τῶν ἐκείνων λόγια ἀλόγου καταγνώσεως. συνέχει δέ μοι ἀεὶ τοῦ περὶ τούτου
συγγράμματος καὶ ὁ ἄθλιον τοῦ μὴ Ἰουδαΐζειν ἡμᾶς, καὶ ταῦτα πᾶσι τῶν αὐτῶν χαί-
ρουσιν προφητικῆς γραφῆς. ἀλλὰ καὶ ὁποῖος ὁ βίος τυγχάνει ὁ ἀεὶ τοῦ χειροῦ
πᾶσι τοῖς ἔθνεσι κεκηρυγμένος, ἤτε ἀρχαιότης τοῦ ἔθνους τῆς ἀναγκαίας πολι-
τείας, ὡς οἷόν τε ἦν, ἐν αὐτῷ διελήλυθα. τούτων δ' ἡμῖν προϊόντων, ἤδη ποτὲ
καιρὸς ἀπορρητοτέρων ἅπτασθαι λόγων, τῶν περὶ τῆς τοῦ ὄντος σωτῆρος καὶ κυρίου Ἰη-
σοῦ ἐνσάρκου τοῦ θεοῦ μυστικῆς οἰκονομίας, καὶ ὡς ἀνὰ μάθημα δεῖ τὴν νῦν,
ἀλλ' οὐ περὶ τούτου, τὴν εἰς ἀπάντας αὐθέφτους ὑπεροφίαν αὐτοῦ πεποίηται, καὶ
ὅτι τὸ αἴτιον ἦν τοῦ μὴ πάλαι προτερον, εἰ ἀσχὸς δὲ καὶ μετὰ τὸν μακρὸν αἰῶνα, ἐθνῶν
ἀπάρξασθαι αὐτὸν κλήσεως, ταῦτα δὴ ἅπερ δὴ ποτε τῆς κατ' αὐτὸν ἀπορρήτου θεο-
λογίας οἰκεῖα τυγχάνει. ἐπὶ μὲν καὶ ταῦτα τῆς ὅλης ἀθεμπίστου αὐτοῦ, ἃ καὶ προφα-
τα ἐξ ἑτέρας λόγου ἀρχῆς ὡς πρὸς τοὺς ἀπίστους, τέως αὐτὸν βοηθὸν ὑπικαλε-
σάμενοι τὸν τοῦ θεοῦ λόγον, φέρε δεῦρο πειρώμεθα.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τάδε ἐνεστιν ἐν τῷ τέτῳ συγγράμματι τ̃ ϖερὶ τ̃ σωτῆρος ἡμῶν Ἰησ̃ Χριστ̃ διαλογικῆς ἀποδείξεως.

α' Ὅπως οἱ ϖρ̃ Ἑβραίους ϖεφῆται τὸ διαλόγιον ἐκήρυτ̃ον.
β' Ὅπως ϖερὶ τ̃ Χριστ̃ ϖεφανερῶνον.
γ' Πῶς ϖρὸς τὰς πλάνας ὑπεικτικῶς γεγονέναι διατεινόμεθα.
δ' Περὶ τῶν ἑτέρων ἔργων αὐτ̃.
ε' Ὅτι μὴ πλασάμενοι οἱ αὐτ̃ μαθηταὶ, τῇ δὲ ἀληθείᾳ ἐμμαρτύρησαν τὰ ὑπ' αὐτ̃ ϖεφανθείσας ϖαραδόξοις ποιοῖς ἰσοτιμίας.
ϛ' Ὅτι μὴ κτ̃ γοητείαν, ἀνθρώϖῳ δὲ ἀρετῇ καὶ δυνάμει τὰ ϖαράδοξα διεϖεξάγαγε.
ζ' Ὡς ἀπὸ τ̃ ἐνεργείας αὐτῆς σωζόμεθα τοῖς φιλαληθέσιν ἡ τ̃ ϖερὶ αὐτὸν ἀνθρώϖου ἀρετῆς δυνάμεις.

Προοίμιον.

ΤΩΝ ϖεφιλονεικούντων εἰς τὴν διαλογικὴν ἀπόδειξιν αὐτάρκως μοι γεγυμνασμένων, ἀποδεδειγμένου τε τ̃ τόπου τ̃ ἁγ̃ Χριστῆος ἡμῶν διαλογικῆς διδασκαλίας, τῆς τε αἰτίας ἀποδοθείσης, δι' ὧν τὰ ἰουδαίων ἀασάμενοι λόγια, ὃν κατ' αὐτοὺς βίον ϖρ̃ηκτησάμεθα· ϗ ἔτι ϖρὸς τούτοις συζεύξας ὡς αἱ ϖεφηνιακαὶ ϖρ̃ αὐτῶν γραφαὶ ϖεφανθοῦσαι τὸ μυστήριον τῆς ἡμετέρας ἀφ' Χριστοῦ γνωμονικῆς κλήσεως ἐμνημόνυσαν, οὐ καὶ ὡς οἰκείων ἀλλ' ὄντως ἀλλοτρίων αὐλῶν μεταποιούμενα· καλῶ δὴ καιρὸς ἐπ' αὐτῷ ἐμβάντα τ̃ ὑποθέσιν, ἀξιῶσαι τῶν ἐπιγνωμόνων. Ἵνα δὲ μὴ ταῦτα, ἀλλ' ἡ τὰ ϖερὶ τ̃ κτ̃ ὃν ἀνθρώϖον οἰκονομίας ἰσοῦ τ̃ θεοῦ, αἵτε τῶν ϖρ̃ Ἑβραίους ϖεφητῶν ϖερὶ Ἰησ̃ κατ' αὐτὸν θεολογίας διδασκαλίαι, καὶ αἱ ϖερὶ τῆς εἰς ἀνθρώϖους ὑπεφανείας αὐτ̃ ϖεφρήσεις; ἃς αὐτῷ μόνῳ ἐφαρμόζειν ἐξ ἀναγκῶν τῶν ἀποτελεσμάτ̃ αὐτὰ μάλα ϖροφανῶς ἐδήλωσεν. ϖρῶτον δυσκόλως ἐκβαίνοντες, ὅπως οἱ ϖεφῆται τὸν τ̃ διαλογίου μνήμιον ὅτι τ̃ χριστοῦ ϖροελάμβανον.

Ὅπως οἱ ϖεφῆται τὸν τ̃ διαλογίου μνήμιον ὅτι τοῦ χριστοῦ ϖροελάμβανον.

α ζ

Τ̃ δηλωθέντος μύρτυς δὺ εἰρήμασιν αὐτῆς ἡσαΐας, ὃν ϖεφ' ὅτου τ̃ χριστοῦ
" κεκραγώς, πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με. διαλογισαμένῳ πτωχοῖς
" ἀπέσταλκέν με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. εἶτα
ϖεφητείαν ὁ σωτὴρ ἡμῶν ἐν τῇ συναγωγῇ ποτε διηγούμενον ὅτι τ̃ πλήθους τῶν
" ἰουδαίων, πτύξας τὸ βιβλίον εἶπεν, σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν
" ὑμῶν. καὶ δὴ ἐνθένδε ἀρξάμενος τῆς οἰκείας διδασκαλίας πτωχοῖς διηγγέλε-
" το τῶν ϖρ̃ αὐτῷ μακαρισμῶν, ϖεφάσκων, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,
" ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ἀλλὰ καὶ τοῖς ἐπὶ πνεύμ̃ ϖονη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρῶν ὀχλουμένοις, ὑπότε δαιμόνων τόπον αἰχμαλώτων πάλαι πρότερον κεκρατημένοις, τὴν ἄφεσιν προεκήρυττε τοὺς πάντας εἰς ἐλευθερίαν καὶ λύσιν τῶν
» ἀπὸ κακίας δεσμῶν ἀνακαλούμενος, δι' ὧν ἔφασκεν, δεῦτε πρός με πάντες οἱ
» κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ τυφλοῖς δὲ τὴν ἀνάβλεψιν παρεῖχεν, τοῖς τὰς ὄψεις τοῦ σώματος διεφθαρμένοις τὸ βλέπειν δωρούμενος, κατὰ διάνοιαν τοῖς πάλαι περὶ τὴν ἀλήθειαν ἀναβλέπουσι, τὸ φῶς τῆς ἀληθοῦς εὐσεβείας παρέχων ὁρᾷν. τὸν μὲν οὖν χριστὸν ἐν πρώτοις αὐθέντην καὶ ἀρχηγὸν ἔσεσθαι τῆς εὐαγγελικῆς πραγματείας, ἡ παρατεθεῖσα προφητεία παρίστησιν. μετὰ δὲ αὐτὸν τῆς αὐτῆς ὑποθέσεως ὑπηρέτας ἔσεσθαι τοὺς αὐτοῦ μαθητὰς θεσπίζει ὁ
» αὐτὸς λέγων προφήτης, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά, ἢ τῶν
» εὐαγγελιζομένων εἰρήνην. ἔνθα σφόδρα ἀπηκριβωμένως ὡραίους ἔφησεν ἔσεσθαι τοὺς πόδας τῶν εὐαγγελιζομένων τὰ τοῦ χριστοῦ ἀγαθά. πῶς γὰρ οὐκ ἔμελλον ὡραῖοι ἔσεσθαι οἱ ἐν ὀλίγῳ καὶ βραχεῖ χρόνῳ τὴν πᾶσαν περιδραμούμενοι οἰκουμένην, καὶ πάντα τόπον πληρώσαντες τῆς περὶ τοῦ σωτῆρος τοῦ κόσμου θεοσεβοῦς διδασκαλίας; ὅτι δὲ μὴ ῥήμασιν ἀνθρωπίνοις ἐκέχρηντο εἰς πειθὼ τῶν ἀκροωμένων, θεοῦ δὲ δύναμις ἦν ἡ συνεργοῦσα αὐτοῖς ἐν τῷ εὐαγγελικῷ κηρύγματι, ἄλλος πάλιν προφήτης ἀναφωνεῖ, κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζο-
» μένοις δυνάμει πολλῇ. καὶ πάλιν ὁ Ἠσαΐας, ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγ-
» γελιζόμενος σιὼν, ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος ἱερουσαλήμ.
» ὑψώσατε, μὴ φοβεῖσθε. εἶπον τοῦ πόλεσιν ἰούδα, ἰδοὺ ὁ θεὸς ὑμῶν, ἰδοὺ κύριος μετὰ
» ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας. ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ
» ἔργον αὐτοῦ ἐναντίον αὐτοῦ. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ. καὶ ἐν τῷ βρα-
» χίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει. ταῦτα δὲ ὁποίαν ἔχεται διάνοιαν, ὁδῷ προϊόντες κατὰ τὴν εὐαγγελικὴν εἰσόμεθα διδασκαλίαν. πλὴν ἀλλὰ πέφανται τὸ εὐαγγέλιον, καὶ τοὔνομα δὲ τοῦ εὐαγγελίου, διὰ τῶν προφητικῶν μεμαρτυρημένον, ἔχεις τε λευκὰς καὶ ἐναργεῖς ἀποδείξεις ἐκ τίνος μὲν ἄρξεται τὸ εὐαγγέλιον, ὅτι δὴ ἐξ αὐτοῦ τοῦ χριστοῦ· δι' ὧν τε κηρυχθήσεται, ὅτι διὰ τῶν ἀποστόλων αὐτοῦ. ἀλλὰ καὶ ποίᾳ δυνάμει κρατήσει, ὅτι μὴ ἀνθρωπείᾳ. ὃ δὴ καὶ αὐτὸ
» συνέστη διὰ τοῦ, κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. τί δὴ οὖν λείπεται ἐπὶ τούτοις, ἢ ἐκ πολλῶν ὀλίγα προλαβεῖν τῶν παρ' ἑβραίοις ἀνέκαθεν περὶ τοῦ χριστοῦ προφητευομένων; ὡς ἂν εἰδῇς τίνα ἔσεσθαι τὸ εὐαγγέλιον ἐν ὑστέροις καιροῖς εὐηγγελίζετο, ὁμοῦ τε τῶν προφητῶν τὸ θαῦμα τῆς τῶν μελλόντων προγνώσεως, καὶ τῶν προῤῥήσεων τὰ ἀποτελέσματα, ὅπως ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἰησοῦν τὸν χριστὸν τοῦ θεοῦ σύνισταται πεπληρωμένα.

Ὅπως περὶ τοῦ χριστοῦ προανεφώνουν οἱ ἑβραίων προφῆται.

β ζ Πρῶτος προφητῶν μωϋσῆς ἕτερον προφήτην ὅμοιον αὐτῷ ἀναστήσασθαι εὐαγγελίζεται. ἐπεὶ γὰρ ἡ κατ' αὐτὸν νομοθεσία μόνῳ τῷ ἰουδαίων προσῆκεν ἔθνει, καὶ τούτῳ ἐπὶ τῆς ἰουδαίας γῆς ἢ ἀμφὶ ταύτην, οὐχὶ δὲ καὶ τῷ πορρωτάτω τῆς ἀλλοδαπῆς διατρίβοντι συνῶπται διὰ τῶν πρόσθεν ἡμῖν γεγυμνασμένων, χρῆν δὲ δήπου τὸν μὴ μόνον ἰουδαίων θεὸν ἀλλὰ καὶ ἐθνῶν καὶ τὰ πᾶσι τοῖς

ἔθνεσι

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἔθνεσι λυσιτελῆ πρὸς τὴν αὐτοῦ γνῶσίν τε καὶ εὐσέβειαν παρασχεῖν τῷ βίῳ, εἰκότως προφήτην ἕτερον κατ' οὐδὲν ἀποδέοντα τῆς κατ' αὐτὸν οἰκονομίας, ἐκ τοῦ ἰουδαίων ἔθνους ἀναστήσειν διὰ χρησμοῦ θεσπίζει, τοῦτον εἰρηκότος αὐτοῦ τοῦ θεοῦ τὸν τρόπον, προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σὲ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ, τι ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ ἄνθρωπος ὃς ἂν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. τὰ ὅμοια δὲ καὶ αὐτὸς ὁ μωσῆς πρὸς τὸν λαὸν διερμηνεύων τὸ τοῦ θεοῦ λόγιον, φησὶν, προφήτην ἐκ τῶν ἀδελφῶν ἡμῶν ὡς ἐμὲ ἀναστήσει κύριος ὁ θεός σου, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ ἐν χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας. ἆρ' οὖν οἱ μετὰ μωσέα προφῆται, ἡσαΐας φέρε, ἢ ἱερεμίας, ἢ ἰεζεκιὴλ, ἢ δανιὴλ, ἢ τις ἕτερος τῶν δώδεκα, μωσεῖ κατέστη παραπλήσιος νομοθέτης; οὐδαμῶς. ἀλλὰ τὰ ὅμοιά τις ἐκ εἰνῶν μωσεῖ διαπέπρακται; οὐκ ἔστιν εἰπεῖν. ἕκαστος γοῦν αὐτῶν ἀπὸ πρώτου καὶ εἰς τὸν τελευταῖον, ἐπὶ μωσέα τοὺς ἀκροωμένους ἀνέπεμπον, καὶ τόν γε κατὰ τοῦ λαοῦ ἔλεγχον διὰ τὰς παραβάσεις τοῦ μωσέως ἐποιοῦντο νόμου, προὔτρεπόν τε οὐδὲν ἀλλο, ἢ τῶν παρὰ μωσεῖ νενομοθετημένων ἐξέχεσθαι. οὐδένα γοῦν τούτων ὅμοιον. μωσῆς δὲ περὶ ἑνὸς ὡρισμένως ἀναφωνεῖ. τίνα τοίνυν ὁ χρησμὸς θεσπίζει μωσεῖ παραπλήσιον ἔσεσθαι προφήτην, ἢ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἰησοῦν τὸν χριστόν; ὅπως δὲ τοῦτ' εἴρηται, διασκέψασθαι ἀναγκαῖον. μωσῆς πρῶτος ἡγήσατο τοῦ ἰουδαίων ἔθνους. εὑρὼν δὲ αὐτοὺς τῇ κατὰ αἰγυπτίους πολυθέῳ πλάνῃ προσέχοντας, πρῶτος μὲν ταύτης ἀπέστρεψεν, ἀπαραιτήτοις τιμωρίαις ἀπαγορεύσας εἰδωλολατρεῖν· πρῶτος δὲ αὐτοῖς καὶ τὴν περὶ μοναρχίας θεολογίαν κατήγγειλεν, τὸν τῶν ἁπάντων δημιουργὸν καὶ ποιητὴν μόνον παραγγείλας σέβειν. πρῶτος δὲ καὶ ἀγωγὴν τινα θεοσεβοῦς βίου τοῖς αὐτοῖς διαταξάμενος, νομοθέτης αὐτοῖς εὐσεβοῦς πολιτείας πρῶτος καὶ μόνος ἀποδέδεικται. ἀλλὰ καὶ ἰησοῦς ὁ χριστὸς μωσεῖ παραπλησίως, καὶ πολὺ κρειττόνως πρῶτος τῆς κατ' εὐσέβειαν διδασκαλίας τοῖς λοιποῖς ἔθνεσι καθηγήσατο, καὶ πρῶτος ἀνατροπὴν τῆς καθ' ὅλην τὴν οἰκουμένην εἰδωλολατρείας εἰργάσατο. πρῶτός τε τὴν ἑνὸς τοῦ παμβασιλέως θεοῦ γνῶσίν τε καὶ εὐσέβειαν πᾶσιν ἀνθρώποις προὐβάλετο, καινοῦ τε βίου καὶ πολιτείας θεοσεβέσι προσηκούσης πρῶτος εἰσαγωγεὺς καὶ νομοθέτης ἀποδέδεικται. καὶ τὰ λοιπὰ δὲ τὰ περὶ κόσμου γενέσεως καὶ τὰ περὶ ψυχῆς ἀθανασίας, καὶ ὅσα ἄλλα φιλόσοφα δόγματα πρῶτος μωσῆς τῷ ἰουδαίων παρέδωκεν ἔθνει, ταῦτα θεοπρεπέστερον πρῶτος τοῖς λοιποῖς ἔθνεσιν ἰησοῦς ὁ χριστὸς διὰ τῶν αὐτοῦ μαθητῶν κατήγγειλεν· ὥστε μωσέα μὲν εἰκότως πρῶτον καὶ μόνον εὐσεβείας νομοθέτην ἀνηγορεύσθαι ἰουδαίων, ἰησοῦν δὲ τὸν χριστὸν τῶν ἐθνῶν ἁπάντων, κατὰ τὴν φήσασαν περὶ αὐτοῦ προφητείαν, κατάστησον κύριε νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. πάλιν μωϋσῆς θαυμασίοις ἔργοις καὶ παραδοξοποιίαις τὴν πρὸς αὐτοῦ καταγγελθεῖσαν εὐσέβειαν ἐπιστώσατο. ὡσαύτως δὲ καὶ ὁ χριστὸς ταῖς ἀναγράπτοις θαυματουργίαις πρὸς πίστιν τῶν ὁρώντων κεχρημένος, τὰ καινὰ τῆς εὐαγγελικῆς διδασκαλίας αὐτοῦ μαθήματα συνεστήσατο. πάλιν μωσῆς ἐκ πικρᾶς τῆς ὑπ' αἰγυπτίοις δουλείας τὸ ἰουδαίων ἔθνος εἰς ἐλευθερίαν μετεστήσατο· καὶ ἰησοῦς δὲ ὁ

© Centre d'Études Supérieures de la Renaissance - Tours

χεισὸς ὁκ ἦς ἐπὸ τοῖς πονηροῖς δαίμοσι δυσεβοῦς καὶ ἀγυπτιακῆς εἰδωλολατρείας, εἰς ἐλθεῖαν τὸ πάντων ἀνθρώπων γένος ἀνεκαλέσατο. πάλιν μωσῆς γῶ ἁγίαν καὶ θεοφιλῆ βίον ἐν ταύτῃ μακαρισὸν τοῖς τῶ νόμων φύλαξιν ἐπηγγείλατο. ὡσαύτως δὲ καὶ ἰησοῦς ὁ χεισὸς, μακάριοι φησὶν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. πολὺ χρεῖττονα γῆν ἀγαθῶν καὶ ἁγίαν καὶ θεοφιλῆ, οὐχὶ τὴν ὅτι τὸ ἰουδαίας, ὅτι μηδὲν τῶν λοιπῶν αὐτὴ διαφέρουσαν, ἀλλὰ τὴν κατ' οὐρανὸν ψυχαῖς φιλοθέοις τῶν ὁσίων οὐσῶν, τοῖς καθορῶσιν τὸν τῶν ὅλων κατηγεμόνα βίον ἐπουράνιος. ὁ δὴ καὶ πρίσας λαὸν ἕτερον, τοῖς τῶν ὅλων μακαριζομένοις βασιλείαν οὐρανῶν κατήγγελε. ὃ δὴ καὶ τῶν πραέων δικαίως αὖ ἐπὸ τοῦ σωτῆρος λίαν κρεῖττονι ἢ κατὰ μισθοῦ δωρεᾶς γεγονέναι, τῶν ἀπλησίας γεμίων ἃς ὁ μωσῆς διετράξατο. οἷ ὡς ὅτι τῶν ἀδικημάτων, μωσῆς ἐφεξῆς τεσσαράκοντα ἡμέρας ἐνήστευσεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα, καὶ ὧδε ἐκεῖ μωσῆς σὺν αὐτῷ κύριε τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔπιεν. ὡσαύτως δὲ καὶ ὁ χεισὸς· νέγραπται γάρ, καὶ ἦγετο εἰς τὴν ἔρημον τεσσαράκοντα ἡμέρας, πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐδὲν ἔφαγεν ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ πάλιν μωσῆς ἐν τῇ ἐρήμῳ ἐξέφας τῷ λαῷ πρέπε. λέγει δ' οὕτως ἡ γραφή, ἰδοὺ ἐγὼ δίδωμι ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ. καὶ μετ' ὀλίγα, ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ὅτι πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάγος ὅτι τῆς γῆς. καὶ ὁ σωτὴρ δὲ καὶ κύριος ἡμῶν ὡσαύτως φησὶν πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ἵνα διαλογίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε; οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ τῶν τετρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε; πάλιν μωσῆς διὰ μέσης τῆς θαλάσσης διῆλθε, καὶ ὃν λαὸν ὡδήγησεν· λέγει δ' οὕτως ἡ γραφὴ, ἐξέτεινε μωϋσῆς τὴν χεῖρα αὐτοῦ ὅτι τὸν θάλασσαν, καὶ ὑπήγαγε κύριος τὸν θάλασσαν ἀνέμῳ νότῳ βιαίῳ ὅλῃ τὸν λιμένα, καὶ ἐποίησεν τὸν θάλασσαν ξηρὰν, καὶ ἐμείνατο τὸ ὕδωρ, καὶ διῆλθον οἱ υἱοὶ ἰσραὴλ διὰ μέσης τῆς θαλάσσης κατὰ ξηρὸν, καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ ἀριστερῶν. ὡσαύτως ὁ καὶ μᾶλλον θεοφορεστέρων ἰησοῦς ὁ χεισὸς τοῦ θεοῦ ὅτι τὴν θαλάσσης διαπατήσας, καὶ τὸ πέρας βαίνων ἐπ' αὐτῆς ἐποίησε. λέγει γοῦν, τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν ὁ ἰησοῦς πρὸς αὐτοὺς περιπατῶν ὅτι τὴν θαλάσσης. καὶ ἰδόντες αὐτὸν περιπατοῦντα ὅτι τῆς θαλάσσης, ἐταράχθησαν. καὶ μετ' ὀλίγα, ἀποκριθεὶς δὲ αὐτῷ ὁ πέτρος εἶπεν, κύριε εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρός σε ὅτι τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου πέτρος περιεπάτησεν ὅτι τὰ ὕδατα. πάλιν μωσῆς ἀνέμῳ νότῳ βιαίῳ ἔπηξε τὸν θάλασσαν. λέγει δ' οὕτως ἡ γραφὴ, ἐξέτεινε δὲ μωσῆς τὴν χεῖρα ὅτι τὸν θάλασσαν, καὶ ὑπήγαγε κύριος τὸν θάλασσαν ἀνέμῳ νότῳ βιαίῳ. καὶ ὅτι φέρῃ, ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆ θαλάσσης. ὡσαύτως δὲ καὶ πολὺ κρεῖττόνως ὁ σωτὴρ λίαν ἐπεδίωξε τὰ ἀνέμῳ καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. πάλιν μωσέως ἀπὸ τοῦ ὄρους καλιόντος, ὃ τὸ σῶπον ἐωρᾶτο πλήρης δόξης· λέγεται γοῦν, καταβαίνων δ' αὐτὸς ἐκ τοῦ ὄρους μωϋσῆς, οὐκ ἤδει ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ, ἐν τῷ αὐτὸν λαλεῖν

" λαλῆν αὐτῷ. καὶ εἶδεν ἀφρὼν καὶ πόντες οἱ πρεσβύτεροι τῶν υἱῶν Ἰσραὴλ ὃν μωϋ-
" σῆν, ὃν ἐν δεδοξασμένη ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ. ὡσαύτως δὲ καὶ πο
λὺ μᾶλλον ἀφαιρεθέντος ὁ ἡμέτερος σωτὴρ ἀναγαγὼν τοὺς ἑαυτοῦ μαθητὰς εἰς ὄρος ὑ-
ψηλὸν λίαν, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς
ὁ ἥλιος. τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. πάλιν μωσῆς λέγων ἐκαθά-
" ρισε. γέγραπται γὰρ οὕτω, καὶ ἰδοὺ μοσχία λεπρὸν καθαρὸν ὡσεὶ χιών. καὶ μετ' ὀλίγα, καὶ
" ἔβόησε μωϋσῆς πρὸς κύριον, λέγων, ὁ θεὸς δέομαί σου ἴασαι αὐτήν. ὡσαύτως δὲ
καὶ μείζονι δυνάμει ἐξουσίας ὁ χριστὸς τοῦ θεοῦ προσελθόντος αὐτῷ λεπροῦ καὶ φή-
" σαντος, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι, ὑπερίναλε, θέλω, καθαρίσθητι. καὶ ἐκα
" θαρίσθη αὐτοῦ ἡ λέπρα. πάλιν μωσῆς δακτύλῳ θεοῦ ἔφησε δοῦναι νόμον γεγρά-
" φθαι. γέγραπται γὰρ οὕτω, καὶ ἔδωκε τῷ μωϋσεῖ, λίθινα κατέπαυσε λαλῶν αὐτῷ ἐν
" τῷ ὄρει σινᾶ, τὰς δύο πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ
" δακτύλῳ τοῦ θεοῦ. καὶ ἐν τῇ ὁδῷ, εἶπον οὕτω οἱ ἐπαοιδοὶ τῷ Φαραώ, δάκτυλος
" θεοῦ ἐστιν τοῦτο. ὡσαύτως δὲ καὶ ἰησοῦς ὁ χριστὸς τοῦ θεοῦ τοῖς Φαρισαίοις ἔλεγεν,
" εἰ δὲ ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια. ἐφ' ὅλοις τούτοις, μωσῆς μετανό-
" μασε τὸν ἰησοῦν. ὡσαύτως δὲ καὶ ὁ σωτὴρ, τὸ σίμωνα πέτρον. καὶ πάλιν, μωσῆς κα-
" τέστησε τῷ λαῷ ἡγουμένους ἑβδομήκοντα. λέγει γοῦν ἡ γραφή, συνάγαγέ μοι
" ἑβδομήκοντα ἄνδρας, ἀπὸ τῶν πρεσβυτέρων Ἰσραὴλ, καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματός σου
" ὃ ἐπ' ἐμοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς. καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας. ὡσαύτως καὶ
ὁ σωτὴρ ἀνέδειξεν αὐτοῦ μαθητὰς ἑβδομήκοντα, καὶ ἀπέστειλεν ἀνὰ δύο πρὸ προσ-
ώπου αὐτοῦ. καὶ πάλιν, μωσῆς δώδεκα ἄνδρας ἐξέπεμψε τὴν γῆν κατασκεψομέ-
νους. ὡσαύτως δὲ καὶ πολὺ κρεῖττον ὁ ἡμέτερος σωτὴρ δώδεκα ἀποστόλους ἐξαπέ-
" στειλεν ὑποσκέψασθαι πρώτας τὰς ἔθνη. πάλιν, μωσῆς νομοθετεῖ λέγων, οὐ φονεύ-
" σεις, οὐ κλέψεις, οὐκ ὑποριήσεις. ὁ δὲ σωτὴρ λίαν ὑπερτείνων τὸν νόμον, οὐ τὸ φο
νεύειν μόνον, ἀλλὰ καὶ τὸ θυμοῦσθαι ἀπαγορεύει. μὴτι γε μοιχεύειν, μηδ' ἐμβλέ-
πειν γυναικὶ πρὸς ἐπιθυμίας ἀκολάστου πρᾶγος. μήτε γε κλέπτειν, τὰ οἰκεῖα
τοῖς ἐνδέουσι προσίεσθαι προστάττει. ὑποφθὰς δὲ καὶ τὸ ὑποριεῖν, τῷ ἀργυρίῳ μη-
δὲ ὁμωμοσίαν νομοθετεῖ. καὶ λίαν δεῖ μικρὸν ἐν λόγον εἰς ἀπόδειξιν τῶν θαυ-
μασίων καὶ ἐξαίρετον ἀγγέλων πεποιημένων μωσέα, καὶ ἰησοῦν ὄντα σωτῆρα καὶ κύριον λί-
μνης; πρὸν, ὅτω φίλον, ὅτι σχολῆς ἀναλέξασθαι ταῦτα. ἐπεὶ καὶ ὃν θάνατον μω-
σέως μηδένα φασὶν ἐγνωκέναι, μηδὲ τὸν ταφὸν αὐτοῦ· ὥσπερ οὖν οὐδὲ τὸν σωτῆρος
λίμνης τὸν μετὰ τὴν ἀναβίωσιν εἰς τὸν θεότητα μεταβολήν. εἰ δὴ οὖν ἀφ' ὧν τοῦ-
των οὐδεὶς μᾶλλον ἀνὴρ, μόνος δὲ ὁ σωτὴρ λίμνης πρέσβεται θαυμάσια μωσεῖ
ἀγγελικώτερα λαμπρύνας, θέα λοιπὸν ὅτι μόνον αὐτὸν, καὶ οὐκ ἐφ' ἕτερον ἀναφέρειν χρὴ
τὸν θαυμασιεῖ προφητεύσαντα, δι' ἧς ὁμοίων αὐτῷ θαυμασίων ὁ θεὸς ἐθεράπευσεν
" εἰπών, προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀναστήσω αὐτοῖς, ὡσπερ σὲ, καὶ δώσω τὸ
" ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ. καὶ λαλήσει αὐτοῖς, καθὰ ἂν ἐντείλωμαι αὐτῷ. καὶ ὁ
" ἀνθρωπος ὃς ἂν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ
" ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. αὐτὸς τε μωσῆς πρὸς τὸν λαὸν τοῦ
" θεοῦ διερμηνεύων φανερῶς ἔφησεν, προφήτην ἐκ τῶν ἀδελφῶν ὑμῶν ἀναστή-
" σει κύριος ὁ θεὸς λίμνης. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν εἴπῃ πρὸς ὑμᾶς κυρίου τοῦ θεοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» σε ἐν χωρὶς τῇ λίμνῃ τ̃ ἐκκλησίας. ὅλη γ̀ τ̃ μ̃ μωσέα τοσοῦτ̃ οὐδεὶς τοσ-
τ̃ σωτῆρος λίμνῃ ὅμοιος ἐγήγερ̃) μωσεῖ, φασὶ ἡ παλαιὰ γραφὴ διδάσκ, λέγου
» σα· καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν ἰσραὴλ, ὡς μωϋσῆς, ὃν ἔγνω κύριος πρόσω
» που κ̃ τ̃ προσώπου ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασι. δέδ κ̃) τοίνυν ὃ ἐνθεον πνᾶ
μα ἀφ̀ μωσέως πρὸς τ̃ σωτῆρος λίμνῃ διαπέσθ, εἰ δὴ μόνος αὐτὸς καὶ οὐδ' ἑνὸς
ὅμοιος ᾧ μωσεῖ γεγονὼς τ̃ αὐτ̃ μωσέως φωνῆς ἀκολούθως σπουδ̃ς. σκέψαι
δὲ καὶ ἑνὶ πρὸς προφητείαν ἀναγραπτον. ὅπ̃ γὰρ τ̃ σωτῆρα ἐ κύριον λίμνῃ αὐ-
τὸν προσ κ̃ Ἑβρ̃κα γλώσσῃ ἐν πέρμασ ἰσραὴλ μυρία πλήθη ἐν πᾶσι τοῖς
ἔθνεσι κυριολογεῖ, ἧς ἐνθέου δυνάμεως αὐ̃ χάριν κύριον ὁμολογοῦσα, καὶ
τοῦτο πάλιν μωσῆς σπουδὼν τ̃ θείᾳ πνεύματι ἀφ̀ τῆς αὐ̃ γραφῆς τοῦτον ἀνέ
» φώνησε δὲν ἕπον, ἀναστήσεται κύριος ὁ θ̃ προσ ἐν τ̃ πέρματός σου· λέγ δὲ τ̃
» ἰσραὴλ· καὶ κυριεύσ ἐθνῶν καὶ ὑψωθήσεται ἡ βασιλεία αὐ̃. εἰ δὴ μηδεὶς ἁγ̀ος
πώποτε τῶν ἐν προφητῶν ἀρχόντων καὶ βασιλέων, κύριος ἐθνῶν πολλῶν κα-
τέστη· τοσοῦτος γὰρ ἰσοῦται δηλοῖ τοῦτο· βοᾷ δὲ καὶ κεκραγὼς ἡ ἀληθ̀α ὅτι μόνου
τ̃ σωτῆρος λίμνῃ, ὅτι δὴ κύριον αὐτὸν καὶ οὐκ αὐτὸ μόνον τοῖς χείλεσι, ἀλλὰ θέσ
δὲ γνησιωτάτῃ μυεία πλήθη ἐξ ἀπιστούντων τῶν ἐθνῶν ὁμολογεῖ, ἃ δὴ ποτε ἐμπο
δὼν μὴ οὐχὶ αὐτὸν εἶ) φάσκῃ ὃν προφητευόμενον; ὅτι δὲ μωσῆς τοῦτα οὐκ
ἀπερισκέπτως προλέγ, οὐδ' εἰς ἄπειρον καὶ ἀδιάκριτον χρόνον ὑπισχνίζων τ̃
προφήτην, ἀλλὰ μάλα δὲ ἀκριβῶς τινὰ τῶν προφητευομένων σὺν βασιν χρόνοις
» ὡρισμένοις προσγράφων, ἄκουε οἷα καὶ προϊὼν τούτου φαντάζ. οὐκ ἐκλείψ ἄρχων
» ἐξ ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐ̃, ἕως ἂν ἔλθ ᾧ ἀπόκειται, καὶ αὐτὸς
» προσδοκία ἐθνῶν. διὸ ὧν οὐ διαλείψ ἐξῆς καὶ κ̃ διαδοχὴν ἡγουμένους καὶ ἄρ-
χοντας ἐκ τῆς ἰουδαίων ἔθνους μέχρι τ̃ προσδοκωμένου προφάσεως ἀποφαί
νεται. διαλιπόντων δὲ τῶν πρὸ αὐτῶν ἀρχόντων, πρέσεσθαι δὲν προφητευό με-
νον. ἰούδαν δὲ νῦν οὐ τινὰ φυλὴν ὀνομάζ, ἀλλ' ἐπεὶ καθ' ὅλην προσωνυμίαν ἐκ
τοῖς μ̃ τοῦτα χρόνοις ἀπὸ βασιλικῆς φυλῆς τῆς ἰούδα ὃ πᾶν ἰουδαίων ἔθνος
ἐχρημάτιζεν, ὡς καὶ εἰς σήμερον ἰουδαίους ὀνομάζεσθαι, σφόδρα θαυμαστῶς καὶ
προφητικῶς ὃ πᾶν ἔθνος ἰουδαίων ὠνόμασεν, ὡς σφοῦ καὶ λίμνεῖς ἰουδαίους
προσαγορεύομεν. εἶτά φησι μὴ ποτε ἐκλείψ ἐκ τ̃ ἔθνους αὐτῶν ἄρ-
χοντας καὶ ἡγουμένους, ἢ πρᾷναι δὲν προφητευόμενον. τούτου δὲ ὑπισχνίσαντος, καθα-
λυθήσεσθαι μὴν αὐτίκα τινὶ ἰουδαίων ἀρχῇ, αὐτὸν δὲ ἐκ ἐπὶ ἰουδαίων, ἐθνῶν γ̀
ἔσεσθ προσδοκίαν. καὶ τοῦτο δὲ ὅτι μὴν τῶν προφητῶν ἐκ δὴ δυνατὸ ἐφαρ-
μόζειν, ὅτι δὲ μόνον ὃν σωτῆρα καὶ κύριον λίμνῃ. ἅμα τε γὰρ αὐτὸς εἰς ἀνθρώπους
πρᾶος, ἐ ὃ ἰουδαίων καθήκων βασιλέων· ἐκλελοίπει δὲ πᾶσα χρῆσμα ὁ ἐκ
προφητῶν διαδοχῆς ἄρχων αὐτῶν, καὶ ὁ κ̃ νόμους τοὺς οἰκείους ἡγούμενος, αὐ-
γούστου ὅτε προσήκου ῥωμαίων μοναρχήσαντος, ἡρώδου τε ἐξ ἀλλοφύλων ἐθνῶν βα
σιλέως αὐτῶν καταστάντος. ἐ οἱ μὴν ἐκλελοίπεσαν, ὁ δὲ προσδοκία τῶν καθ' ὅλης
τ̃ οἰκουμένης ἐθνῶν κ̃ τ̃ θείου προφήτην διαπέφανται, ὡς καὶ εἰς ἕλληνας πρᾶ-
τας τοὺς ἐξ ἀπιστούντων τ̃ ἐθνῶν εἰς αὐτὸν πεπιστευκότας, τῆς κ̃ θεὸν αὐτῶν προσ-
δοκίας τ̃ ἐλπίδα ἐπ' αὐτῷ ἀθροᾶσαι. καὶ μωσῆς μὴν τοσαῦτα, καὶ τὰ τούτων ἕτερα
πλείω προεῖδ χρησμοῦ προσπάντας λίμνῃς διαγγίζ). ἀδελφὰ γ̀ αὐτῷ ἐ ἡσαΐας

ἀφορισμένως

ἀφωρισμένως περί τινος ἑνὸς ἐκ σπέρματος τῆ δι ἀδοχῆς Δαβὶδ τοῦ βασιλέως
ἀναστησομένου τῶ πατρὶ αὐτοῦ λέγει, ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης ἰεσσαί, καὶ ἄνθος
ἐκ τῆς ῥίζης αὐτοῦ ἀναβήσεται· καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα θεοῦ, πνεῦμα σοφί
ας καὶ συνέσεως. καὶ πάλιν πάλιν· εἶπε· καὶ ἔσται τὸ ἀμοφύλων
ἐθνῶν βαρβάρων τὸ καὶ ἡμέρων, τοῦτ' ἔστι ἀγελιωδεστάτων καὶ θηριωδεστάτων ἀνθρώπων τοῦτ'
ἔστι τὸ πρόσφορον καὶ ἥμερον διδασκαλίας γλυκασμῷ μεταβολῶ θεοῦ
ξῆ. λέγει δ' οὕτω, καὶ συμβοσκηθήσεται λύκος μετ' ἀρνός, καὶ παρδαλις συναναπαύ-
σεται ἐρίφω, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται. καὶ τὰ τούτοις
προσφιλῆ σιτία, ἃ καὶ πρόδηλα πᾶσι σαφῶς ἐρμηνεύει, φήσας, καὶ ἔσται ὁ ἀνίσταμένος
ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. σαφῶς γὰρ τὰ μόνα θρέμματα καὶ
τοῖς προκαταλελειμμένοις θῆρας οὐδὲ μόνους εἶπε τῶν ἐθνῶν, τὰ θηριώδους ἕνεκα
ἤθους, διεσάφησεν. ὧν ἐθνῶν ἄρξειν φησὶν τὸν ἀνίσταμενον ἐκ σπέρματος ἰεσσαί,
ἀφ' οὗ δὴ ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἰησοῦς χριστός. ἐφ' ὃν καὶ εἰς αὐτὸν πιστεύοντα ἔθνη
εἰσέδει νεῶ ἐλπίζει, συμφώνως τῇ προρρήσει, καὶ ἔσται ὁ ἀνίσταμενος ἄρχειν ἐθνῶν,
ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. τοῦτο δὴ προδήλως τοῖς προσὰ μωσεῖ θεοφορουμένοις ἀγγέλλων,
καὶ ὃ μόνον, ἔσται ὁ ἀνίσταμενος ἄρχειν ἐθνῶν, ἐφαρμόσων ᾧ, ἐξελεύσεται ἄνθρωπος
ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν. καὶ ὃ, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, ᾧ, ὡς
αὐτὸς ἔσαι προσδοκία ἐθνῶν. τί γὰρ διαφέρει φάσκειν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν, ἢ
αὐτὸς ἔσαι προσδοκία ἐθνῶν; πάλιν αὖ ὁ αὐτὸς ἡσαΐας προϊών, προσὶ δ' ἰεσσοῦ τοῦ
πατρὸς τοῦ φυτεύσαντος· ἰδοὺ ὁ παῖς μου ὃν ἠρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ
ψυχή μου, χρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. καὶ ὑπιφέρει, ἕως δὺ θῇ ὑπὸ γῆς κρίσιν, καὶ ἐν
τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. ἤδη δεύτερον ἐν τούτοις ὁ προφήτης ὃ ὑπὸ τῷ
ἰεσσαὶ τὰ ἔθνη ἐλπίσειν εἴρηται, αὖθις δὲ ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. ἐν τούτοις
δὲ, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. λέλεκται δὲ καὶ τῷ δαβὶδ, ὡς ἄρα ἐκ
τοῦ καρποῦ τῆς κοιλίας αὐτοῦ καθίσεταί τις προσὶ οὗ ἐξῆς φησιν ὁ θεὸς, αὐτὸς ὑπε-
καλέσεταί με, πατήρ μου εἶ σύ· καγὼ πρωτότοκον θήσομαι αὐτόν. καὶ προσὶ τούτου δὲ
πάλιν εἴρηται, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως
περάτων τῆς οἰκουμένης. καὶ αὖθις, πολλὰ τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, καὶ ἐνευλογη-
θήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. καὶ τόπος δέτις πάλιν ἀφωρισμένῳ τῷ προφη-
τευομένῳ γένεσθαι ἀπὸ μιχαίου λέγοντος, καὶ σὺ βηθλεὲμ οἶκος τοῦ ἐφρα-
θὰ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν ἰούδα. ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποι-
μανεῖ τὸν λαόν μου τὸν ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. ὡ-
μολόγηται δὲ καὶ τοῖς πᾶσιν, ὅτι ἐν βηθλεὲμ ἐγεννήθη ἰησοῦς ὁ χριστός, ὡς δὲ ἀπη-
λαιον δείκνυσθαι προς τὸν ὑπερωρίων αὐτῷ τοῖς ὑπὸ τὴν ἀποστασίαν ἀ-
φικνουμένοις. καὶ ὁ μὲν τόπος ἔστ', ἐνθα γεγεννῆσθαι ἐμάνη, προείρηται· τίς δ' καὶ λαὸς
τερον ὁ ἰσαΐας προσίσησι, δι' αἰνιγμάτων μὲν, ὅταν λέγῃ, κύριε τίς ὑπίστευσε τῇ
ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγείλαμεν ἐναντίον αὐτοῦ
ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. δῆλον δ' ὁ μὲν ἀκούσας ἠρεμοῦντος ὕτως, καὶ
ἀναῤῥηθήσεται ὡς ἀπιζόμενον εἰς προσωπον αὐτοῦ. καὶ ὡς ῥίζα ἀπὸ γῆς ἀβάτου.
ὁ δὲ θεοδοτίων, καὶ ἀναβήσεται ὡς θηλάζον ἐνώπιον αὐτοῦ, καὶ ὡς ῥίζα ἐν γῇ διψώσῃ.
ἀφ' ὧν τούτων μιμησάμενος ὁ προφήτης τοῦ βραχίονος τὸ κύριε, ὃς ἐστὶν ὁ θεὸς

© Centre d'Études Supérieures de la Renaissance - Tours

λόγος. ἐνώπιον αὐτοῦ φησὶν, ἀνηγγείλαμεν ὡς παιδίον θηλάζον καὶ τιθιζόμενον, καὶ
ὡς ῥίζαν ἀπὸ γῆς ἀβάτου. Ὃ μὲν οὖν παιδίον ὃ τιθιζόμενον καὶ θηλάζον, ἀντίκρυς
τὴν γένεσιν τοῦ χριστοῦ δηλοῖ. ἡ δὲ γῆ ἄβατος καὶ διψῶσα τὴν ἀποκυήσασαν αὐ-
τὸν παρθένον, ἣ οὐδεὶς ἀνὴρ ἐπιβέβηκεν, ἀφ' ἧς καίπερ ἀβάτου τυγχανούσης προ-
ῆλθεν ἡ εὐλογημένη ῥίζα, καὶ ὃ τιθιζόμενον καὶ θηλάζον παιδίον. Ἀλλὰ ταῦτα μὲν
ἐπεσκιασμένως ἠνίξατο. γυμνότερον δὲ ὁ αὐτὸς ἑρμηνεύει προφήτης τὴν διά-
νοιαν, ἐπ' ἀνὰ λέγῃ· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν, καὶ καλέσουσι ὃ
ὄνομα αὐτοῦ μεθ' ἡμῶν ὁ θεός. τοῦτο γὰρ ἑρμηνεύει ὃ ἐμμανουήλ. τοιαῦτα περὶ τῆς
εἰς ἀνθρώπους γενέσεως τοῦ χριστοῦ πάλαι πρότερον παρ' ἑβραίοις μεμελετάσθω.
μή τι οὖν ἐπίδοξόν τινα δυνάστην ἢ τύραννον, ἤ τινα ἄλλως τῶν τὰ μεγάλα κατὰ
τὸν βίον δυναμένων, τὴν προφητευόμενον ὑπογράφουσιν; οὐκ ἔστιν εἰπεῖν, ὅτι
μηδὲ ἐφάνη τοιοῦτος. Ἀλλ' οἷος ἐφάνη τῷ βίῳ, τοιοῦτον αὐτὸν καὶ ἐθέσπισαν ἔσεσθαι,
τῆς ἀληθείας κατ' οὐδὲν ἀπολελειμμένοι. εἰπὼν δ' οὖν ὁ Ἡσαΐας, ἀνηγγείλαμεν
ἐνώπιον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. ἑξῆς συνάπτει λέγων, οὐκ ἔστιν
εἶδος αὐτῷ οὐδὲ δόξα. καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος. καὶ ἦν ὃ
εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄνθρωπος ἐν πλη-
γῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. τί οὖν λείπει ἐπὶ τού-
τοις; εἰ γὰρ προεῖπον αὐτοῦ φυλὴν καὶ γένος καὶ τρόπον γενέσεως, καὶ τῆς παρθένου ὃ θαῦ-
μα καὶ βίου τρόπον, ἀκόλουθον ἦν ἑξῆς μηδὲ τὴν τελευτὴν ἀποσιωπῆσαι
αὐτοῦ. τί οὖν καὶ περὶ ταύτης Ἡσαΐας θεσπίζει; ἄνθρωπος, φησὶν, ἐν πληγῇ ὢν καὶ
εἰδὼς φέρειν μαλακίαν, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέ-
ρει καὶ περὶ ἡμῶν ὀδυνᾶται. καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ,
καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται
διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· ᾧ μώλωπι αὐτοῦ ἡμεῖς
ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν. καὶ κύριος παρέδωκεν αὐτὸν τοῦ ἁ-
μαρτίαις ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον
ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐνάντι τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ
στόμα. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. καὶ τὰ λοιπά.
σημαίνει δὲ διὰ τούτων, ὡς ἄρα ὁ χριστὸς ἐκ τὸς πάσης ὑπαρχων πλημμελεί-
ας, τὰς ὑπὲρ ἀνθρώπων ἁμαρτίας εἰς ἑαυτὸν ἀναδέξεται. διὸ καὶ πείσεται τὰ τῶν
ἡμαρτηκότων καὶ ὑπὲρ ἡμῶν ὀδυνηθήσεται, ἀλλ' οὐχ ὑπὲρ ἑαυτοῦ. εἰ δὲ καὶ
τραυματισθήσεται λόγοις βλασφήμοις, καὶ τοῦτ' ἔργον ἔσται τῶν ἡμετέρων ἁμαρ-
τιῶν· ἐπεὶ καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν, ὅπως ἡμεῖς, ἀνειληφότος αὐτοῦ
τὰ ἡμέτερα ἀμπλακήματα καὶ τὰ τῆς ἡμετέρας κακίας τραύματα, τῷ μώλωπι
αὐτοῦ ἰαθῶμεν. καὶ τὰ μὲν αἴτια ὧν παρ' ἀνθρώποις πείσεται ὁ ἀναμάρτητος, ταῦ-
τα ἦν. ἰουδαίων δὲ τῶν τὸν θάνατον αὐτῷ συσκευασαμένων οὐδὲ ὑπειδόμενος ὁ
θαυμάσιος προφήτης, διαῤῥήδην ἀπελέγχει, καὶ τοῦτο ἀντίκρυς σχετλιάζων καὶ λέ-
γων, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. εἶτ' ἐπεὶ παρὰ χρῆμα καὶ οὐκ
εἰς μακρὰν μετὰ τὴν κατὰ τοῦ χριστοῦ τόλμαν ὁ παντελὴς αὐτοὺς μετῆλθεν ὄλεθρος
πολιορκισθέντας ὑπὸ ῥωμαίων, οὐδὲ τοῦτο παριδὼν, ἐπιλέγει, καὶ δώσω τοὺς πονηροὺς
ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ θανάτου αὐτοῦ. ἤρκει μὲν οὖν ἐπὶ τούτοις
ἐπιγράψαι τὴν προφητείαν, εἰ μηδέν τι πλέον ἔσεσθαι μετὰ τὴν τοῦ χριστοῦ τε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

λευτὴν ἑώρα. ἐπεὶ δὲ ὅσον οὔπω ἔμελλε μετὰ τὴν τελευτὴν ἢ μετὰ τὴν ταφὴν πα-
λινοστεῖν καὶ ἀναβιοῦν, ἔτι περὶ αὐτοῦ καὶ ταῦτα πρὸς τίθησιν, ἑξῆς ἐπιλέγων, καὶ
» κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑ-
» μῶν ὄψεται σπέρμα μακρόβιον. καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυ-
» χῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς. ἀνώτερον εἰπὼν, ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰ-
» δὼς φέρειν μαλακίαν, νῦν μετὰ τὸν θάνατον αὐτοῦ καὶ τὴν ταφὴν, κύριος, φησὶ, βού-
» λεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. καὶ πῶς ἔσται; ἐὰν δῶτε, φησὶ, περὶ ἁμαρτίας,
» ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. οὐ πᾶσι γὰρ ἐφεῖται τὸ μακρόβιον τοῦ χρι-
στοῦ σπέρμα σϋνιδεῖν, ἢ μόνοις τοῖς ἐξομολογησαμένοις καὶ τὰ δῶρα τὰ ὑπὲρ ἁ-
μαρτιῶν προσάγουσι τῷ θεῷ. μόνων γὰρ τούτων ἡ ψυχὴ ὄψεται σπέρμα μακρό-
βιον τὸ τοῦ χριστοῦ. ἤτοι τὴν αἰώνιον ζωὴν αὐτοῦ, τὴν μετὰ τὸν θάνατον, ἢ τὴν καθ' ὅλης
τῆς οἰκουμένης ἐπισπαρέντα αὐτοῦ λόγον μακρόβιον ἐσόμενον, καὶ εἰς τὸ ἀεὶ διαρ-
» κέσοντα. πάλιν ἀνώτερον εἰπὼν, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, νῦν
» μετὰ τὴν σφαγὴν καὶ τὸν θάνατον αὐτοῦ, φησὶν, καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ
» πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς. ἐπεὶ τοίνυν βεβούληται κύριος ὁ τῶν ὅ-
λων θεὸς καθαρίσαι αὐτὸν τῆς πληγῆς, καὶ δεῖξαι αὐτῷ φῶς, πάντως που βουλη-
θεὶς, πράξειεν ἂν ὃ ἠβουλήθη. οὐδὲν γὰρ ἐστιν ὃ μὴ γίγαι ὧν βούλεται. ἐβουλήθη δὲ κα-
θαρίσαι αὐτὸν καὶ δεῖξαι αὐτῷ φῶς. ἐποίησεν ἄρα ταῦτα. καὶ καθαρίσας αὐτὸν ἔ-
δειξεν αὐτῷ φῶς. καὶ ἐπεὶ ἐβουλήθη, καὶ βουληθεὶς ἀφεῖλε τὸν πόνον τῆς ψυχῆς αὐτοῦ,
» καὶ ἔδειξεν αὐτῷ φῶς, εἰκότως ὁ προφήτης ἐπισϋνάπτει, λέγων, διὰ τοῦτο αὐ-
» τὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μερεῖ σκῦλα. ἔνθα λοιπὸν ἤδη καὶ τῆς κλη-
ρονομίας τοῦ χριστοῦ μέμνηται τῷ δευτέρῳ συμφώνως ψαλμῷ, δι' οὗ περὶ τῆς ἐπι-
» βουλῆς τῆς κατ' αὐτοῦ συσκευασθείσης ὀνομαστὶ θεσπίσας ὁ λόγος ἐν τῷ, παρέστη-
» σαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ
» τοῦ χριστοῦ αὐτοῦ, ἑξῆς ἐπιλέγει, κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον
» γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοὶ ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατά-
» σχεσίν σου τὰ πέρατα τῆς γῆς. ταῦτα δ' οὖν τὰ ἔθνη καὶ ὁ προφήτης ὠνίξατο εἰπὼν,
» διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ ἐπιλέγει, καὶ τῶν ἰσχυρῶν μερεῖ σκῦλα.
τῶν γὰρ δυνάμεων τῶν ἀντικειμένων, αἱ πάλαι ὧν ἐθνῶν ἦρχον, τὰς ὑποχειρίους
ῥυσάμενος ψυχὰς οἷα δήτινα σκῦλα τοῖς οἰκείοις διένειμεν μαθηταῖς. διόφησιν ὁ ἡ-
» σαΐας περὶ αὐτοῦ, καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.
» καὶ ὁ ψαλμῳδὸς, κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. ὁ βα-
» σιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα. εἰ-
κότως τοιγαροῦν καὶ ἐν ταῦτῃ περὶ τοῦ χριστοῦ φησὶν, διὰ τοῦτο αὐτὸς κληρονομήσει
πολλοὺς, καὶ τῶν ἰσχυρῶν μερεῖ σκῦλα. διὰ ποῖον δὲ τοῦτο, πάλιν ἑξῆς διδάσκει, φή-
» σας, ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ
» αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν. καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. ἀντὶ τού-
των γὰρ ἀμειβόμενος αὐτὸν ὁ πατὴρ τῆς ὑπακοῆς καὶ τῆς ὑπομονῆς ἕνεκα, δεδώρη-
ται αὐτῷ τὰ ἐγκείμενα. γέγονε γὰρ ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου. διὸ καὶ
κληρονομήσειν πολλοὺς, καὶ οὐ πρότερον, ἀλλὰ μετὰ τὸ παραδοθῆναι εἰς θάνατον τὴν
ψυχὴν αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις λογισθῆναι, θεσπίζεται. διὰ ταῦτα γὰρ εἴρηται κλη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρονομήσειν πολλοὺς, καὶ τῶν ἰσχυρῶν μερίσειν τὰ σκῦλα. ἡγοῦμαι δὲ ἀναμφιλόγως τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ προφητευομένου διὰ τούτων παρίστασθαι. πῶς γὰρ ἀλλῶς ἐπινοῆσαι δυνατὸν ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντα, καὶ ἀπὸ τῶν ἀνομιῶν τοῦ ἰουδαίων λαοῦ θανάτῳ παραδοθέντα, καὶ μετὰ ἀνόμων λογισθέντα, ταφῆτε παραδοθέντα· εἶτα καθαριζόμενον ὑπὸ τοῦ κυρίου, καὶ φῶς παρ' αὐτῷ ὀψόμενον, καὶ κληρονομοῦντα πολλοὺς, καὶ σκῦλα τοῖς οἰκείοις διανέμοντα; καὶ ἀλλῶς δὲ περὶ τῆς μετὰ
» τὸν θάνατον ἀναβιώσεως αὐτοῦ λέγει που προφητεύων ἐκ προσώπου τοῦ χριστοῦ
» ὁ δαβίδ, οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ἅδην, οὐδὲ δώσεις ὅσιόν σου ἰδεῖν
» διαφθοράν. καὶ πάλιν, κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με
» ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. καὶ πάλιν, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου. τούτοις δὲ πᾶσιν ἀντιβλέψαι δύνασθαι οὐδὲ τοὺς σφόδρα ἀγνωμονεστάτους ἡγοῦμαι. πλὴν ἀλλὰ τῆς ἡσαΐου προφητείας τὸ συμπέρασμα τὴν πάλαι στεῖραν καὶ ἔρημον θεοῦ ψυχὴν, ἢ καὶ μᾶλλον τὴν ἐξ ἐθνῶν ἐκκλησίαν εὐαγγελίζεται, ἀκολούθως τῇ θεωρίᾳ τῶν εἰρημένων.
» ἐπεὶ γὰρ τὰ πάντα δι' αὐτὴν ὁ χριστὸς ὑπέμεινεν, εἰκότως μετὰ τὰς περὶ αὐτοῦ
» προῤῥήσεις ἐπιφέρει λέγων, εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ
» οὐκ ὠδίνουσα. ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶ-
» πεν γὰρ κύριος, πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τῶν αὐλαιῶν σου, πῆξον,
» μὴ φείσῃ. πλάτυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον· ἔτι εἰς
» τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει. ἐνταῦθα δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν καθ' ὅλης τῆς οἰκουμένης ἐξηπλωμένην καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν παρατείνουσαν ὁ λόγος εὐαγγελίζεται, σαφέ-
» στατα τοῦτο παρίστας, διὰ τοῦ, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει. πλείονος δὲ ἐξεργασίας δεομένων τῶν κατὰ τὸν τόπον, ἀρκούντως ἐπὶ τοῦ παρόντος ταῦτ' ἡμῖν ἐπιτετμήσθω. πλεῖστα δ' ἂν καὶ αὐτὸς ἐπὶ σχολῆς ἀναλέξασθαι δύναιο περὶ τοῦ προκειμένου. καὶ ἡ παροῦσα δὲ πραγματεία τῆς εὐαγγελικῆς ἀποδείξεως, κατὰ καιρὸν ἕκαστα παραδώσεταί τε καὶ ἑρμηνεύσει. τέως δὲ ἐπὶ τοῦ παρόντος τῆς τῶν προφητῶν περὶ τῆς τοῦ σωτῆρος ἡμῶν προῤῥήσεως, καὶ ὡς πᾶσιν ἀνθρώποις τὴν τῶν μελλόντων ἀγαθῶν παροισίαν εὐηγγελίζετο, ἱκανῶς ἔχει τὰ εἰρημένα, προαναφωνοῦντα προφήτου τινὸς ἄφιξιν καὶ εὐσεβείαν νομοθέτου μωϋσεῖ παραπλησίου. γένος τε αὐτοῦ καὶ φυλὴν καὶ τόπον ὅθεν προελεύσεται, χρόνον τε καθ' ὃν ἥξειν προφητεύεται, καὶ γένεσιν καὶ τελευτὴν καὶ ἀναβίωσιν καὶ ἀρχὴν τὴν κατὰ πάντων ἐθνῶν. ἃ δὴ πάντα παρέστη, καὶ ἔτι μᾶλλον διὰ τῶν ἑξῆς παραστήσεται ἐπὶ μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν συμπεπερασμένα. ἀλλὰ ταῦτα μὲν ἀπὸ τῶν ἱερῶν λογίων τοῖς πιστεύουσιν αὐτοῖς παρατεθήσεται. τοῖς δ' ἀπειθοῦσι ταῖς προφητικαῖς γραφαῖς ἰδίως ἀπαντήσομεν, ὡς περὶ ἀνδρὸς κοινοῦ καὶ τοῖς λοιποῖς παραπλησίου τέως τὴν ὀξέτασιν ποιούμενοι. ἵνα ὁπόταν πάντων τῶν ἐξ αἰῶνος βοηθέντων ἐν ἀνθρώποις, πολὺ κρείττων ἀσυγκρίτῳ ὑπεροχῇ καὶ διαφέρων ἀναφανῇ, τοτηνικάδε καὶ τὰ περὶ τῆς θειοτέρας αὐτοῦ φύσεως κατὰ καιρὸν διαλάβωμεν, ὀξ ἐναργῶν τῶν ἀποδείξεων παριστῶντες, ὡς οὐκ ἀνθρωπείας ἄρα ἦν φύσεως ἡ περὶ αὐτὸν δύναμις. οἷς ἀκολούθως καὶ τὰ τῆς κατ' αὐτὸν θεολογίας, ὡς οἷόν τέ ἐστιν

ἡμῖν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἡμῖν ἐποπτεῦσαι, ποιησόμεθα. ἐπεὶ τοίνυν τῶν ἀπίστων οἱ πλείους γόητα καὶ πλάνον ἀποκαλοῦντες, καὶ μυρίαις ἀλλαις κακηγορίαις βλασφημοῦντες αὐτὸν οὔπω καὶ νῦν παύονται, φέρε καὶ πρὸς τούτους ἀποκρινώμεθα, οἴκοθεν μὲν οὐδὲν, ἐξ αὐτῶν δὲ τῶν αὐτοῦ φωνῶν καὶ ἧς παρέδωκε διδασκαλίας τὰς παραθέσεις ποιούμενοι.

Πρὸς τοὺς πλάνον ὑπειληφότας γεγονέναι τὸν χριστὸν τοῦ θεοῦ.

γζ Πευστέον δὴ αὐτῶν εἴποτέ τις ἄλλος τοιοῦτος πλάνος ἱστόρηται πραότητος καὶ ἐπιεικείας, σωφροσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς διδάσκαλος τοῖς ἀπατωμένοις γεγονὼς αἴτιος· καὶ εἰ θεμιτὸν τούτοις ἀποκαλεῖν τοῖς ὀνόμασι τὸν μηδὲ ἐμβλέπειν μετὰ ἐπιθυμίας ἀκολάστου γυναιξὶν ἐπιτρέψαντα· καὶ εἰ πλάνος ὁ τὴν εἰς ἄκρον παραδοὺς φιλοσοφίαν ἐν τῷ τοὺς φοιτητὰς παιδεύειν τῶν ὑπαρχόντων ἐνδεέσι κοινωνεῖν, καὶ τὸ φιλόπονον καὶ κοινωνικὸν περὶ πολλοῦ τίθεσθαι· καὶ εἰ πλάνος ὁ τῆς πανδήμου καὶ ἀγελαίου καὶ θορυβώδους συνουσίας ἀνεγείρων, διδάσκων δὲ μόνην ἀσπάζεσθαι τὴν περὶ τὰ θεῖα λόγια σχολήν. ὁ δὲ παντὸς μὲν ψεύδους ἀποτρέπων, τὴν δ' ἀλήθειαν
» πρὸ παντὸς τιμᾶν παραινῶν· ὁ μὴ δ' εὐορκίας δεῖσθαι, πολλοῦ δεῖ ἐπιορκεῖν· ἔστω
» γὰρ ὑμῶν τὸ ναί, ναί· τὸ οὔ, οὔ· πῶς ἂν πλάνος ἐνδίκως ὀνομασθείη; καὶ τί μὲ χρὴ πλείονα νῦν λέγειν, παρὸν ἐκ τῶν πρόσθεν εἰρημένων τίς ποτε ἦν τρόπος γνῶναι τῆς ὑπ' αὐτοῦ κατασπαρείσης τῷ βίῳ πολιτείας, ἀφ' ἧς οὐχ ὅπως πλάνον, ἀλλά τινα θεῖον ὡς ἀληθῶς καὶ θείας καὶ εὐσεβοῦς, ἀλλ' οὐ τῆς κοινῆς καὶ πανδήμου φιλοσοφίας εἰσηγητὴν πᾶς ὁ φιλαλήθης αὐτὸν ὁμολογήσαι ἄν; τὸν γοῦν βίον τῶν πάλαι θεοφιλῶν ἑβραίων ἤδη πως ἐξ ἀνθρώπων ἀπολωλότα, μόνος ἀνανεωσάμενος, οὐκ εἰς βραχεῖς καὶ μετρίους, ἀλλ' εἰς ὅλον ἐφαπλῶσαι τὸν κόσμον ἀποδέδεικται διὰ τοῦ πρώτου συγγράμματος τῆς παρούσης ὑποθέσεως. δι' οὗ παρέστιν ἀνθρώποις ἐπὶ σπείρας τοῖς καθ' ὅλης τῆς οἰκουμένης τὴν τῶν θεοφιλῶν ἐκείνων ἀμφὶ τὸν ἁβραὰμ μυρίους τε ὅσους ζηλωτὰς οὐκ ἐξ ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων τῆς ἐκείνων θεοσεβοῦς πολιτείας ἀποδεῖξαι. ἀλλὰ τὰ μὲν ἠθικώτερα τῆς διδασκαλίας αὐτοῦ, τοιαῦτα. φέρε δὲ σκεψώμεθα μὴ ἄρα ποτὲ ὁ πλάνος αὐτῷ περὶ τὰ κυριώτατα τῶν δογμάτων κατεγίνετο. ἆρ' οὖν οὐχὶ μόνῳ τῷ παμβασιλεῖ θεῷ τῷ καὶ οὐρανοῦ καὶ γῆς καὶ τοῦ σύμπαντος κόσμου δημιουργῷ αὐτός τε ἀνακείμενος καὶ τοὺς φοιτητὰς προσάγων ἀναγέγραπται; εἰς ἔτι τε καὶ δεῦρο οἱ τῆς διδασκαλίας αὐτοῦ λόγοι πάντα ἑλλήνα καὶ βάρβαρον ἄνω τὴν διάνοιαν πρὸς τὸν ἀνωτάτω θεὸν ἀνάγουσι, πᾶσαν ὁρατὴν φύσιν ὑπερόψαντα. ἆρα οὖν μὴ οὗτος ἦν ὁ πλάνος, ἢ ὅτι μὴ καὶ πλείους σέβειν θεοὺς ἐκ τῆς ἀνωτάτω καὶ μόνης ἀληθοῦς θεολογίας τὸν ὡς ἀληθῶς πλάνον τραχηλισθέντα συγχωρεῖ; ἀλλ' οὗτος οὐ νεώτερος, οὐδ' οἰκεῖος αὐτῷ λόγος, τοῖς δ' ἐκ μακροῦ πάλιν θεοφιλέσιν ἑβραίοις προσφιλὴς, ὡς προῦν δέδεικται διὰ τῆς προπαρασκευῆς, παρ' ὧν ἤδη καὶ τῶν νέων φιλοσόφων παῖδες τὰ μεγάλα ὠφεληθέντες, τῷ δόγματι συνηρέσθησαν. σεμνύνονται γέτοι καὶ αὐτῶν ἑλλήνων οἱ λογιώτατοι ἐπὶ χρησμοῖς τῶν οἰκείων θεῶν, ὧδέ πως ἑβραίων μνημονεύουσιν,

» Μοῦνοι χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' ἑβραῖοι,
» Αὐτογένεθλον ἄνακτα σεβαζόμενοι θεὸν ἁγνῶς.

Χαλδαίους δὲ τοὺς αὐτοὺς, διὰ τὴν ἁβραὰμ ὠνόμασεν, ἐπεὶ χαλδαῖος ἦν τὸ γένος,

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὡς ἱστορῆται. εἰ δὴ οὕτω καὶ τοῖς παλαιοῖς παῖδες Ἑβραίων τὴν δὴ μάλιστα καὶ τοὺς τῆς ἑλληνικῆς Σοφίας μεμυθευμένων ὅτι μόνον τῶν πάντων δημιουργὸν θεὸν ἀνῆγον ὁ σέβας, τί δεῖ πλέον ἢ τὸ θαυμαστὸν εὐσεβείας διδάσκαλον ὁμολογεῖν τοῦτον; ὃς καὶ τοῖς παλαιοῖς μόνος τοῖς θεοφιλέσιν Ἑβραίοις ἐγνωσμένος εἰς πάντας ἀνθρώπους ἀοράτῳ καὶ ἀνθέῳ δυνάμει τοσαύτην ἐξήπλωσεν, ὥστε μηκέτι τὸ παλαιὸν βραχεῖς τινας καὶ ἀριθμῷ λιτοὺς ὀρθῶς τοῦ θεοῦ φέρειν δόξας, ἀλλὰ μυρία πλήθη βαρβάρων τῶν πάλαι θεοσεβεστάτων, λογίων τε καὶ ἰδιωτῶν ἀνδρῶν, οἱ τοῖς πάλαι τοσούτοις καὶ δικαίοις ἀνδράσιν εὐσεβῶς ὁμοίως ἀφ' ἑνὸς τοῦ αὐτοῦ δυνάμεως ἐπαυδῶντο. ἀλλὰ δὴ τὸ λοιπὸν σκεψώμεθα, μή ποτ' ἄρα τοῦτ' ἐκεῖ δι' ὃ πλέον αὐτὸν φησιν, ὅτι μὴ βουθυσίαις μηδὲ ζώων ἀγόνων σφαγαῖς μηδ' αἵμασι καὶ πυρί, μηδὲ τοῖς ἀπὸ γῆς ἀναθυμιωμένοις τὸ θεῖον ἡμᾶς διετάξατο. ταπεινὰ μὲν καὶ γεώδη ταῦτα καὶ τῆς ἀθανάτου φύσεως ὕδατι μόνῳ οἰκεῖα λογισάμενος, κρίνας δὲ πάσης θυσίας τοσοῦτον καὶ ἡδεῖαν εἶναι τῷ θεῷ τὴν τῶν οἰκείων ἐντολῶν κατόρθωσιν, δι' ὧν αὐτῷ σώματι καὶ ψυχῇ κεκαθαρμένους, νοῦτε διανοεῖσθαι καὶ δόγμασιν εὐσεβέσιν κεκοσμημένους, τὸν τοῦτο τὸν θεὸν ἐξομοίωσιν ἀπο-
» μιμεῖσθαι ἐδίδαξεν, ἀφαρπάζων φάσκων, ἔσεσθε τέλειοι, ὡς ὁ πατὴρ ὑμῶν τέ-
» λειός ἐστιν. εἰ δὴ ταῦτα ἡμῖν ἀρίστου ἀνδρὸς, ἴσως μὴ φίλα τοῖς οἰκείοις διδασκάλοις φρονῶν, οἴγε, ὡς εἰκὸς, ἐξ ἡμῶν ἀφορμώμενοι, ἐπεὶ καὶ μὲθ' ἡμᾶς γεγόνασι τοῖς χρόνοις, λέγω δὲ μετὰ τὴν τοσαυτεπταμυθίαν ἡμῖν ἐκ τῶν σωτῆρος ἡμῶν διδασκαλίων, οἷα δὴ ἐγγράφως ὁμολογοῦμεν,

Οὐ σοφὸν τῶν ἀπὸ γῆς χρὴ τὸν ὅτι πάντων θεὸν ὅτε θυμιᾶν ὅτε θύειν, ἀπὸ τῶν πορφυρέων, τοῖ ἐμψύχων ἀπογῆς.

» Θεὸν μὲν τὸν ὅτι πᾶσιν, ὡς τις ἀνὴρ σοφὸς ἔφη, μηδὲν τῶν ἀφθαρτῶν μήτε θύ-
» οντες μήτ' ἐπονομάζοντες. σοφὸν γὰρ σίνεται, ὃ μὴ τῷ αὐτῷ ἀνθύειν ὅσιον ἀκά-
» θαρτον. ἀφ' οὗ δὲ λόγος αὐτὸν ὅσπερ ἐκ φωνῆς οἰκεῖος, ὅσπερ ὁ σίνδων ὅτι ἀν πάθῃ ψυ-
» χῆς ἢ μεμολυσμένος. ἀφ' οὗ δὲ σιγῆς καθαρᾶς ἐκ τῶν τοῖ αὐτοῦ καθαρῶν σύνοισθα
» θρησκεύσομεν αὐτόν. δεῖ γὰρ σεαυτὸν ἀφιέντας καὶ ὁμοιωθέντας αὐτῷ, τῷ αὐτῶν
» ἀγωγῷ θυσίαν ἱερὰν τοσαύτην θεῷ. τῷ αὐτῷ δὲ καὶ ὕμνον ὅσον καὶ ἡμῶν
» σωτηρίαν σὺν ἀπαθείᾳ ἀρετῆς ψυχῆς. τὸ δὲ θεοῦ θεωρία ἡ θυσία αὕτη τελεῖται.

Ἐκ τοῦ αὐτοῦ, ἐκ τῆς ἀπολλωνίου τοῦ τυανέως θεολογίας.

» Οὕτως οἶνον μᾶλλον αὖτις τῷ τοσούτῳ ὅτι μιᾷ φωνῇ ποιοῦτο ὁ θεῖος, τυγ-
» χάνοι τε αὐτοῦ θεὸν ἵλεώ τε καὶ εὐμενοῖς αὐτοῦ πᾶσι δύναιτο αὖ τὰ ἀνθρώπων, εἰ θεῷ μὲν,
» ὃν δὴ φαμὲν τοῦτον, ἐνίτε ὄντα καὶ κεχωρισμένῳ πάντων, μόνῳ ὃν γνωρίζεσθαι τοὺς
» λοιποὺς δυνατὸν, μήτε θύοι τι τῷ ἀρχικῷ, μήτε αἰθάπτοι πῦρ, μήτε ἁπλῶς τῶν ἀφθάρτων ἐπονομάζοι. δεῖται γὰρ τοιούτου τοῦ θεοῦ τῶν χρημάτων, οἵων ἡμεῖς ἐσμεν· ὁ δ' ἔστιν ὁ τὰ ἀρχικὰ γῆ δύπτοι φυτὸν ἢ τρέφῃ ζῶον ἢ ἀὴρ, ᾧ ὅτου ἐστί γε μίασμα. μόνῳ δὲ χρῶτο τοῖς αὐτοῦ ἀεὶ τῷ κρείττονι λόγῳ. λέγω δὲ τῷ
» μὴ ἀφὰς σώματος ἰένθαι, τοῦτο δὲ τὸ καλλίστου τῶν ὄντων ἀφὰ τὸ καλλίστου τὸ ἐν ἡ-
» μῖν δύνατο ἀγαθά. νοῦς δέ ἐστιν οὗτος ὀργάνου μὴ δεόμενος. εἰ δὴ οὕτω ταῦτα καὶ

πρὸς τῶν πρὸ ἡμῶν ἑλληνικῶν φιλοσόφων τε καὶ θεολόγων ὁμολογεῖται, πῶς
δὴ εἰκὸς πλανᾶσθαι, ὃ μὴ μόνον λόγοις, ἀλλ' ἔργα τῶν λόγων πολὺ πρότερον τοῖς φοι-
τηταῖς ἐκτελοῦν ἐδιδασκεν, δι' ὧν καὶ τὸν ὀρθὸν λόγον ἔμαθον θεραπεύειν τὸ θεῖον;
ὅπως δὲ, καὶ τίσι λόγοις οἱ παλαιοὶ Ἑβραῖοι τὸν μὲν μυθολογοῦνται, διαφθορεῖς ὄντες τῷ
προφήτῃ συγγράμματα τῆς προφητείας ἐκείνοις ἀρκεσθησόμεθα.
ἐπεὶ γὰρ τοῖς ἐξητασμένοις ἔγνωμεν πρὸς τοῦ χείρονος μαθόντες, ὅτι γεγητὸς ὁ
κόσμος, καὶ ὅτι φθαρτὸς αὐτὸς καὶ ἥλιος καὶ σελήνη καὶ ἄστρα ἔργα θεοῦ τυγχάνει, καὶ ὅτι μὲν
μὴ ταῦτα, ἀλλὰ τὸν ποιητὴν αὐτῶν σέβειν, σκέψασθαι δεῖ μὴ ἄρα ἡπατήμεθα,
τοῦτον πρὸς αὐτοῦ διδαχθέντες φθορέα τε ἔφην. καὶ μὲν Ἑβραίων γε δὴ ὁ λό-
γος· καὶ φιλοσόφων δὲ οἱ μάλιστα σφᾶς τοῖς αὐτοῖς συνηνέχθησαν, γεγητὸν καὶ
αὐτὸν τὸν φθαρτὸν καὶ ἥλιον καὶ σελήνην καὶ ἄστρα, καὶ τὸ σύμπαντα κόσμον τοῦτο τῶν
ὅλων ποιητοῦ γεγονότα ἀποφαίνοντες. ἀλλὰ καὶ συντέλειαν καὶ μεταβολὴν
τινὰ ὅτι τὰ κρείττω τοῦδε τοῦ παντὸς ἔσεσθαι τοῦτο ἐδίδαξεν, ταῖς Ἑβραίων
γε τοῦτο ἀκολούθως γραφαῖς. ἢ οὐχί; καὶ ὁ Πλάτων φύσεως λυτὸς καὶ φθαρτὸς
οἶδεν αὐτόν, τε θεὸν καὶ ἥλιον γε σελήνην καὶ τοὺς λοιποὺς ἀστέρας, εἰ καὶ μὴ λυθήσε-
σθαί φησι ταῦτα, τῷ μὴ δὴ συμπεῖξαντα βούλεσθαι; εἰδὼς ἄρα βουληθείη, εἰ
φύσεως τοιαύτης. ψυχὴν δὲ ἀθάνατον ἔχειν ἡμᾶς κατ' οὐδένα μὲν ἐμφερῆ τοῖς ἀ-
λόγοις ζώοις, τῶν δὲ θεῶν δυνάμεων φέρουσάν ἀπεικονίσματα, διδάξας ἡγεῖ-
σθαι, ὅτως τ' ἔχειν καὶ ἀφικέσθαι καὶ φθορέα πάντα βάρβαρον καὶ ἰδιώτην παν-
δύσας, ἆρ' οὐχὶ σοφωτέρους ἀπεργάσαιτο τοὺς καθ' ὅλης τῆς οἰκουμένης τὰ αὐτὰ
φρονοῦντας, τῶν τὰς ὀφρῦς ἀνεσπακότων; οἳ μηδὲν κατὰ τὸν θείαν ἀφέρειν ἀπε-
φαίνατο ἐμπιδός τε καὶ ἀλκῆς καὶ μίας τῶν ἀνθρώπων ψυχῆς, ἀνδρὸς καὶ ὄφεως
καὶ ἐχίδνης, ἄρκτου τε καὶ προβάτου καὶ συὸς ψυχῆς κατ' οὐδέν, ὅσον ὅπερ λόγῳ φύ-
σεως τε καὶ θείας, τὸ σφῶν αὐτῶν τῶν φιλοσοφωτάτων ψυχὴν ἀφαιρεῖσθαι. καὶ θεὶς
δὴ τοῦτοις δικαιωτήρια συνεχῶς ἀναμνήσεων, καὶ μνήσεως ἔσεσθαι κρί
σεως, κολάσεις τε καὶ ἀμοιβὰς ἀπαραιτήτους τοῖς ἀσεβέσιν ἀναγράφων, τοῖς τε
δυσεβέσιν ἐπαγγελίας θεοῦ αἰωνίου ζωῆς, καὶ θεανδρὸς βασιλείας καὶ συνθεῶν μακαρι-
ας ἀφαγωγῆς, ἵνα δὴ πλανήσῃ, δοκῶ δὲ μᾶλλον τοὐναντίον, ἀπεύδειν μὲ ὅπερ
ἀρετὴν, τὸ προσδοκωμένον ἕνεκα τοῖς δυσεβέσιν ἐπάθλων, ἀποτρέπειν ἢ πάσης
κακίας, ἀφ' ἃς ἐπιτρυμένας τοῖς ἀσεβέσι ἀμοιβὰς; ἢ τοῖς δογματικοῖς τὸ αὐ-
τοῦ λόγων προφήναιμι, εἶναί τινας μὴ δὴ δυνατὸν θεὸν δυνάμεις, ἀσωμάτους
τὴν φύσιν καὶ νοεράς, λογικάς τε καὶ πυρὸς εἴδεις, τὸ παμβασιλέα χορεύσας, ὧν
πλείους καὶ μέχρι δυεθνῶν νέμεται τοῦ παντὸς ἀφ' ἑστίνας ὀφθείσας οἰκονο-
μίας ἀπεφάνθαι. ἃς δὴ γνωρίζειν καὶ ἡμᾶς χρὴ τὸ μέχρι τῆς ἀξίας ἐδιδάχθημεν,
μόνῳ τῷ παμβασιλεῖ θεῷ τὸ σεβάσμιον ἡμῶν ἀπονέμοντες. εἰ γὰρ τοῦτοις
ἔγνωμεν πρὸς αὐτοῦ μαθόντες πολεμίας τινὰς καὶ ἐχθρὰς δὴ δυνάμεις ἀνθρώπων
ἀμφὶ δὲ τοῦ γένους ἀέρα πωτᾶσθαι, καὶ συῶ τοῖς πονηροῖς ἀφορίζειν δυνάμεις
δαιμόνων, καὶ πολυμάτων πονηρῶν, καὶ τῶν ἐν τούτοις ἐχόντων, οὓς πάντα ἀθέμ
φόβητε παιδεύεσθαι. εἰ καὶ ὅτι μάλιστα θεῶν τοσαύτης καὶ τιμὰς ἑαυτοῖς ὑφαρ
πάζουσιν. ταύτης δ' οὖν εἶναι μᾶλλον τὰ θεομαχίας καὶ τὰ θεοκτονίας ἕνεκεν, ἀπο-
τρεπταίας εἶναι, καθ' ἃς ἐν τῇ τοσοῦτον ἐποιήμεθα ἀφ' πλείστων ἀποδεί-

ξῆς. τοιαῦτα ἄττα τυγχάνει ὢν ἐν τοῖς δογματικοῖς μαθήμασι τῶν Ἑλλήνων λίαν ἀναφερόμενα, ἑρμαίων πᾶσαν θεοφιλῶν ἀνδρῶν τε καὶ θεοφητῶν ἀντίκρυς ἀσεβῆ παράδειγματα. εἰ δὴ οὖν ταῦτα σεμνά, εἰ ὠφέλιμα, εἰ φιλόσοφα, εἰ ἀρετῆς μεσά, ἅ σιν αὐ λόγως ὁ τούτων διδάσκαλος ἐπιγράφοιτο τὸ τῆς πλάνης ὄνομα; ἀλλὰ ταῦτα μὲν ὡς περὶ κοινῆς τινὸς φύσιν ἀνθρώπου τέως ἐξητάσθω, παραινικὰ τῆς σεμνῆς καὶ βιωφελοῦς διδασκαλίας αὐτοῦ τυγχάνοντα. φέρε δὴ καὶ τὰ ἡμέτερα σκεψώμεθα.

Περὶ τῶν ἡμετέρων ἔργων αὐτοῦ Χριστοῦ.

δζ Καὶ δὴ σκεψώμεθα, ὅσων καὶ οἵων σωτὴρ ἀνθρώποις τὰς δεήσεις πεποιημένος, παρὰ δόξαν γέγονε ποιητὴς ἔργων, τοτὲ μὲν λεπροὺς ὁ σῶμα δυνάμει θείᾳ καθαίρων, τοτὲ δὲ περὶ σάγμαλι λόγου τοὺς ἐν ἀνθρώποις δαίμονας ἐλαύνων, καὶ ἤδη ποτε πάλιν νοσηλευομένοις πανοικίοις ἀθενείαν εἴδεσι καταπονουμένοις, τί ἴασιν
" ἀφθόνως δωρούμενος. καὶ ποτὲ μὲν ἔφησε παραλυτικῷ, ἀναστὰς ἆρον τὸ κράβαττόν σου, καὶ περιπάτει, ὁ δὲ ὃ ὁ κελευσθεὶς ἐποίει. τυφλοῖς δὲ πάλιν ἤδη ποτὲ τὰ βλεπτικὰ τοῦ φωτὸς ἐναερίζετο. ἤδη δέποτε καὶ αἱμορροοῦσα γυνὴ μακρᾶς ἐτῶν περιόδου περὶ τὸ πάθος καταπεχωμένη, ὅπερ ἐώρα μυεῖα πλήθη κυκλοῦντα αὐτὸν, καὶ μηδαμῶς ὅπως ἐπιτρέπουσα αὐτῇ γενυπετῆσαι προσελθούσῃ, τοῦ τε πάθους τὴν ἀπαλλαγὴν ἐξαιτήσασθαι, ἀλλὰ καὶ ἄκρου τοῦ ἱματίου περιψαύσαι μόνον δι' ἀφανοποιΐας, ἐπωδυνίᾳ, καὶ τοῦ κρασπέδου ὅπλα θομένη, ὁμοῦ καὶ τῆς τῶν κακῶν ἰάσεως ἐπελάβετο, παραχρῆμα τε ὑγιὴς ἐῶ, τὸ τοῦ Χριστοῦ λίαν ἀνθρώπου δυνάμεως δεῖγμα μέγιστον ὑπικνούμενη. δῆμος δὲ ἦς βασιλικὸς αὐτὴρ κακῶς ἔχοντα τὸν παῖδα, περισπεῖρον ὃ ἰησοῦ, παραχρῆμα σῶον ἀπελάμβανεν. καὶ θυγατέρα πάλιν δήμου, ἰσθμάων δὲ ἐχθισεν ἀγωγὸς ἐῶ, ἀλλ' ἐοῦ ἤδη τε θανοῦσαν. τί δεῖ λέγειν ὡς τεταρταῖος δήμου δυνάμει τοῦ ἰησοῦ νεκρὸς ἠγείρετο; ἢ ὡς ὅπι θαλάττης, οἷα ὅπι λεωφόρου γῆς, πορφύρας ἤνυεν ποιούμενος, τῶν αὐτοῦ μαθητῶν ἐμπλεόντων; καὶ ὡς χμαθέντων ἐπελίμνησε τῇ θαλάσσῃ τὰς κλύδωνι ἐν τοῖς δύεμοις, καὶ πάντα γε ἔσῃ παραχρῆμα, οἷα δεσπότου φωνὴν καταπλήξαντα; πέντε δὲ χιλιάδας ἀνδρῶν σιτοπρόπτου μυεῖα δήμου γυναικῶν τε καὶ παίδων πλήθους, ἐκ πέντε ὄν ἀριθμὸν ἄρτων εἰς κόρον πληρώσας, ὡς καὶ περιπλέον τοσαῦτα, ὅσα ἱκανὰ ἐῶ πληρῶσαι δώδεκα κοφίνους λαβόν, ἵνα οὐκ αὖ ἐκπλήξῃ, καὶ ὅπι ζητήσειν γε εἰκότως τῆς κατ' αὐτὸν ἀπορρήτου δυνάμεως ἐκκαλέσει; ἀλλ' ἵνα μὴ μοι τὰ νεῦρα ὁ λόγος εἰς μακρὸν μῆκος ἐκτείνοιτο, ὅπι πᾶσιν ἐκκείσεται ὁ αὐτοῦ θάνατος, ὃ κοινὸς τοῖς λοιποῖς ἀνθρώποις γεγονημένος. ὃ γὰρ νόσῳ διαφθαρείς, ἀλλ' οὐδὲ βέλει πυγείς, οὐδὲ μὴν κατ' αὐτὸ τὸ ξαυτοῦ τὸ ἔμφυτον ὁμοίως τοῖς λοιποῖς κακουργοῖς ἐκκολαπτεῖς σιδήρῳ τὰ σκέλη, οὐδὲ ὅλως περίζωνος ἀνθρώπων παθῶν τὸ ἀναμφὶ εἰωθότων, βίαιον ὑπέμεινε τελευτήν, ἀλλ' ὡς αὐτὸ μόνον ἐκὼν παρεδίδου τοῖς ἐπιβουλεύσι τὸ σῶμα. αὐτορθοῦτο μὲν ἀπὸ γῆς αὐλίκα. κἄπειτα ἐπὶ τῷ ἰκρίου φωνήσας μέγα, καὶ τῷ πατρὶ παραθεὶς τὸ
" πνεῦμα, εἰπὼν αὐτοῖς ῥήμασιν, πάτερ εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμα
" μου, ἅτινος ἄφετος καὶ ἡδύθετος αὐτὸς ἀφ' ἑαυτοῦ τῷ ἐκ τοῦ σώματος διαχω-

ρησαι

φθέντος τοῦ τ γνωρίμων, καὶ τῇ τοῦ σπκύου τοῦ δοθέντος ταφῇ, τριταῖος αὖθις ἀπελάμβανε τοῦτο, ὁ τοῖν αἰσχωρήσας ἐκὼν κατέλειπε. καὶ δείκνυσί γε πάλιν αὐτὸς ἑαυτὸν σάρκον, σῶμον, αὐτὸν σκεῖνον, οἷος καὶ ὅτε τοῖν ἐν, τοῖς οἰκείοις μαθηταῖς. οἷς καὶ ὅτε βραχὺ ὁμιλήσας, ὃ πνα διὰ σεσδήποτε ἔλεγον, αὖθις ὅπου καὶ πρὸ τοῦ, τοῦ ὀφθαλμοῖς αὐτῶν τὸν εἰς οὐρανοὺς πορείαν ἐλαύνων. οἷς δὴ καὶ ὕστερον ἡμᾶς τοῦ τῶν τοιούτων δόξας, διδασκάλους τῶν ἐθνῶν ἀπόντων τῆς δύναται θεοσεβίας ἀπέφηνεν. ταῦτα ἡμῖν τὰ πολυύμνητα τῆς ἀρετῆς θαύματα· ταῦτα τῆς ἐν αὐτῷ θεότητος τὰ τεκμήρια· ταῦτα καὶ αὐτοὶ λογισμῷ σώφρονι τεθαυμάκαμεν, βεβαιωσμένην τε καὶ ὁζηπασμένην χρίσῃ κατεδεξάμεθα. ἐξήτασας πρὸ ἡμῶν καὶ βεβαιώσας δι' ἑτέρων τοσούτων ἀναρχῶν πόνων καλυπτόντων λόγον, δι' ὧν αὐτὸς ὁ κύριος ἡμῶν εἰσέτι καὶ νῦν οἷς δὴ χρίνῃσιν, μικρόν τινα τῆς αὐτοῦ δυνάμεως τοῦ φαίνῃ εἰδέναι. πλὴν ἀλλὰ καὶ τῇ λογικωτέρᾳ μεθόδῳ, ἣν τοσάγε εἰώθαμεν τοῖς τοῦ δεχομένοις τὰ τοιαῦτα, ἀγωνιῶσι πόντελῶς ἀπιστοῦσιν αὐτοῖς, καὶ μηδὲν καθόλου γεγονέναι τοιοῦτον τοῦς αὐτῶν φάσκουσιν, ἢ γεγονέναι μέν, γοητικαῖς δόλως ὅπερ πλανῆ τῶν ὁρώντων ὡσανεὶ τοῦ ἀνδρὸς πλανοῦ, διαλεκτέον ὅπως ἔχειν. εἰ δὲ χρὴ καὶ ὅπερ τοῦ πρόντος βραχέα τοῦς τοὺς δεδηλωμένους ἐνστῆναι, οὐκ ἀπολειφόμεθα ἀσουδῆς, δόλως δέπως αὐτοῖς ἀπόντησόμεθα.

Πρὸς τοὺς ἀπειθοῦντας τῇ τῶν τῶν Χριστιανῶν ἡμῶν τοῦ τῶν θαυμαζομένων δόξαν τοῦ ἀξίαν διηγήσις.

ϐ Εἰ δὴ λέγοιεν μηδὲν τοῦ λόγου πεποιηκέναι τὸν Χριστιανὸν ἡμῶν θαυμαστὸν, μηδὲ τι τοῦ θαυμαζόμενον ὧν ἐμαρτύρηται οἱ γνώριμοι, σκεψώμεθα εἰ πιθανὸς ὁ λόγος αὐτοῖς ἔσται, μὴ τοῦ αἰτίαν αἰτοῦσιν ἀποδιδόναι, δι' ὃ οἱ μὲν μαθηταί, ὁ δὲ διδάσκαλος ἐχρημάτισεν. ὅ, τε γὰρ διδάσκων, ἐπαγγελίαν μαθήματός τινος ἐπαγγέλλεται. οἵτε αὖ μαθηταί, μαθημάτων ὀρεγόμενοι, σφᾶς αὐτοὺς τῷ διδασκάλῳ τοσφέροντες ὑπισχνοῦνται. ἵνα οὖν ἔστιν εἰπεῖν αἰτίαν τῶν τοῦ ἰησοῦ μαθητῶν τῆς σεμνῆς αὐτοῦ διδασκαλίας, καὶ τί ὁ διδάσκαλον τῆς τοῦ αὐτοῦ ἀσουδῆς; ἵνων γὰρ καὶ διδάσκαλον ἐπεγράφοντο μαθημάτων; ἢ τοῦτο δῆλον; πόντως γὰρ που ὧν πρὸς αὐτοῦ μαθόντες εἰς ἑτέρους ἐξεύρεσκον· τοῦ διδασκαλίας δ' ἦς αὐτοῦ φιλοσοφουμένης, ὃν ἐπαγγελ-
" φων αὐτοῖς ἐλεγεν· μὴ κτήσασθε χρυσίον μηδὲ ἄργυρον εἰς τὰς ζώνας, μὴ πήραν
" εἰς ὁδόν. καὶ τὰ τοιαῦτα. τῇ δὲ πόντα διοικούσῃ τοσνοίᾳ αὐτοὺς διαθέντας, μηδὲν μεμνᾶσθαι τῆς χρείας ἕνεκα. πρῶτά δ' αὐτοῖς καὶ τὰ ἰουδαίοις ἐπὸ μωσέως παραγγελλόμενα κρείττονα φαίνεται. ὃν μὲν γὰρ, οἷα τοσχείρεσις εἰς ἀνδροφονίας, νομοθετήσασα μὴ φονεύειν. ὡσαύτως ὃ καὶ μὴ μοιχεύειν, οἷα λαγνεσάτοις καὶ καταφερεσάτοις. καὶ αὖ πάλιν μὴ κλέπτειν, οἷα δουλοτρεπεσάτοις. αὐτοὺς δὲ δεῖν τούτοις μὲν ἡγεῖται μὴ τοσοιεῖν αὐτοῖς τοὺς νόμους, ὃ δ' ἀπαθὲς τῆς ψυχῆς τοῦ πολλῷ τοσῷ μᾶλλον, κάτω θεν ἐκ βάθους αὐτῆς διανοίας ὥστοτε ἀπορίζειν τὰς κακίας ἀποτέμνοντας βλαστήματα. καὶ κρατεῖν μὲν ὀργῆς καὶ πάσης αἰσχρᾶς ὑπιθυμίας πειρᾶσθαι, μᾶλλον δὲ μηδὲ ὀργίζεσθαι δι' ἀκρασίαν ψυχῆς ἀπάθειαν, μηδὲ τοσβλέπειν γυναῖκα μὲν ὑπιθυμίας ἀκολάστου. μὴ δὲ κλέπτειν, τοιοῦτον δὲ, καὶ τὰ οἰκεῖα τοσίεσθαι τοῖς δεο

μῦθοις. ἀλλὰ μηδὲ σεμνύεσθαι ὅτι τῶν μὴ ἀποστερῶν, ἀλλ' ὅτι ὧν τοὺς σοφοὺς ἀποστερῶν τοσούτους μύθους, ἀμνησικάκως φέρω. καὶ τί με χρὴ σιωπᾶν πολλὰ ὅσα ὁ μῦθος ἐδίδασκεν, οἱ δ' ἐμάνθανον; πρῴην δ' αὖθις τοὺς τοῖς δήλοις, τῆς ἀληθείας ὕστερος ἔχεσθαι ὡς μηδ' ὁρκίας δεῖσθαι, πολλοῦ δεῖ ὑποροκεῖν· τοσοῦτον ἀξίαν δὲ τὸν τρόπον, πρώτης ὅρκου πιστότερον φαίνεσθαι, μέχρι τοῦ ναὶ καὶ οὔ ὁ χωρισμὸς ἦν, σιωπὴ ἀληθείας τοῖς ῥήμασι χρωμένους. πολλοῦν οὖν, ἵνα μὴ ἔχοι λόγον τοῖς τοιούτοις ἀκροᾶσαι, ἤδη γὰρ καὶ διδασκάλοις τοῦ αὐλεῖν φιλοτιμίας μαθημάτων, πεπλάσθαι ὑπονοῶ, ὅσα μοι τοσοῦτος ἐμαρτύρησεν. εἰ δὲ ὁ πιθανὸν τοῦ νομίζειν συμφώνως ἀπῶσαι φεύγοις, δώδεκα ὄντας τὸν ἀριθμὸν τοῖς ἀκριτοῖς, ἑβδομήκοντα δὲ τοῖς λοιποῖς; οὓς γὰρ ἀποστεῖλαι λέγει αὐτὸς δύο τοσοῦτοι τοσούτου αὖ, εἰς πόλιν τόπον γῆ χώραν οὗ ἔμελλον αὐτὸς ἔρχεσθαι. ἀλλ' οὐδεὶς αἰρεῖ λόγος ἀπιστεῖσθαι τοῦτο πλῆθος ἀνδρῶν εὐσεβῆ καὶ σεμνὸν βίον ἀσπασαμένων, καὶ πόλεων μὲν τῶν οἰκείων ὠλιγωρηκότων, φιλτάτων δὲ τῶν φιλτάτων, γυναικὸς λέγω καὶ παίδων ἐκ πατρὸς γόνους, ὃν ἀκτήμονα τρόπον ἡγομένων καὶ τιμῶν τοῦ διδασκάλου μαρτυρίαν σύμφωνον, ὡς ἀφ' ἑνὸς στόματος εἰς πόλεις ἀνθρώπους ξενικοχότων. ὁ μὲν οὖν κύριος γῆ τοιοῦτος ἐκ ἀληθὴς λόγος, εἴη δὲ οὕτως. σκεψώμεθα δὲ γῆ τὸν ἐναντίον. ἔστω γὰρ ὁ μὲν διδάσκαλος, οἱ δὲ μαθηταί. εἰ δ' ὡς ἐν ὑποθέσει λόγου, ὁ μὲν μὴ τὰ τοσούτου λεγόμενα διδασκέτω, τὰ δ' ἐκείνοις ἐναντία, τοῦ δανομεῖν δηλαδή, γῆ ἀσεβεῖν, καὶ ἀδικεῖν, καὶ πλεονεκτεῖν, καὶ ἀποστερεῖν, καὶ εἴτι ἕτερον κακὸν λέγοιτο. λανθάνει δ' ἐπὶ πᾶσι τούτοις ἀπουδάζειν, καὶ τὸ ἦθος μὲν λύφυῶς ὑποκρύπτεσθαι τοσούτου μαθήματα σεμνῆς διδασκαλίας ἐκ εὐσεβείας ἐπαγγελία καινῆς. οἱ δὲ τοῦτα μετερχέσθωσαν, γῆ τὰ τούτων ἔτι μοχθηρότερα, τοῦ ὁ τοσαλὲς τῆς κακίας γῆ αὐτοδίδακτον αὐτῆς. ὅτι μέγα δὲ πλασοῖς ῥήμασιν ἐπαιρόντων τὸν διδάσκαλον, μηδενὸς ψευδοῦς φθόνῳ λόγου· πόθεν ἂν ἀπῶν τὰ τοσαῦτα δόξαι ἐκ τοῦ θαυματουργίας πεπλασμένως ὑπάρχοντος, ὡς αὖ θαυμάζοιντο γῆ αὖθις καὶ μακαρίζοιντο, οἷα μαθηταὶ τοιοῦδε γνέσθαι ἠξιωμένοι. φέρε οὖν εἰδῶμεν, εἰ τοιοῖσδε ὄντες αὖθις, συζῆναι οἷόν τε ἦν τὸ ὑπαίρημα. κακῶν δὴ κακὸν ὄντα φασὶν εἶναι φίλον, μὴ τοσοῦτο ἀγαθῶν. πόθεν οὖν ἂν πλήθη τοσῶνδε ἀνδρῶν, ἢ τῶν κακῶν ὄρηται συμφωνία; πόθεν ἡ τοῦ αὐτῶν ἂν πᾶσιν αὖθις ὁμόφωνος μαρτυρία; ἢ μέχρι θανάτου ὁμοφροσύνη; ἀνδρὶ δὲ γόητι τοιάδε ἐπαγγελλομένῳ, ὡς αὖ τῷ ἀρχῷ τοσούτῳ τὸν νοῦν εἶπον ἄν, ὅτι γόητες αὐτοὶ τοσοῦτον ἦσαν τῆς κατηγορίας ἧς. ἀλλ' οὐδὲ οἵδε τέλος ἂν σιωπῶντος ἔσχεν ἂν διδασκάλου, γῆ οἷον κέχρηται θανάτῳ; τί δῆτα οὖν, καὶ μὴ τὸ αἴσχιστον ἐκεῖνο τέλος αὐτοῦ, ἐπέλθωμεν, ὃν ἐν νεκροῖς θεολογοῦντες, τὰ ἵνα παθεῖν; καὶ ὡς πῶς ποτ' ἐπ' οὐδενὶ λόγῳ τοσοῦτον ἔλοιτο τοιαύτην ἀμοιβήν; καὶ μὴν δεδόσθω ἀμφὶ αὐτὸν σιωπῶντα ἔτι καὶ σιωπησόμενον, καὶ δι' ἀπάτης αὐτοῖς, ὡς ἂν φαίη τις, ἀποπλανῶντα. εἰ οὖν, ὅτι γῆ μὴ τοῦ τελευτοῦ, καὶ πολὺ μᾶλλον τότε, ἢ τοσούτου, αὐτὸν τεθνηκότα τεθυμήκασιν; ἐπεὶ σοῦ αὐθεφτοις μύοντα λέγειν γῆ ἀπιστῆσαί ποτε, ὅτ' αὐτῷ τὰ τ' ἐπιβούλης ἐσκοτωρίτο. μὴ γὰρ ἐξ αὐθεφτων γνέσθαι, ἀσμένως αὐτοῖ σπήσαι μᾶλλον ἠθοποιῶν, ἢ τ' ἐπ' αὐτῷ μαρτυρίας ἀγαθῆς ἐξίστασθαι. εἰ δὴ οὖν μηδὲν ἀγαθὸν σιωπῶντες ὧν διδασκάλων, μὴ βίον, μὴ μάθημα,

μὴ τοσοῦ

μὴ πράξιν, μὴ ἔργον ἐπαίνου ἄξιον· μηδὲ μὴν κατά τι ὠφεληθέντες αὐτοῦ, ἢ ὅσον πονηρίαν καὶ ἀνδρῶν πλάνην, πῶς ἔθνησκον προθύμως τὰ σεμνὰ καὶ ἐπίδοξα περὶ αὐτοῦ μαρτυροῦντες, παρὸν ἑκάστῳ ζῆν ἀπραγμόνως, καὶ ἐπὶ τῆς οἰκείας ἑστιᾶς μετὰ τῶν φιλτάτων τὴν ἀκίνδυνον διάγειν βίον; πλάνοι δὲ ἄνδρες καὶ ἀπατεῶνες, πῶς ἀγαπητὸν ἡγοῦντο τὸν ὑπὲρ ἑτέρου θάνατον, ὃν ἀκριβῶς πάντων μᾶλλον ἐγίνωσκον οὐδενὸς μὲν αὐτοῖς, ὡς ἂν φαίνη τίς, γεγονότα παραίτιον ἀγαθοῦ, πάσης δὲ κακίας διδάσκαλον; ἀνὴρ μὲν γὰρ λογισμοῦ καὶ ἀρετῆς μέτοχος, ὑπὲρ ἀγαθοῦ κατορθώματος κἂν εὐλόγως ποτὲ τὸν μετ' εὐκλείας θάνατον ὑπομείνειεν· ὁ δὲ μοχθηρὸς τὴν τρόπον, φιλοπαθής τις καὶ φιλήδονος ὤν, μόνην δὲ τὴν πρόσκαιρον ταυτηνὶ ζωὴν, καὶ τὰς κατ' αὐτὴν ἡδυπαθείας μεταδιώκων, οὐκ ἂν ποτὲ ἕλοιτο πρὸ ζωῆς θάνατον, οὐδ' ὑπὲρ οἰκείων καὶ φιλτάτων τιμωρίας ὑπομείνειε, μήτιγε ὑπὲρ τοῦ φαυλότητα κατεγνωσμένου. πῶς οὖν οἱ τοῦ δηλουμένου μαθηταί, εἰ ἄρα πλάνος ἦν καὶ γόης, οὐκ ἀγνοοῦντες αὐτὸν τοιοῦτον, ἀλλὰ καὶ αὐτοὶ χείρονι μοχθηρίας τρόπῳ τὰς ψυχὰς ἐνεχημένοι, ὑπέμενον πρὸς τῶν ὁμοεθνῶν πάσας αἰκίας, καὶ πᾶν τιμωριῶν εἶδος ὑπὲρ τῆς αὐτοῦ μαρτυρίας ἀναδέχεσθαι, οὐκ ὂν τοῦτο τῆς τῶν φαύλων οἰκεῖον φύσεως; ἔτι δὲ καὶ τούτῳ πρόσχες· εἰ δὴ καὶ αὐτοὶ πλάνοι καὶ ἀπατεῶνες ἐτύγχανον, πρόσθες δ' ὅτι καὶ ἀπαίδευτοι καὶ παντελῶς ἰδιῶται, μᾶλλον δὲ ὅτι καὶ βαρβαροι, καὶ τῆς σύρων οὐ πλέον ἐπαίοντες φωνῆς, καὶ πῶς ἐπὶ πᾶσαν προῆλθον τὴν οἰκουμένην; ἢ ποίᾳ τοῦτο διανοίᾳ ἐφαντάσθησαν τολμῆσαι; ποίᾳ δὲ δυνάμει τὸ ἐπιχειρηθὲν κατώρθωσαν; ἔστω γὰρ ἐπὶ τῆς οἰκείας γῆς καλινδουμένους ἀγροίκους ἄνδρας πλανᾶν καὶ πλανᾶσθαι, καὶ μὴ ἐφ' ἡσυχίας βαίνεσθαι τὸ πρᾶγμα. κηρύττειν δ' εἰς πάντας τὸ τοῦ ἰησοῦ ὄνομα, καὶ τὰς παραδόξους πράξεις αὐτοῦ κατά τε ἀγροὺς καὶ κατὰ πόλιν διδάσκειν, καὶ τοὺς μὲν αὐτῶν τὴν ῥωμαίων ἀρχὴν καὶ αὐτήν τε τὴν βασιλικωτάτην πόλιν νείμασθαι, τοὺς δὲ τὴν περσῶν, τοὺς δὲ τὴν ἀρμενίων, ἑτέρους δὲ τὸ πάρθων ἔθνος, καὶ αὖ πάλιν τὸ σκυθῶν, τινὰς δὲ ἤδη καὶ ἐπ' αὐτὰ τῆς οἰκουμένης ἐλθεῖν τὰ ἄκρα, ἐπὶ τε τὴν ἰνδῶν φθάσαι χώραν, καὶ ἑτέρους ὑπὲρ τὴν ὠκεανὸν παρελθεῖν ἐπὶ τὰς καλουμένας βρεττανικὰς νήσους, ταῦτα οὐκ ἔτ' ἔγωγε ἡγοῦμαι κατὰ ἄνθρωπον εἶναι, μήτιγε κατὰ εὐτελεῖς καὶ ἰδιώτας, πολλοῦ δεῖ κατὰ πλάνους καὶ γόητας. οἱ δὲ διδασκάλου φαύλου καὶ διαστροφέως πεπειραμένοι, καὶ τούτου τὴν ἔκβασιν τῆς τελευτῆς καθεωρακότες, ποίοις ἄρα λόγοις ἐχρήσαντο πρὸς ἀνθρώπους, εἰς τὸ σύμφωνα περὶ αὐτοῦ πλάσασθαι; ἐξ ἑνὸς γὰρ στόματος οἱ πάντες, καὶ λεπρῶν καθάρσεις, καὶ δαιμόνων ἀπελάσεις, νεκρῶν τε ἀναβιώσεις, πηρῶν τε ἀναβλέψεις, καὶ μυρίας ἄλλας νοσούντων ἰάσεις πρὸς αὐτοῦ γενέσθαι ἐμαρτύρησαν, καὶ ἐπὶ πᾶσιν, τὴν αὐτοῦ μετὰ τὴν θάνατον ἀναβίωσιν πρώτοις αὐτοῖς ἑωραμένην. ταῦτα γὰρ μὴ γενόμενα μηδ' ἀκουσθέντα πω, κατὰ τοὺς αὐτῶν χρόνους πῶς ἐξ ἑνὸς στόματος ἐμαρτύρουν γεγονέναι, μέχρι καὶ θανάτου πιστούμενοι τὴν ὁμολογίαν, εἰ μήποτε ἄρα συνελθόντες συνωμοσίαν τε κατὰ τὸ αὐτὸ πεποιημένοι, συνθήκας ἔθεντο πρὸς ἀνθρώπους, πλάσασθαι καὶ καταψεύσασθαι τῶν μὴ γεγονότων; καὶ ποίοις ἄρα πιθανὸν εἰπεῖν χρήσασθαι αὐτοὺς λόγοις ἐπὶ τοῦ συνθήκαις, εἰ μήποτε τοῖς τοιοῖσδε; ἄνδρες φίλοι, τὸν μὲν δὴ χθὲς καὶ πρώην ἀπατεῶνα καὶ πλάνης διδάσκαλον ὑπ' ὀφθαλμοῖς ἁπάντων ἡμῶν τὴν ἐσχάτην ὑπομείναντα τιμωρίαν, ὅστις ποτε

© Centre d'Études Supérieures de la Renaissance - Tours

ιῶ, πῶτων ἡμεῖς μᾶλιστα ἀκριβῶς ἴσμεν, οἷα μύσαι τ' ἀπορρήτων αὐτ' γεγυμνωμένοι, σεμνὸς μᾶλλις τοῖς πολλοῖς ἐφωλάζετο, καὶ πλέον ἔχειν τῶν ἀλλ' τοὺς πολλοὺς ἐφρόνει, οὐδὲν δὲ μέγα οὐδὲ τῆς ἀναστάσεως ἄξιον ἐπήγετο, εἰ μήτις ὁ δουλεύων καὶ ὑπουλοῦ λέγει τῷ Ἐπου, καὶ ὁ Ἀμφίτροφα διδάξαι λιμᾶς αὐτοὺς, τότε δ' ἀπάτης τῦφον. αὖθ' ὧν φέρε δίκαιος δόντες ἀγῶνα, ὁμοῦ πῶτες σωθώμεθα περὶ αὐτ' σύμφωνον ἐξενεγκεῖν εἰς πῶτας ἀνθρώπους πλανῶν, καὶ λέγωμεν ἑωρακέναι αὐτὸν τυφλοῖς ὁ βλέπειν κεχαρισμένον, ὁ ὐδεὶς πῶτ' λιμῶν ἰσόρησε· καὶ κωφοῖς τὸ ἀκοὴ πᾶσαν εἶναι, ὁ ὐδεὶς πῶτ' λιμῶν ἤκουσεν· λεπρούς τε καθαίσας, καὶ νεκροὺς ἐγείρας. καὶ συλλήβδην εἰπεῖν, ἃ μήτε εἴδομεν περὶ αὐτ' πεπραγμένα, μήτε ἠκούσαμεν λεγόμενα, ταῦτα ὡς ἀληθῶς πεπραγμένα δίκαιοι νώμεθα. Ἀλλ' ἐπεὶ καὶ ἡ ἑκάστη αὐτ' τελευτὴ περιβόητον ἔχει καὶ Ἀμφανῆ τὸν θάνατον, ὡς μὴ δυνάμενος αὐτὸν ὑποκρύψασθαι, ἀλλὰ δῆλον ἡμεῖς ἀδιαπτώτως ὑπολυώμεθα, μαρτυρούντων μᾶλλα δυναμένων ὅτι δὴ πᾶσιν λιμῶν μετ' ὀλίγον νεκρῶν ἀναβιῶσαι σωτὴρ λύει, ἑστῶτε καὶ ζῶντες σὺν ἡμῖν κοινώνησε. φυλαττέσθω δ' ἡμῖν πᾶσι τὸ αἰσχρὸν καὶ ἀμφίτροπον, μὴ ἔτω δὲ ὑπόστασις μέγα θανάτου. τί γὰρ ἄτοπον ὑπῆρ ὅτι μηδενὸς ἀποθνήσκει; ἢ ὃ καὶ λυπεῖ, μηδενὸς ἀλόγου χάριν, μᾶσιγας καὶ βασάνους καὶ ὅ τι φοβερώτερον; εἰ δὲ δεῖ καὶ δεσμωτηρίων πειρᾶσθαι, ἀλλοίων τε καὶ ὑβρεων ὑπὲρ οὐδενὸς ἀνθρώπων, ἃ τῶν ἡμῖν ἤδη μεμελετήσθω. ψευδόμεθα δὴ πῶτες ὁμοῦ συμφώνως, καὶ πλανῶμεθα ἐπ' οὐδενὸς ὠφελείᾳ, ὅτι λιμῶν, ὅτι τ' ἀπατωμένων, οὐδὲ μέν αὐτ' ὅτι ψευδὴ πρὸς λιμῶν ἐκφαζομένου. τείνωμεν ὃ τὸ ψεῦδος, μὴ ὅτι μόνους τοὺς ὁμοεθνεῖς, ἀλλὰ καὶ εἰς πῶτας προβάντες ἀνθρώπους, καὶ σύμπασιν τοῖς οἰκουμένοις καταπλήξωμεν τῶν περὶ αὐτ' σεμνολογημένων. ἤδη ὃ ἐντεῦθεν νομοθετῶμεν πᾶσι τοῖς ἔθνεσιν, ἀνύπερφα τᾶς ἐξ αἰῶνος πρ' αὐτοῖς περὶ τῶν πατρῴων θεῶν δόξας. κελεύωμεν φωμαίοις αὐτοῖς προῖσα πῶτων, μὴ σέβειν οὓς ἡγοῦντο θεοὺς οἱ προπάτορες. πρίωμεν δὲ καὶ ὅτι τοῖς βαρβάροις, καὶ τοῖς τούτων σοφοῖς ἀνακηρύττωμεν, μηδ' αἰγυπτίοις ἀνῶμεν, πολεμῶμεν ὃ καὶ τοῖς τούτων θεοῖς, μὴ τὰ μωσέως προτεθὲν κατ' αὐλῶν γλυπτὰ ἀνατεινόμενοι, ὃν ὃ τῶν λιμετέρου διδασκάλου θάνατον, ὥσπερτι φόβητρον, αὐτοῖς ἀνακαίποντες, καὶ τοῖς ἀπ' αἰῶνος ἐξ αὐλῶν εἰς πῶτας ἀνθρώπους προβάλλοντες περὶ θεῶν φήμαις, μὴ ῥήμασιν καὶ λόγοις, δυνάμει ὃ τῶν σταυρωθέντος διδασκάλου καταλύωμεν. ἀπίωμεν καὶ ὅτι τοῖς ἀλλοις βαρβάροις καὶ τοῖς πᾶσιν ἀνατρέπωμεν. προθυμίας ὃ μηδεὶς λιμῶν λαπέσθω. ὅτε γὰρ μικρὸς ὁ ἆθλος τῶν τολμωμένων, ἐπεὶ μὴ τὰ τυχόντα βέβαια λίμας ἐκδέξεται, ἀλλ' αἱ ἀπὸ τῶν πρὸ ἑκάστοις, ὡς εἰκός, νόμων ἀμοιβαί, δεσμὰ δηλαδὴ καὶ βάσανοι καὶ φυλακαί, πῦρτε καὶ σίδηρος καὶ σταυροὶ καὶ θῆρες, ὧν μᾶλιστα προθυμητέον, καὶ τοῖς κακοῖς ὁμόσε χωρητέον· ἀπόδειγμα τὸν διδάσκαλον κεκτημένους. ἃ γὰρ τούτων γένοιτ' ἂν κάλλιον, ἐχθρὸς καὶ θεοῖς καὶ ἀνθρώποις ἐπ' οὐδενὶ λόγῳ καταξῆναι, καὶ μήποτε ἡδέως ἀπολάσαι βίνος, μήτε τῶν φιλτάτων ὀνᾶσθαι, μήτε χρημάτων τυχεῖν, μήτε βίνος ἀγαθοῦ τὸ παράπαν γῆπίδα κτήσασθαι, εἰκῇ ὃ καὶ μάτην πλανᾶσθαι καὶ πλανᾶν. τοῦτο γὰρ ἐμοὶ τὸ συμφέρον καὶ τὸ φέρεσθαι ἐξεναντίας πᾶσι τοῖς ἔθνεσιν, καὶ τὸ θεοῖς μὲν τοῖς ἐξ αἰῶνος παρὰ

πᾶσιν

πᾶσιν ὡμολογημένοις πολεμεῖν. Ὃν δ' ἐπ' ὀφθαλμοῖς λίμνῃ αὐτῶν διδάσκαλον θεὸν εἶδ), καὶ θεοῦ παῖδα κηρύττειν, ἐφ' οὗ καὶ αὐτοὶ ἀπόκειμαι ἑτοίμους εἶδ), μηδὲν ἀγνῶτες περὶ αὐτοῦ μηδ' ὠφέλιμον μεμαθηκότες. Ταύτη δ' οὖν καὶ μᾶλλον λιμητέον αὐτὸν, εἰ μηδὲν λίμας ὤνησεν, πρώτα τε ὅτι τῷ δοξάσαι αὐτοῦ τὸν θεοσημείαν ποιητέον, καὶ πάσας ὕβρεις καὶ λιμοφείας ἐπολυμητέον, πρώτα τε ζήτον ἀναδεκτέον θανάτου, ἐφ' μηδενὸς ἀγνῶτος. κακὸν γὰρ ἴσως ἀγνοῶν, ὁ δὲ ψεύδος ἔχει τοῦ κακοῦ τὸ ἀναγκαῖον. δεῖ δὲ λέγω μὴν ὅτι καὶ νεκροὺς ἤγειρεν, καὶ λεπροὺς ἐκαθάρισε, καὶ δαίμονας ἤλασε, καὶ τῶν ἀνῶν θαυμάτων ἔργον γέγονε ποιητὴς, μηδὲν μὴν τοιοῦτον αὐτῷ συνεγνωκότες, ἑαυτοῖς ὃ τὰ πρώτα πλανόμενοι, καὶ πλανῶντες μὴν οἷς δυνατόν· εἰ δὲ μὴ πείθοιτό τις, ἀλλ' αὐτοί γε ἐφ' ὧν σύντεθείμεθα, τὰ πίστεως τῆς πλάνης καθ' ἑαυτῶν ἐφηγούμενοι. Ἀρέσει πιθανὰ ταῦτα ἢ τὸ ἀγνοῆς ἐχόμενα λόγου, ὡς τὰ τοιαῦτα πλανώμενοι καὶ σωθέντες ἀγνοίᾳ οὔτε λῆς ἀνδρὸς καὶ ἰδιώτης πρήσσομεν ὅτι τῷ ῥωμαίων ἄρχει, ἢ ὡς ἀνθρωπεία φύσις τὸ φιλόζωον οἰκεῖον κεκτημένη δυνατὸν ἀν ποτ' ἐφ' τῷ μηδενὸς αὐφαίρετον ἐπομεῖναι τελευτῇ, ἢ ὡς οἱ τῆς ζωτικῆς λίμνης μαθηταὶ τοσαύτῃ ἐφοδολῇ σκληρίας ἤλασαν, ὡς μηδὲν μὴν ἐπ' αὐτῷ ἀνδρεῖον ἐπιδεῖξαι ἐφεκτέον, αὐτοὶ δ' οὐ σωθήμαλος ὁμοῦ πρώτα τὰ τοιαῦτα πεπλάσθαι, ἔπειτα ῥημαλία περὶ αὐτοῦ ψευδῆ συνταξαμένους ἐφ' τούτων ἀνόσιον ἐπομένην ἑτοίμως ἔχειν; ἀλλὰ τί φῄς; μὴ προσδοκῆσαι αὐτοῖς μηδὲ πίστιν δυνάντι πεῖσαι οὐ τῆς περὶ τῆ ἰησοῦ μαρτυρίας; δεῖ καὶ σαφῶς ὅτι ὃ περὶ αὐτοῦ κήρυγμα προσῆκεν; ἀλλ' οὐκ εἰκὸς ἴσως ἀπιστῆσαι τὰ πρώτα ἐπ' αὐτῶν πεισθῆναι, τοῖς ῥωμαίοις ὁμοῦ δὲ ἕλλησι καὶ βαρβάροις θεὸν ἀνατροπὴν εἰσηγησαμένους. ἡ δέ γε περὶ αὐτῶν ἰσοτιμία σαφῶς δείκνυσιν, ὡς μὴ τιν' ἕτερον διδασκάλου τελευτὴν ὅτι βουλοί τινες συλλαβόντες αὐτοῖς, προῆτα μὴν προέδωκεν φυλακῇ, ἔπειτα δὲ ἀπέλυσεν, προσαγγείλαντες μηδενὶ λαλεῖν ὅτι τῷ ὀνόματι τῷ ἰησοῦ. γνόντες δὲ αὐτοὺς μὴ ταῦτα, δημοσίᾳ τῷ πλήθει τὰ περὶ αὐτοῦ διαλεγομένους, ἀναρπάσαντες ἐμάστιζον, ὅπερ μαθόντες ὅτι τῇ διδασκαλίᾳ. ὅτε ἀποκριθεὶς αὖθις αὐτοῖς ὁ πέτρος εἶπεν, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. μὴ ὃ ταῦτα λίθοις βληθεὶς ἀναῤῥῆξαι σφέας, ὅτι τῶν ἰουδαίων πλήθους παῤῥησιασάμενος, ὁ διωγμὸς ἐκ ὁ τυχὼν ἐπανίσταται τοῖς προσβύοσι τὸ τῆς ἰησοῦ ὄνομα. ὁ πάλιν ἡνίκα ἡρώδης ὁ τῶν ἰουδαίων βασιλεὺς ἀνεῖλεν τὸν ἰάκωβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρᾳ, τόν τε πέτρον ὁ αὐτὸς δεσμοῖς προσέβαλεν, ὡς ἐν ταῖς προῤῥήσεσι τῶν ἀποστόλων γέγραπται. καὶ τούτων ταῦτα πεπονθότων, οἱ λοιποὶ μαθηταὶ ἀπορίᾳ ἐχόμενοι τῆς ἰησοῦ, πρέμνον ἔτι μᾶλλον εἰς πλάτος αὐτόν τε καὶ τὰς θεοδοξοποιίας αὐτοῦ καταγήλοντες. ὅτι τούτοις ἰάκωβος ὁ ἀδελφὸς τοῦ κυρίου, ἐν οἷ πάλαι τὰ ἱεροσόλυμα οἰκοῦντες ἐκάλουν δίκαιον ἀφ' τῆς ἀρετῆς πλεονεκτήματα, ἐρωτηθεὶς προς τῶν ἀρχιερέων καὶ διδασκάλων τῆς ἰουδαίων ἔθνους, τίνα περὶ τοῦ χριστοῦ ἔχοι δόξαν, καίπειτα ἀποκρινάμενος ὅτι υἱὸς θεοῦ εἴη, λίθοις ὑπ' αὐτῶν ἀπὸ αὐλῶν βάλλεται. ὁ πέτρος δὲ ὅτι ῥώμης κεφαλῆς ἐσταυρώθη, παῦλός τε ἀποτέμνεται, ἰωάννης τε νήσῳ προσδίδοται. καὶ τούτων ταῦτα παθόντων, σοφοὶ τῶν λοιπῶν ἀρξέσθαι τῆς προθέσεως, δι' ὀλίγης δὲ ὑφέμενοι καὶ αὐτοὶ τῶν ἴσων τοῖς προφερομένοις τῆς εἰς τὸ

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεῖον δ' ὑποβάς ἕνεκα τυχεῖν, ἕως μᾶλλον τῷ ἰησοῦ καὶ τοῖς τῶν δικαίων ἔργοις αὐτοῦ παῤῥησίας ἐμαρτύρουν. καὶ μὴν εἴωθε ψεύσματα ὑπὲρ τοῦ σωτῆρος αὐτοῖς πεπλασμένα, θαυμάζειν ἄξιον, ὅπως τοσοῦτο πλῆθος τὴν συμφωνίαν ὑπὲρ τοῖς πλάσμασι καὶ μέχρι θανάτου διεφύλαξεν, οὐδεὶς τ' αὐτῶν πώποτε τὰ συμβαίνοντα τοῖς τῶν ἀνηρημένων τέκνα τῆς ἐναντίας, δι' αὐτεκήρυξε τοῖς ἄλλοις, εἰς φῶς ἀγαγὼν τὰ σεσωπημένα. ἀλλὰ καὶ ὁ ζῶντα τῶν δίκην ἐκμήσας αὐτὸν, αὐτομολίᾳ καθ' ἑαυτοῦ τὸ δικαίωμα τὴν δίκην ἐπεπαύσατο. καὶ κεῖνο δὲ πῶς ὑ μεσὸν ὑπλήξεως, ὃ πλείους ἄνδρας καὶ ἰδιώτας, μήτε λαλῆν μήτ' ἀκούειν πλέον τ' πατρίδα φωνῆς ὑπισταμένους, μὴ μόνον ἀφανοποιῆσαι ἐκμῆσαι τῶν ἤθη ὑπὲρ τὴν τῶν ἐθνῶν ἀπάτων τῶν ὁδόν, ἀλλὰ καὶ τῶν ἤθῶν καταρθῶσαι τὸ ὑπεναντίωμα; σκέψαι δὲ, ὁποῖόν ὅτι, καὶ ὃ μηδένα μηδαμοῦ ἀφῶνον ἐξενεγκεῖν τῶν τ' τῶν ἔργων τ' ἰησοῦ λόγον. εἰ γὰρ ὑπὲρ πάντων ἀμφιγνωμένων τῶν γμάτων, ἐν τε τοῖς κ' νόμοις δικαστηρίοις, καὶ ἐν ταῖς κοιναῖς ἀμφισβητήσεσι, τῶν μαρτύρων συμφωνία κυροῖ τὸ ἀμφιγνώμενον, ὑπὲρ τόμαλος δ' οὗτω δύο καὶ τριῶν μαρτύρων συνίσταται πᾶν ῥῆμα, πῶς οὐκ ἀν' ἡ ἀληθῆ καὶ ὑπὲρ τῶν δε συζῆν, δώδεκα μὲν ὄντων ἀποστόλων, ἑβδομήκοντα δὲ μαθητῶν, μυρίους τε πλήθους τούτων ὀκνῆς, πάντων ἅμα μαρτὴν συμφωνίαν ὑπιδεδεγμένων, καὶ μαρτυρησάντων γε τοῖς ἐπὶ τῷ ἰησοῦ πεπραγμένοις, οὐκ ἀνιδρωῖ, ἀφ' ὧν βασάνων ἐπομονῆς, καὶ πάσης αἰκίας καὶ θανάτου, καὶ ὑπὲρ πᾶσιν ἐπὶ δ' θεῖ μαρτυρηθέντων; ὃς τ' ἐπ' αὐτῷ καταγελθέντα λόγον ἔτι καὶ νῦν, καὶ εἰς ὅλον τὸν αἰῶνα κρατεῖ. ταῦτα μὲν οὖν ἀρχῆς ἄπου καὶ συγχώρησιν δοθείσης γεγυμνάσθω. ὃ γὰρ τοῖς ἐγγράφοις παναληθὲς ἐπολαβὸν, καὶ φάναι τὸν ἰησοῦν διδάσκαλον γεγονέναι μὴ σφετέρων λόγων, ἀδικίας δὲ καὶ πλεονεξίας καὶ πάσης ἀκολασίας, τοὺς τε μαθητὰς αὐτοῦ τοιαῦτα δεδιδαγμένους πονηρέκτας γεγονέναι καὶ παμπονήρους τῶν πώποτε ἀνθρώπων, καθ' ἑπόθεσιν ἡμῖν σεσωχωρῆσθω. ὅσῳ μὲν πάντος ἀπιστότερον, ὅμοιον ὡς εἰ καὶ μωσέως ἐν τοῖς νόμοις λέγοντος, ὃ φονεύσης, ὃ μοιχεύσης, ὃ κλέψῃς, ὃ ψευδομαρτυρήσῃς, συχωφώντων αὐτὸν διεβαιέως, λέγων εἰρωνείᾳ ταῦτα φάναι καὶ ποιῆσαι. ὄκνεῖ μὲν γὰρ τοὺς ὑπηκόους καὶ φονεύειν καὶ μοιχεύειν, καὶ παναληθὲς ἐᾷ πᾶν οἷς νομοθετεῖ, ποιεῖσθαι δὲ σημαίνεσθαι καὶ καθυποκρίνεσθαι τὸν σεμνὸν βίον. ταύτη γὰρ καὶ ταῖς τ' πρὸ ἡμῶν φιλοσόφων ἐπαθήκας ἀφανεῖς ἀνθρώπους, ὄντε καρτερικὸν βίον καὶ τοὺς λόγους αὐτῶν πάντων, φάσκων ἀναθεῖναι μὲν τοῖς ἀναγεγραμμένοις ἀφωρισθεῖσθαι αὐτοὺς καὶ ἀναβεβιωκέναι, ποιεῖσθαι δὲ καὶ ἐπόκρισιν, τ' φιλόσοφον μετελθεῖν βίον. ὅτως δεῖται καὶ πάσας ἁπλῶς εἰπεῖν ταῖς τ' παλαιῶν ἀφανεῖς ἀνθρώπους ἰσοείας, ἀθετῶν τ' ἐν αὐταῖς ἀληθῆ, καὶ εἰς τοὐναντίον τὰ δηλούμενα ποιεῖσθαι δεχόμενος. ἀλλ' ὡς οὐκ ἀν' ἡ ὑπόσχοι τῶν ἐθνικῶν μαίνεσθαι ὃν τοιοῦτον ἀποφαίνεσθαι, ὅτω καὶ ὑπὲρ τῶν τ' ἀποστόλων λόγων τε καὶ μαθητῶν, εἴτις ταληθὲς ἀφαιρέφων, τὴν ἐναντίαν οἷς ἐδίδασκε πειθανάγκην αὐτοῖς δόξαν πειρῶν. πλὴν ἀλλ' ἐάσθω καὶ τοῦτο ὡς ἐν ὑποθέσει, ὅπως καὶ οὐκ ἀθεοσεβείας, καὶ ἐν ἀπόπῳ συγχωρήσει, ἐκ ἀσύσταλον τῷ δι' ἐναντίας λόγου φανῆ. ἐπειδὴ μοῦ δῆτα τούτου, φέρε αὖ ἀναδραμόντες ὑπὲρ τὴν τῶν ἱερῶν γραφῶν ἀφήνειαν, ἐκ ἔθος τῶν τ' ἰησοῦ μαθητῶν θεασόμεθα. αὐτόθεν μὲν οὖν ἀνὴρ δ' ἀθεοσεβῶν, πῶς

ὃ πάσης

ϑ πάσης ἀποδοχῆς αὐθις ἀξίους κρίνφεν; ὕδρας μὴν ἀτελὴς ὁμολογουμένως, ϗ ὃν λόγον ἰδιώτας, ὑσεροῖς δὲ ϗ φιλοσόφου διδασκαλίας εἰς ἔρωτα συμβεβηκότας, ἐς ἐρξάντας βίον καρτερικὸν ϗ ὑπόπονον, ὀλίγα νηφάλιον, οἶνόν τε ϗ κρεῶν ἀποχῆς, ϗ πλείστης ἄλλης ταπεινώσεως τῦ σώματος ὀλίγα τε ὑγρῶν ϗ ἱκετηρίαν τῶν πρὸς ϑεὸν, ϗ πολὺ πρότερον δι' ἀκρας σωφροσύνης ϗ ἁγνείας σώματος ὁμοῦ ϗ ψυχῆς καθορθούμενον. Ὡς δ' οὕτω οὐκ ἀν αὐθις θαυμάσαι, δι' ὑπερβολὴν φιλοσοφίας ϗ ταῖς κτ' νόμον συγκεχωρημένας γαμετὰς ἀποτεταγμένους, ϗ μήτ' ἐπὶ τῆς φυσικῆς ἡδονῆς καθελκυσθέντας, μήτε παίδων ϗ ἐγγόνων ὑπερθυμίᾳ δουλωθέντας· ἐπεὶ μηδὲ ϑνητῶν ἐγγόνων, ἀλλ' ἀθανάτων ὡρέξαντο. Ὁ δὲ ἀφιλοχρήματον αὐλῶν τῦ ἔθους, πῶς οὐκ ἀν τις οὐκ πλαγείη; ϗ τοῦτο τεκμηράμενος οὐκ ἂν μὴ φθάνοι, ἀλλ' ἀπασασθαι διδάσκαλον, χρυσοῦ ϗ ἀργύρου τὴν κτῆσιν ἀπαγορεύοντα, ϗ νομοθετοῦντα μηδὲ μέχρι δευτέρου χιτῶνος αὐξῆν τὴν ὑπαρξιν. ὅσαπερ ἄλλα τις ἀκούσας, πρήτην ἂν τὸ βαρὺ τῦ προστάγματος. οἱ δὲ ϗ ἔργον πεποιηκότες ὃν λόγον ἀποδείκνυνται. αὐτήσαμεν γοῦν ποτε τοὺς ἀμφὶ τὸν πέδην χωλοδίνους· οὗτοι γὰρ τῶν δι' ἐλάττω ἀπορίαν τὰς ἔφασ' μεταβουλόντων· οὐκ ἔχων ὁ πέδης ὅ, τι δῷ, ὡμολόγει πάσης ὑπάρξεως χρυσίου ϗ ἀργυρίου καθαρεύειν, φήσας, ἀργύριον ϗ χρυσίον οὐκ ὑπάρχειν μοι. ὃ γ' ἔχω, τοῦτό σοι δίδωμι. σὺ γὰρ ὀνόματι ἐμοῦ χρυσοῦ ἔγραψ ϗ πρίπατει. σκυθρωπὰ δὲ αὐθις προσαγήγοντος τῦ διδασκάλου, προσέχοντες δι' ὧν πρὸς αὐθις ἔλεγεν, σὺ γὰρ κόσμῳ θλίψιν ἔχετε· ϗ πάλιν, κλαύσετε ϗ ὀλοφύρεσθε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, πῶς οὐκ αὐτοὶ μὲν δῆλοι ὄν ἔθον ὅτι δὴ τερπόμενοι ϗ βαθεῖς ὑπῆρχον, μὴ φθάνοντες τὰ τῆς ψυχῆς γυμνάσια, μηδὲ τὰ πρὸς ἡδονὴν μεταδιώκοντες; καὶ ὁ διδάσκαλος δὲ, ὅτι μὴ δι' ἀπάτης θέλων αὐθις ϗ τὰ οἰκεῖα προθιόμενος ἔξω κεῖσθαι, ἔνθερμος δὲ ϗ ἀληθεῖ λόγῳ τὰ συμβησόμενα θεατίζων, τὴν αἵρεσιν τ' κατ' αὐτὸ πολιτείας εἰς αὐθις ἀνελίττων; διαῦτα δεῖμ' ϗ τὰ πρὸς τῶν μαθόντων δι' ὃ ὄνομα αὐτὸ συμβήσεσθαι αὐθις, ἐν οἷς προλέγων ἐμαρτύρατο, ὅτι ϗ ὅπου ἡγεμονίας ἀρθήσονται, καὶ μέχρι βασιλέων φθάσουσιν, ϗ πρωτείας ἐπομόσουσι τιμωρίας, δι' οὐδὲν μὴν φαῦλον, οὐδὲ δι' ἕτερον ἄλλον αἰτίαν. αὐτὸ δὲ τοῦτο ὅλον δι' ὃ ὄνομα αὐτό. ὃ ϗ ἔστιν εἰς δύο τρωπὰς ἀναλυόμενον, καὶ πλαγήναι τὴν προφορὰν. ἡ γὰρ τ' ἐμοῦ ὀνόματος ὁμολογία τοῖς ϑυμοῖς εἴωθεν οὐκ ἀρέσκειν τῶν ἀρχόντων. καὶ μηδενὶ γὰρ φαῦλον ἢ πεπραγμένον τῷ ὃν χρισὸν ὁμολογοῦντι, κολάζουσιν ὁμοίως αἰκιζόμενοι δι' ὃ ὄνομα αὐτό, ὡς πρώτων δυσεργῶν χαλεπωτέρους. εἰ δ' ἐξομοσαμένους τὴν προσηγορίαν, ϗ ἀρνησάμενοι μὴ εἶ τῶν χρισοῦ μαθητῶν, ἀφέσται πρὸς αἰτίαν ἔθους, καὶ μυρίοις ἐνόχοις ὄντες πλημμελήμασιν. ϗ ὅμως χρὴ μυρία συναγαγεῖν τὰ τῶν ἀποστόλων τῦ Σωτῆρος λιμῶν διαγράφοντος πειρώμενον, ἀρκούντων ϗ τῶν εἰρημένων εἰς ἀπόδειξιν τῦ προκειμένου; οἷς ἐνὶ ταῦτα προσθεὶς, ὅπερ ὃ ἕτερον εἶδος τῶν συκοφαντῶν μεταβήσομαι. μαλθακὸς ἀπόστολος ὃν πρότερον βίον οὐκ ἀποσεμνῆς ἁμαρτεμβῆς ὡρμᾶτο, οὐκ δὲ τῶν ἀμφὶ τὰς τελωνίας ϗ πλεονεξίας φολαζόντων. τοῦτο οὐδεὶς τῶν ἀναγνωστῶν ἐδήλωσεν, ἀλλ' ὁ σωτὴρ ἀπόστολος αὐτὸ ἰωάννης, οὐδέ γε λουκᾶς, οὐδὲ μᾶρκος, οὐδὲ μαθθαῖος ὃν ἑαυτοῦ σπουδαίων βίον, ϗ κατήορος αὐ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὸς ἑαυτοῦ μιμητὰς μνημονεύειν χρεών ὅπως ἀμφιβόλως εἰπὼν ἐπ' ὀνόματος αὐτῶ μέ-
μνηται ἐν ᾧ πρὸς αὐτὸν γραφὴν διαλήψεως τῶν λεγόντων τὸ ἔθνος· καὶ πολλάκις
ἐκεῖθεν ὁ ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον ὅτι τελώνιον, ματθαῖον ὀνόματι, καὶ
εἶπεν αὐτῶ, ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῶ. καὶ ἐγένετο ἀνακειμένου αὐτοῦ
ἐν τῆ οἰκία, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῶ ἰησοῦ καὶ
τοῖς μαθηταῖς αὐτοῦ. καὶ πάλιν προϊὼν ἐξῆς, ὄντε καλέσαι τῶν μαθητῶν ἐξ-
αριθμούμενος, αὖθις ἑαυτῶ ὃ τὸ τελώνου ὄνομα προσλήψιν· λέγει δ' οὖν, τὸν δὲ
δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος σίμων ὁ λεγόμενος πέτρος, καὶ ἀν-
δρέας ὁ ἀδελφὸς αὐτοῦ, ἰάκωβος ὁ τοῦ ζεβεδαίου, καὶ ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, φίλιππος
καὶ βαρθολομαῖος, θωμᾶς καὶ ματθαῖος ὁ τελώνης. ὅτως μὲν ὁ ματθαῖος δι' ὑπερβο-
λὴν ἐπιθειάσας ὃ φιλάληθες ὑποφαίνων τὸ ἰδίον ἔθνος, καὶ τελώνιον ἑαυτὸν ἀπεκά-
λεσε, μὴ ἀποκρύπτων ὃν πρότερον ἑαυτοῦ βίον, καὶ τὸ συζύγου δεύτερον ἑαυτὸν
κατέλεγε. συνεζευγμένος γοῦν τῶ θωμᾶ, ὁ πέτρος ἀνδρέα, καὶ ἰάκωβος τῶ ἰω-
άννη, καὶ φίλιππος βαρθολομαίω, προσλαβὼν ἑαυτοῦ τὸν θωμᾶν, προσλαμὼν ὡς
κρεῖττονα τὸν σωματόσολον, τῶν λοιπῶν διαλήψεων τοὐναντίον πεποιηκότων. ἀ-
κουε γοῦν λουκᾶ, πῶς τὸ ματθαίου μνημονεύσας, τὸ τελώνιον ὀνομάζει, δηλονότι
τῶν θωμᾶ, κρεῖττονα δὲ αὐτὸν εἰδὼς, προτιμᾶν αὐτὸν κατέλεξεν, δεύτερον τὸν
θωμᾶν ἐπαγαγών· ὥσπερ καὶ ὁ μᾶρκος πεποίηκεν· ἔχουσι δὲ αἱ λέξεις ὅτως,
καὶ ὅτε διημέρευε ἐλύπει, ἐφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐξελεξάμενος ἐξ αὐτῶν δώ-
δεκα, οὓς καὶ ἀποστόλους ὠνόμασεν, σίμωνα, ὃν καὶ ἐκάλεσε πέτρον, καὶ ἀνδρέαν τὸν ἀ-
δελφὸν αὐτοῦ, ἰάκωβον καὶ ἰωάννην, καὶ φίλιππον καὶ βαρθολομαῖον, καὶ ματθαῖον καὶ
θωμᾶν. ὅτως μὲν τὸν ματθαῖον ὁ λουκᾶς ἐδήλωσεν, καθ' ἃ παρέδωκεν αὐτῶ οἱ
ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. ὁ δὲ ἰωάννου δὲ ὅμοιον ἀν-
θρώπου τῶ ματθαίω. ἐν μὲν γὰρ ταῖς ἐπιστολαῖς αὐτοῦ οὐδὲ μνήμην ἐποιήσατο τῆς οἰκείας
προσηγορίας, ἢ πρεσβύτερον ἑαυτὸν ὀνομάζει. ὕδατος δὲ ἀποστολὴν,
οὐδὲ διαλήψιν· ἐν δὲ τῶ διαλήψει ἐπισημαίνεται μόνον ὃν ἠγάπα ὁ ἰησοῦς,
οὐκ ἐδήλωσεν ὀνόματι ἑαυτόν. ὅτε μὲν πέτρος, οὐδὲ καθήκεν ὅτι τὴν διαλήψιν
γράφω, διὰ ὑλαβείας ὑποβολὴν. τούτου μᾶρκος γνώριμος καὶ φοιτητὴς γεγε-
νὼς ἀπομνημονεύσας λέγεται τὰς τοῦ πέτρου περὶ τῶν προάξεων τοῦ ἰησοῦ διεξ-
ελέξατο, ὃς ἤθων ἐπ' ὀκτὼ τῆς ἱστορίας, ἐν οἷς ὁ ἰησοῦς ἐρωτήσας εἴνα φασὶν αὐτὸν
οἱ ἄνθρωποι. καὶ αὐτοὶ δὲ οἱ αὐτοῦ μαθηταὶ τίνα δόξαν ἔχοιεν περὶ αὐτοῦ, ὑπακού-
σαντος τοῦ πέτρου ὡς περὶ χριστοῦ, οὐδὲν ἀποκρινάμενον τὸν ἰησοῦν οὐδὲ λέγοντα
αὐτῶ γράφει, ἀλλ' ὅτι ἐπεῖμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. ὁ γὰρ πρὸ-
τοῦ ὁ μᾶρκος τοῖς ἀπὸ τοῦ ἰησοῦ λεγθεῖσιν, ἀλλ' οὐδὲ πέτρος τὰ πρὸς αὐτὸν καὶ περὶ
αὐτοῦ λεγθέντα τῶ ἰησοῦ ἐδικαίου δι' οἰκείας προφέρει μαρτυρίας. τίνα δὲ ἰοῦ
τὰ πρὸς αὐτὸν λεγθέντα, ματθαῖος δηλοῖ σαφὲ τούτων, ὑμεῖς δὲ τίνα με λέγετε
εἶναι; ἀποκριθεὶς δὲ σίμων πέτρος εἶπεν, σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀπο-
κριθεὶς δὲ ἰησοῦς εἶπεν αὐτῶ, μακάριος εἶ σίμων βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ
ἐπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρμου ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἐγώ σοι λέγω, σὺ εἶ πέτρος, καὶ
ἐπὶ ταύτῃ τῆ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατι-
σχύσουσιν αὐτῆς, καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς

ἐπὶ

„ ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυ-
„ μένα ἐν τοῖς οὐρανοῖς. τοιούτων εἰρημένων τῷ πέτρῳ ὑπὸ τοῦ ἰησοῦ, ὁ μάρκος
μηδὲν τούτων μνημονεύσας, ὅτι μηδ' ὁ πέτρος ταῦτ', ὡς εἰκὸς, ἐν ταῖς αὐτοῦ δι-
„ δασκαλίαις ἐξηγόρευσεν, ὅρα τί φησιν, ἐρωτήσαντος τοῦ ἰησοῦ, ἀποκριθεὶς ὁ πέ-
„ τρος λέγει, σὺ εἶ ὁ χριστός. καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. ταῦ-
τα μὲν οὖν ὁ πέτρος εἰκότως παρασιωπᾶσθαι ἠξίου. διὸ καὶ μάρκος αὐτὰ παρέλιπεν,
τὰ δὲ κατὰ τὴν ἄρνησιν αὐτοῦ εἰς πάντας ἐκήρυξεν ἀνθρώπους. ἐπεὶ καὶ ἔκλαυσεν
„ ἐπ' αὐτῇ πικρῶς. εὕροις δ' οὖν τὸν μάρκον ἱστοροῦντα περὶ αὐτοῦ τάδε, καὶ ὄντος
„ τοῦ πέτρου ἐν τῇ αὐλῇ, ἔρχεται πρὸς αὐτὸν μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, καὶ
„ ἰδοῦσα αὐτὸν θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, καὶ σὺ μετὰ ἰησοῦ τοῦ ναζωραίου
„ ἦς. ὁ δὲ ἠρνήσατο λέγων, οὔτε ἐπίσταμαι τί σὺ λέγεις. καὶ ἐξῆλθεν εἰς τὸ ἔξω προαύ-
„ λιον, καὶ ἀλέκτωρ ἐφώνησεν. πάλιν δὲ ἰδοῦσα αὐτὸν ἡ παιδίσκη, ἤρξατο λέγειν τοῖς
„ παρεστῶσιν, ὅτι ἐξ αὐτῶν ἐστιν. ὁ δὲ πάλιν ἠρνήσατο. καὶ μετὰ μικρὸν πάλιν παρεστῶ-
„ τες ἔλεγον τῷ πέτρῳ, ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ γαλιλαῖος εἶ. ὁ δὲ ἤρξατο ἀναθε-
„ ματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. καὶ εὐθέως ἐκ δευ-
„ τέρου ἀλέκτωρ ἐφώνησεν. μάρκος μὲν ταῦτα γράφει. πέτρος δὲ ταῦτα περὶ ἑαυ-
τοῦ μαρτυρεῖ. πάντα γὰρ τὰ παρὰ μάρκῳ τῶν πέτρου διαλέξεων εἶναι λέγεται
ἀπομνημονεύματα. οἱ δὴ οὖν τὰ μὲν δόξαντα αὐτοῖς ἀγαθὴν φέρειν φήμην
παραιτούμενοι, τὰς δὲ καθ' ἑαυτῶν διαβολὰς εἰς ἄλλησον αἰῶνα καταγράφοντες,
καὶ τῶν πλημμεληθέντων αὐτοῖς τὰς κατηγορίας, ἃς οὐκ ἄντις ἔγνω τῶν μετὰ ταῦτα,
εἰ μὴ διὰ τῆς αὐτῶν ἔμαθεν φωνῆς καθ' ἑαυτῶν στηλιτεύοντες, πῶς οὐ φιλαυτίας
μὲν ἁπάσης καὶ ψευδολογίας ἐκτὸς γεγονέναι ἐνδίκως ἂν ὁμολογοῖντο, φιλαλή-
θους δὲ διαθέσεως σαφῆ καὶ ἐναργῆ τεκμήρια παρεσχηκέναι; οἱ δέ γε τοὺς τοιούς δε
πεπλᾶσθαι καὶ καταψεύσασθαι νομίζοντες, καὶ οἷα πλάνοις βλασφημεῖν πει-
ρώμενοι, πῶς οὐκ ἂν γένοιντο καταγέλαστοι; φίλοι μὲν φθόνου καὶ βασκανίας, ἐχθροὶ
δὲ αὐτῆς ἀληθείας ἀλισκόμενοι, οἵγε τοὺς οὕτως ἀπανούργους καὶ ἄπλαστον ὡς ἀληθῶς καὶ
ἀκέραιον ἦθος διὰ τῶν οἰκείων λόγων ἐπιδεδειγμένους, πανούργους τινὰς καὶ δεινοὺς
ὑποτίθενται σοφιστὰς, ὡς τὰ μὴ ὄντα πλασαμένους, καὶ τῷ οἰκείῳ διδασκάλῳ
τὰ μὴ πρὸς αὐτοῦ πραχθέντα κεχαρισμένως ἀναθέντας. ὡς εὖ μοι δοκεῖ, εἰρῆσθαι,
πάντα χρὴ πιστεύειν τοῖς τοῦ ἰησοῦ μαθηταῖς, ἢ μή· καὶ εἰ μόνοις τούτοις τοῖς ἀνδράσιν
ἀπιστητέον, καὶ τοῖς πᾶσιν, οἵτινες ποτ' ἄρα παρ' ἕλλησιν ἢ παρὰ βαρβάροις βίους
καὶ λόγους καὶ ἀπομνημονεύματα τῶν κατὰ χρόνους ἐπί τισιν ἀγαθοῖς κατορθώμασι
βοηθέντων συνεγράψαντο. ἢ τοῖς μὲν ἄλλοις πιστεύειν εὔλογον, μόνοις δὲ τούτοις
ἀπιστεῖν. καὶ πῶς οὐκ ἐμφανὴς ὁ φθόνος; τί δὲ οἱ καταψευδόμενοι τοῦ διδασκάλου,
καὶ τὰ μὴ γεγονότα τῇ αὐτῶν παραδιδόντες γραφῇ; ἄρα καὶ τὰ πάθη κατεψεύ-
σαντο αὐτοῦ; τὴν ἑνὸς λέγω μαθητῶν προδοσίαν, καὶ τὴν τῶν συκοφαντῶν κατηγο-
ρίαν, χλεύας τε καὶ διασυρμοὺς δικαστῶν, τάς τε ὕβρεις καὶ τὰς πληγὰς τὰς κατὰ προσ-
ώπου, μάστιγάς τε κατὰ νώτου, καὶ τὸν ἐξ ἀκανθῶν στέφανον ἐπ' ἀτιμίᾳ περιτιθέμε-
νον αὐτῷ, φοινικοῦν τε χιτῶνα ἐν χλαμύδος σχήματι περιβληθέντα, καὶ τέλος αὐ-
τὸν αὐτὸ τὸ τοῦ σταυροῦ τρόπαιον ἐπικομίζοντα· ἐν τούτῳ τε πηγνυμένον, καὶ χεῖ-
ρας καὶ πόδας καταπειρόμενον, ὄξει τε ποτιζόμενον, καὶ παιόμενον κατὰ κόρρης κα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

λάμω, καὶ πρὸς τὸ ὁρώντων ἀνθιζόμενον; ἀμφὶ γὰρ καὶ τῶν τὰ ὅμοια τούτοις συμφέροντα, ὁμοίως πεπλάσθαι χρὴ πρὸς τὸ αὐτὸ μαθητῶν. ἢ ἐν τούτοις μὲν χρὴ πιστεύειν αὐτοῖς ὡς ἀληθεσάτοις, ἐν δὲ τοῖς ὑπὲρ δόξοις καὶ σεμνοτέροις ἀπιστεῖν. καὶ πόθεν ὁ πρὸς αὐτοὺς ἐναντίον δόγμα συστήσεται; ὁ γὰρ ἀληθεύειν τοὺς αὐτοὺς φάναι, καὶ ἐν τῷ αὐτῷ ψεύδεσθαι, οὐδέν ἐστιν ἢ παραπλήσια καὶ ὁ αὐτὸς πρὸς τὸν αὐλὸν λέγειν. Οἷς οὖν ὁ τούτων ἔλεγχος; εἰ γὰρ δὴ πλάττεσθαι αὐτοῖς σκοπὸς ἦν, καὶ λόγοις ψευδέσι τὸν διδάσκαλον κοσμεῖν, οὐκ ἂν ποτε αὐτοῖς τὰ πρόσφορα κατέγραφον, ἀλλ' ἂν ἐδήλωσε τοῖς μὴ τὰ τοιαῦτα ἀνθεκτοῖς, ὅτι δὴ ὑπεῖτο καὶ ἡδονῆς καὶ τέρψεως τὸν ψυχὴν, ὅτι αὐτοὶ αὐτὸν ἀπολιπόντες ᾠχοντο· ἢ ὅτι ὁ πάντων αὐλὸν πρόσχρημος ἀπόστολός τε καὶ μαθητὴς αὐτοῦ πέλοις, βαθέων ἐκτὸς ἐξορκιστῆς ἀπειλῆς, πείθον αὐτὸν ἐξωμόσασθαι. ταῦτα γὰρ καὶ ἄλλων λεγόντων, χρεὼν ἦν πόθεν ἔχειν ἅπαντας τοὺς αὐτὸν μὴ ἢ χρείζεσθαι τὰ σεμνότερα τῶν διδασκάλων πρόσχημα. εἰ δ' ἦν φιλαλήθης ἐν τοῖς αὐτοῦ σκυθρωποῖς διηγήμασι φαίνου πολὺ μᾶλλον ἐν τοῖς ἐνδοξοτέροις, εἶεν δ' ἂν τοιοῦτοι. Τοὺς γὰρ ἅπαξ ψεύδεσθαι πρόσχημένους, ἀλυπητὶ χρεὼν μᾶλλον ἐκφυγεῖν ἢ τοὺς ἀφ' ἑσπέρης, ἢ ἀφ' ἡλίου ἀνατολῆς, μὴ δῆλος τῶν ὑπερόπτων ἐγένεσθαι δυναμένων τὰ σεσημασμένα. ἀφ' ἑτέρου γὰρ μὴ ἐψεύσατο, καὶ ἔφησεν ὅτι ἴσθας μὲν ὁ πρόδρομος αὐτὸν φιλήματι, ἐλυμήνατο δὲ σύμβολον ἐνδείξασθαι τὸ πρόδρομος, ἀπολιθωθεὶς αὐτίκα· ὁ δὲ ῥαπίσας αὐτὸν ἐλυμήνατο, ξηρὸς πρὸς χεῖρα μαραθεὶς τὴν δεξιάν· ὁ δ' ἀρχιερεὺς καϊάφας, ὡς δὴ σεμνὸν πρέσχων τοῖς κατ' αὐτὸν συκοφάνταις, πυρωθεὶς τοὺς ὄψεις. ἀφ' ἑτέρου δὲ μὴ ἐψεύσατο πάντες, ὅτι μηδὲν σκυθρωπὸν ἀληθῶς πρὸς αὐτὸν γέγονεν; ἀλλ' ὁ μὲν ἀφανὴς ἦν καταγελάσας αὐλοῦ τὴν δικαιοσύνην· οἱ δ' ὑπεσκελίοντες, ὑπὸ φαντασίας ἡπιόθου πλανώμενοι, ἐνεργεῖν κατ' αὐτὸν μὴ πρόνοιαν ἐδόκουν; ἢ δ' ἄρα; οὐκ ἦν σεμνότερον τὸ πλάττεσθαι ὅτι τῶν τοιαύτην ποιητὴς ἔργων πρόδηλον γέγονεν, ὃ γράφειν ὅτι μηδὲν μὴ ἀνθρώπινον μηδὲ ἀνήκεστον πρὸς αὐτὸν σπουδὴν, ἀνθρώπου δὲ δυνάμει τὰ πάντα καταδηλοῦσθαι, τὸν εἰς θεοὺς ἐπανόδου μετ' ἠθοποιΐας δόξης ἐποιήσατο; ὃ γὰρ δὴ τούτοις ἀπιστεῖν ἔμελλον, οἱ ταῖς ἡμέραις αὐλοῦ διηγήσεσι πεπιστευκότες. οἱ δ' οὖν μηδὲν τῆς ἀληθείας ἐν ταῖς ἀπεμφάνσεσι καὶ σκυθρωποῖς πρόδηλα χράξαντες, πῶς οὐκ ἂν εἶεν ἄξιοι καὶ ἐν τοῖς λοιποῖς, οἷς ἐμαρτύρησε αὐτὸν τὰ πρόδοξα, φάσκοντες ἐκτὸς ἐπινοίας καθεστάναι; αὐτάρκης μὲν οὖν καὶ ἡ τῶνδε τοσοῦτος πρὸς τὸν σωτῆρος κύριον μαρτυρία. τοῦδεν δὲ οἷς ἐν πρεσβείαις καὶ τῶν ὧδε ἑβραίων ἰωσήπῳ μαρτυρεῖ χρήσασθαι, ὃς ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς ἰουδαϊκῆς ἀρχαιολογίας, τὰ κατ' αὐτὸν παλαιῶν, μέμνηται τοῦ σωτῆρος ἡμῶν ἐν τούτοις

Ἰωσήπου περὶ τοῦ χριστοῦ.

Γίνεται δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἰησοῦς σοφὸς ἀνὴρ, εἴγε ἀνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων ποιητὴς, διδάσκαλος ἀνθρώπων τὰληθῆ σεβομένων. καὶ πολλοὺς μὲν τοῦ ἰουδαϊκοῦ, πολλοὺς δὲ καὶ ἑλληνικοῦ ἐπηγάγετο. ὁ χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν ἀρχόντων σταυρῷ ὑπιτελευτήσαντος πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἡμέραν πάλιν

ραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ εἰρηκότων. ὅθεν εἰς ἔτι νῦν ἀπὸ τοῦδε τῶν χριστιανῶν οὐκ ἐπέλιπε τὸ φύλον. εἰ τοίνυν καὶ κατὰ τὴν ἱστορικὸν μαρτυρεῖται, οὐ μόνον τοὺς δώδεκα ἀποστόλους, οὐδὲ τοὺς ἑβδομήκοντα μαθητὰς ἐξῳκειωμένος, ἀλλὰ πολλοὺς μὲν τοῦ ἰουδαϊκοῦ, πολλοὺς δὲ τοῦ ἑλληνικοῦ προσαγόμενος, δῆλος ἂν εἴη περιττόν τι κεκτημένος παρὰ τοὺς λοιποὺς ἀνθρώπους. πῶς γὰρ ἂν ἀλλῶς προσήγετο τοῦ ἰουδαϊκοῦ καὶ τοῦ ἑλληνικοῦ πλείους, εἰ μή τισι θαυμαστοῖς καὶ παραδόξοις ἔργοις καὶ ξενιζούσῃ κέχρητο διδασκαλίᾳ; μαρτυρεῖ δὲ καὶ ἡ τῶν πράξεων ὧν ἀποστόλων γραφὴ, ὅτι πολλαὶ μυριάδες ἦσαν ἰουδαίων ἀνδρῶν πεπεισμένων αὐτὸν εἶναι τὸν χριστὸν τοῦ θεοῦ, τὸν ὑπὸ τῶν προφητῶν κατηγγελμένον. καὶ ἡ ἱστορία δὲ κατέχει, ὡς καὶ μεγίστη τις ἦν ἐκκλησία χριστοῦ ἐν τοῖς ἱεροσολύμοις ἀπὸ ἰουδαίων συγκροτουμένη, μέχρι τῶν χρόνων τῆς κατ' ἀδριανὸν πολιορκίας. λέγονται γοῦν οἱ πρῶτοι κατὰ διαδοχὴν προστάντες αὐτόθι ἐπίσκοποι, ἰουδαῖοι γεγονέναι. ὧν καὶ ὀνόματα εἰς ἔτι νῦν παρὰ τοῖς ἐγχωρίοις μνημονεύεται. ὡς καὶ ἐκ τούτων λελῦσθαι πᾶσαν τὴν κατὰ τῶν μαθητῶν αὐτοῦ διαβολὴν, ὅτε καὶ πρὸς αὐτῶν, καὶ δίχα τῆς αὐτῶν μαρτυρίας, μυρία ὁμολογεῖται πλήθη ἰουδαίων τε καὶ ἑλλήνων αὐτὸς ἰησοῦς ὁ χριστὸς τοῦ θεοῦ, δι' ὧν ἐπετέλει παραδόξων ἔργων ὑφ' ἑαυτὸν πεποιημένος. ἀλλὰ τούτων ἡμῖν ἐπὶ τοσοῦτον εἰρημένων, πρὸς τὸ πρῶτον τῶν ἀπίστων τάγμα, φέρε καὶ πρὸς τὸ δεύτερον στῖφος ἐνστῶμεν. τοῦτο δὲ ἦν τὸ τῶν συνομολογούντων μὲν τὴν ἰησοῦν τὰ παράδοξα πεποιηκέναι, γοητείᾳ δὲ ἄλλως ἐπὶ πλάνῃ τῶν ὁρώντων, οἷα θαυματουργὸν ἢ φαρμακέα τινὰ, θαυμαστῶσαι τοὺς παρόντας.

Πρὸς τοὺς οἰομένους γόητα γεγονέναι τὸν χριστὸν τοῦ θεοῦ.

ϛ̅ Καὶ δὴ τούσδε πρῶτον ἁπάντων ἐρωτητέον, τίνα φαῖεν πρὸς τὰ προωδευμένα. ἆρα γὰρ ἐπινοῆσαι δυνατὸν, ἄνδρα διδάσκαλον σεμνῆς καὶ παναρέτου πολιτείας, ἁγίων τε καὶ ἀληθῶν δογμάτων, οἵων προδιήλθομεν, γόητα τὸν τρόπον γεγονέναι; εἰ δὲ δὴ μαγγανευτής τις ἦν καὶ φαρμακεὺς, ἀπατεών τε καὶ γόης, πῶς ἂν τοιαύτης διδασκαλίας πᾶσι τοῖς ἔθνεσι κατέστη αἴτιος, οἵας αὐτοὶ ὁρῶμεν ὀφθαλμοῖς, καὶ ἀκοαῖς εἰς δεῦρο παραλαμβάνομεν; ποῖος δὲ καὶ αἱρήσεται τὰ ἀσύνακτα συνάγειν; γόης μὲν γάρ τις ὡς ἀληθῶς ἀνόσιος καὶ μιαρὸς τὸν τρόπον, ἀπειρημένοις καὶ ἀνοσίοις ἐγχειρῶν, πάντα πράττει αἰσχροῦ καὶ ῥυπαροῦ κέρδους χάριν. μή τι οὖν καὶ ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἰησοῦς ὁ χριστὸς τοῦ θεοῦ, τοιοῖς δέ τισιν ἔνοχος ἦν;
» πόθεν, ἢ πῶς, ὁ τοῖς ἑαυτοῦ μαθηταῖς, ὡς πρὸς αὐτῶν μεμαρτύρηται, εἰρηκὼς, μὴ
» κτήσησθε χρυσὸν μηδ' ἄργυρον εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδὸν, μη-
» δ' ὑποδήματα. πῶς δ' ἂν ἐπείθοντο λέγοντι, καὶ ἐν ἀπομνημονεύμασιν ἐγγράφοις ταῦτα παραδιδόναι ἠξίουν, εἰ χρηματιζόμενον τὸν διδασκάλον ἑώρων καὶ κατεναντία οἷς ἑτέροις ἐδίδασκε μετιόντα; πάλαι δ' ἂν καταγελάσαντες αὐτοῦ καὶ τῶν λόγων καταπτύσαντες, ἀνεχώρησαν τῆς μαθητείας εἰκότως, εἰ αὐτοῖς μὲν τοιαῦτα σεμνῶς νομοθετοῦντα ἑώρων, αὐτὸν δὲ τὸν νομοθέτην κατ' οὐδένα τρόπον ἑπόμενον τοῖς οἰκείοις λόγοις. πάλιν, ὁ μὲν γόης καὶ ὡς ἀληθῶς πλάνος, τοῖς ἀπειρημένοις καὶ τοῖς ἀνοσίοις ἑαυτὸν ἐπιδίδωσιν, ἀνοσίων καὶ ἀθεμίτων ἡδονῶν ἕνεκεν θήρας, ὥστε ἤδη διὰ τὰς μαγγανείας γυναῖκά τινα καταβαλλεῖν καὶ ὑποσύρειν

τῇ αὐτοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τῇ αὐτῆ κακίᾳ. ὁ δὲ Σωτὴρ ἡμῶν κύριος λέγων, οὐδ' ἔστιν εἰπεῖν ὅπως διέσταλται περὶ σωφροσύνης, ὁπότε πάλιν οἱ μαθηταὶ μὴ τυχόν τι παρὰ μικρὸν μηδ' ἐμβλέπειν
» γυναικὶ μετ' ἐπιθυμίας ἀκολάστου, φησὶν ὁ λόγος· ἐρρέθη τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις.
» ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς,
» ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ποτε ἀναγκαίως ὅτι ὠφέλεια καὶ σωτηρία πολλῶν ἁμαρτίαν γυναικὶ διαλεγόμενον αὐτὸν τεθαυμάκοι ἐθαύμαζον, ὅτι μὴ γυναικὸς ἐλάλει, τοῦ δόξαν τι τοῦτο δόξαντες ὁρᾶν, ὡς ἄρ' οὔπω καὶ μόνοτε πρότερον. σωφρονεῖν δὲ ἄρα ὁ λόγος τὸ σωτήριος κελεύει καὶ αὐχεῖν τὸ ἔθος· σωφροσύνης δ' αὖ μέγα δεῖγμα καὶ ὧδε κἀκεῖνο ἡ διδασκαλία, δι' ἧς ἀγνοίαν ὀξ αὖ τὸ τῆς ἀμαθίας βάθος ἁμπαθεῖς ὀρέξεις ἀποτέμνουσα ἐδί-
» δασκε λέγων· εἰσὶν εὐνοῦχοι οἵτινες ἐγεννήθησαν οὕτως, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες
» εὐνουχίσθησαν ὑπὸ ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς
» διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. πάλιν ὁ μὲν λόγος καὶ ἁπλῶς λαοπλάνος, πόντας ἐξαίρει καὶ πρὸς δοξοκοπῶν καὶ πολλὰ φαντασιοκοπῶν, καὶ πλεόν τι πρὸς τοὺς πολλοὺς εἰδέναι καὶ ἔχειν μεγαλαυχούμενος· ὁ δὲ Σωτὴρ καὶ κύριος λέγων, ὅτι μὴ δοξομανὴς καὶ φιλοδοξῶν καὶ φαντασιοκοπῶν ἐστί, ἀφ' ὧν ἰούδαιος πρὸς οὐδενὶ μηδενὶ φέρεσθαι μηδὲ εἰς πολλοὺς αὐτὸν ἐκφαίνειν, φύσει δ' ἔκδηλος, ἀπό τε τῶν κατὰ τὰς ἐν ὄρεσι διατριβὰς καὶ κατὰ μοναχοῦ ἀναχωρήσεις διώκειν, καὶ φεύγειν κατὰ πόλεις τὸ πολλῶν ἐμπλεκεσθαι ὁμιλίας· εἰ μήτε διηγεῖσθαι δόξης, μήτε χρημάτων, μήτε ἡδονῆς ἕνεκεν ὑπὲρ βέβαιον τὴν διδασκαλίαν, ἧς ἔτι χάριν παρεῖται ἐπαινοῦσι, τὸ πλοῦτον αὐτὸν καὶ πόντα νομίζειν. σκέψαι δὲ καὶ ταῦτα πάλιν. πόντος, ὅταν ἑτέρωσε τῆς κακίας μεταδιδῶ, ὁποίους ἀνδρας καταστήσῃ; ἆρ' οὐχὶ πόντους καὶ πλουσίους καὶ φαρμακοὺς αὖ καὶ πάντα πάντας πλησίους; ἧς οὖν ἤδη πώποτε ὁ πᾶν χρῆσιμον γένος ἐκ τοῦ ἐκείνου διδασκαλίας ὠφεληθὲν ἢ φαρμακεῦον κατεῖληφεν; ἀλλ' οὐκ ἔστιν εἰπεῖν. ἔμπαλιν δὲ λόγους φιλοσόφους μετιὼν, ὡς ἀποδέδεκται. ὁ δὴ οὖν ἑτέρωσε σεμνοῦ καὶ σοφροσύνης βίου ἀσεβείας τε τῆς ἀνοσιωτάτης πρᾶγμα γεγυμνασμένος, τίς ἂν εἰκότως νομισθείη, ἢ φιλόσοφον ὁ πρόσχημα, καὶ ἀσεβῶν ἀνδρῶν διδάσκαλος; καὶ γὰρ ἂν εἴη ἐγγὺς οὐδὲν ὅπου πᾶς ὁ διδάσκων τῶν μαθητευομένων. φιλόσοφος ἄρα, καὶ ἀληθῶς ἀσεβὴς, πολλοῦ δεῖ πλοῦτος καὶ πόντος, ὁμολογοῖτ' ἂν ὁ Σωτὴρ καὶ κύριος ἡμῶν. εἰδὴ οὖν τοιόσδε τις ἐστὶν, πῶς ἂν ἀνοσίως ἐπιχειρῇ τὰ θαυμαστουργίας, ἢ θεία καὶ ἀπορρήτῳ δυνάμει καὶ τῇ ἀνωτάτω περὶ τὸν τῶν ὅλων θεοῦ ἀσεβείας; ὧν οἷα πατέρα ἡμῶν καὶ σέβων τὰ μάλιστα ἀποδείκνυται ἐκ τῶν περὶ αὐτοῦ λόγων.
ὅτι τοῦτον δὲ ἄρα οἵτε ἀρχῆθεν αὐτῷ προσεσχηκότες μαθηταὶ αὐτοῦ, καὶ οἱ μετ' ἐκείνους τῆς ἐκείνων διατριβῆς διάδοχοι, ποιμένωσαν καθεστήκεσαν φαῦλοι καὶ πονηροὶ κόντοι, ὡς μηδὲ τοῖς νοσηλευομένοις ἐπιτρέπειν οἷα πολλοὶ πολλὰ δρῶν ἐπιχειροῦσιν, ἢ πεφόλων ἐπιγραφαῖς, καὶ περιάμμασι χρῆσθαι, ἢ τοῖς κατεπάδειν ἐπαγγελλομένοις προσέχειν τὸν νοῦν, ἢ ῥιζῶν καὶ βοτανῶν θαύμασι καὶ τισιν ἄλλοις τισὶν ἐξόποις ἀκέσεις τῶν παθῶν ἑαυτοῖς ποιεῖσθαι. ταῦτα μὲν πάντα τῆς χρείσσονος διδασκαλίας ἐξελήλαται, οὐδὲ ἔστιν πώποτε χρεισσόν περιάμματι χρώμενον θεάσασθαι, οὐδ' ἐπαλαλιαῖς, ἢ πεφόλων ἰυγῶν περιέργων ἐπιγραφαῖς, οὐδ' ἄλλοις, ὧν τὴν χρῆσιν ἀδιάφορον οἱ πολλοὶ νενομίκασι. Τίς οὖν αἱρεῖ λόγος

τοὺς

τοὺς τοιοῦδε διδασκάλου γόητος καὶ πλάνου μαθητὰς γεγονέναι νομίζειν; καὶ μὴν πάντος ἐπαγγελλομένου τι, μέγας ἔλεγχος ἡ τῶν φοιτητῶν συνουσία. ἄνδρες γοῦν ἐντεχνοι καὶ ἐπιστήμονες, πάντως που τὸν αἴτιον αὐτοῖς τῆς ἐπιστήμης, πολὺ κρείττονα σφῶν αὐτῶν ἐμφαίνουσιν, ὡς προῦν ἰατρικοὶ μὲν, τῆς τοῦ διδασκάλου περὶ τὸ μάθημα κατορθώσεως εἶεν ἂν μάρτυρες. γεωμετρικοὶ δὲ τὸν ἄρχοντα τίνα ἄλλον, ἢ γεωμετρὴν ἐπιγράψονται; καὶ ἀριθμητικοὶ, τὸν ἀριθμητικόν; κατὰ αὐτὰ δὲ καὶ γόητος ἀνδρὸς μέγιστοι ἂν εἶεν μάρτυρες οἱ φοιτηταὶ, τὰ ὅμοιά που τῷ διδασκάλῳ καὶ αὐτοὶ μετιόντες. ἀλλὰ οὐδεὶς πω τοιούτων ἐτῶν γόης πέφανται τοῦ ἰησοῦ μαθητής, καίτοι διὰ βασάνων πείρας, τῶν κατὰ χρόνους ἡγεμόνων τε καὶ βασιλέων ἀκριβῆ τῶν καθ' ἡμᾶς πραγμάτων τὴν ἐξέτασιν πεποιημένων. οὕτως δὲ ἄρα οὐδεὶς ἦν γόης, ὡς ἐλεύθερον ἀφεῖσθαι καὶ πάντος ἐκτὸς κινδύνου τὸν αὐτὸ μόνον τὸ θῦσαι πρὸς αὐτῶν βεβιασμένον. εἰ δὲ οὐδεὶς πώποτε τῶν καθ' ἡμᾶς οὔτε τῶν παλαιῶν ἐκείνων τοῦ ἰησοῦ μαθητῶν γοητείας ἥλω, οὐδὲ ὁ διδάσκαλος ἦν ἄρα τοιοῦτος. ἵνα δὲ μὴ ἐξ ἀγράφων ὁ λόγος ἡμῖν ὁδεύοι, δέχου τὰς ἀποδείξεις καὶ ἀπὸ ἱστορίας ἐγγράφου. οἱ δὴ πρῶτοι τοῦ ἰησοῦ μαθηταὶ ἐν τῇ βίβλῳ τῶν ἰδίων πράξεων ἱστοροῦνται τοὺς ἐξ ἐθνῶν τῇ διδασκαλίᾳ αὐτῶν προσιόντας, ὥστε πολλοὺς τῶν πρότερον περὶ γοητείαν διαβεβλημένων, εἰς τοιοῦτον μεταβαλεῖν τὸν ἑαυτῶν τρόπον, ὡς εἰς μέσον ἀγαγεῖν τολμῆσαι τὰς ἀπηγορευμένας βίβλους, καὶ ταύτας ἐνώπιον πάντων πυρὶ παραδοῦναι. ἐπάκουσον δὲ ὅπως ἡ γραφὴ περιέχει· ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνεισενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. τοιοῦτοι δή τινες οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταὶ τοσαύτην δύναμιν προφέροντες λόγων ἐν ταῖς πρὸς τοὺς ἀκροωμένους ὁμιλίαις, ὡς καθικνεῖσθαι τοῦ βάθους τῆς ψυχῆς αὐτῶν, καθάπτεσθαί τε καὶ τιτρώσκειν τὸ ἑκάστου συνειδὸς, ὡς μηκέτι στέγειν ἀποκρύπτοντες, εἰς φανερὸν δὲ ἄγειν τὰ ἀπόρρητα, ἐλέγχους τε αὐτοὺς ἑαυτῶν καὶ τῆς προτέρας αὐτῶν μοχθηρίας ἀπεργάζεσθαι. τοιοῦτοι δὲ καὶ οἱ πρὸς αὐτῶν μαθητευόμενοι, καθαροὶ καὶ γνήσιοι τὰς διαθέσεις, ὡς μηδὲν ὕπουλον ἐν αὐτοῖς λανθάνειν, ἐνσεμνύνεσθαι δὲ καὶ παρρησιάζεσθαι ἐπὶ τῇ τῶν κρειττόνων ἀπὸ τῶν χειρόνων μεταβολῇ. οἱ δὴ οὖν πυρὶ παραδόντες τὰς μαγικὰς βίβλους, καὶ πάντελῆ φθορὰν αὐτῶν ψηφιζάμενοι, πῶς οὐκ ἂν εἶεν πρόδηλοι τοῖς πᾶσιν, ὅτι μηδεμίαν ἔχοιεν τοῦ λοιποῦ περὶ γοητείαν σπουδήν, καθαροὶ δὲ ἐξ ἐκείνου πάσης τῆς περὶ τούτου ὑπονοίας ἐτύγχανον; ὅτε τοίνυν οἱ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν πεφήνασι γεγονότες τοιούτου, πῶς οὐ πολὺ πρότερον ὁ διδάσκαλος; εἰ δὲ ὅλως ἀπὸ τῶν γνωρίμων τῶν προστάτην ὁποῖός τις ἦν βούλει διαγινώσκειν, ἔχεις τοῦ ἰησοῦ τῶν λόγων μαθητὰς εἰς ἔτι νῦν μυρίους, ὧν πλεῖστα μὲν ἀνδρῶν τυγχάνει πλήθη παραταξαμένων μὲν πρὸς τὰς φυσικὰς τοῦ σώματος ἡδονὰς, ἄτρωτον δὲ καὶ τὴν διάνοιαν πάντος αἰσχροῦ πάθους φυλαξάντων, οἳ καὶ τὸν πάντα βίον ἐν ἐγκρατείᾳ καταγηράσαντες, τῆς ἐκ τῶν λόγων αὐτοῦ τροφῆς λαμπρὰ τεκμήρια παρεστήσαντο. οὐ μόνον δὲ ἄνδρες παρὰ αὐτῷ τοῦτον φιλοσοφοῦσι τὸν τρόπον, ἀλλὰ καὶ γυναικῶν οὐδ' ἔστιν εἰπεῖν ὅσαι μυριάδες καθ' ὅλης τῆς οἰκουμένης, οἷά τινες ἱέρειαι τοῦ τῶν ὅλων θεοῦ, τὴν ἀνωτάτω σοφίαν ἀσπασάμεναι, οὐρανίου τε

© Centre d'Études Supérieures de la Renaissance - Tours

σοφίας ἔρωτι ληφθεῖσαι, τῶν μὲν σαρκὸς ἐγγόνων ἠλόγησαν, ψυχῆς δὲ πᾶσαν ἐπιμέλειαν πεποιηκυῖαι, ὅλας αὑτὰς αὐτῷ σώματι καὶ ψυχῇ τῷ παμβασιλεῖ καὶ θεῷ τῶν ὅλων ἀνατεθείκασιν, ἁγνείαν παντελῆ καὶ παρθενίαν ἀσκήσασθαι. ἕνα μὲν οὖν μηλόβοτον καταλιπόντα τὴν ἑαυτοῦ χώραν προφάσει φιλοσοφίας, ἄγουσιν ὧδε κἀκεῖσε περιφέροντες ἡλίων παῖδες· δημόκριτος αὐτοῖς ἐστὶ τοῦ. καὶ κράτης εἷς παρ' αὐτοῖς θαυμάζεται, ὅτι δὴ τὴν οὐσίαν καταλιπὼν τοῖς πολίταις, αὐτὸς ἑαυτὸν κράτης κράτητα ἠλευθέρου κομπάζων. οἱ δὲ τῶν ἰησοῦ λόγων ζηλωταὶ μυρίοι τὸν ἀριθμὸν, ἀλλ' οὐχ εἷς οὐδὲ δύο, τὰς κτήσεις ἀποπωλήσαντες, πένησι καὶ ἐνδέεσι μεταδεδώκασιν, ὧν καὶ αὐτοὶ τυγχάνομεν μάρτυρες, συγγενόμενοι τοιούτοις, καὶ αὐτοῖς ἔργοις, ἀλλ' οὐ λόγοις μόνοις τῆς τοῦ ἰησοῦ μαθητείας συνιδόντες τὰ κατορθώματα. τί χρὴ λέγειν ὁπόσαι μυριάδες καὶ αὐτῶν βαρβάρων, οὐχὶ δὲ μόνον ἡλίων, ἐκ τῶν ἰησοῦ λόγων, πᾶσαν μὲν ὑπερεκκύψαι πολύθεον πλάνην, τὸν δὲ σωτῆρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς, μόνον εἰδέναι θεὸν ἐμαρτύρησαν; ὃν πάλαι φιλοσόφων εἷς μόνος ὁ πλάτων εἰδὼς, εἰς πάντας ἐκφέρειν ὡμολόγει μὴ τολμᾷν,
» διαῤῥήδην φάσκων, τὸν μὲν οὖν πατέρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς, εὑρεῖν
» τε ἔργον, καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν. ἀλλὰ ἐκείνῳ μὲν καὶ ἔργον εὑρεῖν ἐδόκει τὸ πρᾶγμα, καὶ ἦν ὡς ἀληθῶς μέγιστον. ἀδύνατον δὲ ἦν αὐτῷ λέγειν εἰς πάντας, ὅτι μὴ παρῆν αὐτῷ τοσαύτη τὶς εὐσεβείας δύναμις, ὅση τοῖς ἰησοῦ μαθηταῖς, οἷς διὰ τῆς τοῦ διδασκάλου συνεργίας, τὸν πατέρα καὶ δημιουργὸν τῶν ὅλων εὑρεῖν τε καὶ γνῶναι ῥάδιον γέγονε, καὶ εὑροῦσιν εἰς πᾶν γένος ἀνθρώπων ἐξενεγκεῖν, ἀνακαλύψαι τε καὶ πληρῶσαι καὶ κηρύξαι τὴν γνῶσιν πᾶσιν, ὥστε ἐκ τῆς αὐτῶν ἐκείνων διδασκαλίας, εἰς ἔτι νῦν κατὰ τὸν παρόντα καιρὸν, ἐν ὅλοις τοῖς ἐπὶ γῆς ἔθνεσι μυρία πλήθη οὐ μόνον ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν καὶ παίδων, οἰκετῶν τε καὶ ἀγροίκων, τοσοῦτον ᾧ τοῦ πλάτωνος μὴ πείθεσθαι, ὡς τὸν ποιητὴν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς μόνον θεὸν γνωρίζειν, καὶ μόνον σέβειν, καὶ μόνον διὰ τοῦ χριστοῦ θεολογεῖν. ταῦτ' ἦν τοῦ νέου καὶ καινοῦ γόητος τὰ κατορθώματα. τοιαῦτα τοῦ νομιζομένου πλάνου τὰ γοητεύματα. καὶ τοιοῖδε οἱ τοῦ ἰησοῦ μαθηταὶ, ἀφ' ὧν δεῖ τὸν διδάσκαλον ὁποῖος τις ἦν γνωρίζειν. φέρε δ' ἔτι καὶ ταύτη τὴν λόγον διερευνησώμεθα. γόητα φῂς αὐτὸν ὦ ἐστὶ, ἀλλὰ καὶ φαρμακέα δεινὸν καὶ ἀπατεῶνα καλεῖς; ἆρ' οὖν πρῶτος αὐτὸς καὶ μόνος εὑρετὴς κατέστη τοῦ πράγματος; ἢ πάντας που κατὰ τὸ ἀκόλουθον εἰς διδασκάλους ἀναπέμπειν χρὴ τὰ αἰτία; εἰ μὲν γὰρ μηδενὸς διδάξαντος, αὐτὸς πρῶτος καὶ μόνος εὑρετὴς γέγονε τῆς ἐπιχειρήσεως, μηδὲν μηδαμῶς παρ' ἑτέρων μαθὼν, μηδὲ ἐκ παλαιῶν ἐρανιζόμενος, πῶς οὐ θείας φύσεως χρῆν ὁμολογεῖν αὐτὸν, ὃς ἦν ἄνευ βίβλων καὶ λόγων, καὶ διδασκάλων, αὐτοδίδακτος καὶ αὐτομαθὴς τοιούτων πραγμάτων εὑρετὴς ἀναπέφηνεν; καὶ μὴν οὔτε βαναύσου τέχνης, οὔτε λογικῆς ἐπιστήμης, οὐδέ γε τῶν πρώτων στοιχείων τὴν μάθησιν δίχα ποδηγοῦ καὶ διδασκάλου τινὸς ἀναλαβεῖν δυνατὸν, μὴ οὐχὶ τὴν κοινὴν ἐκβεβηκότα φύσιν. οὐδεὶς γοῦν τῶν πώποτε αὐτοδίδακτος ἡμῖν γραμματικῆς παρῆλθε διδάσκαλος, οὐδέ γε ῥήτωρ μὴ μεμαθηκὼς, οὐδὲ αὐτοφυὴς ἰατρὸς, οὐδὲ τέκτων, οὐδ' ἑτέρας δημιουργὸς τέχνης καί τοι μικρὰ ταῦτα καὶ ἀνθρώπεια. τὸ δὲ φάναι τὴν τῆς ἀνθρώπων εὐσεβείας ἀληθοῦς διδάσκαλον τοιαῦτα τεθαυ-

ματουργηκότα

© Centre d'Études Supérieures de la Renaissance - Tours

ματουργηκότα καθ' ὃν ἐπεδήμει τῷ βίῳ χρόνον, καὶ τοιαύτας παραδόξους τερατείας πεποιηκότα, ἃς ἀρτίως διεξήλθομεν, ἐκ τοῦ αὐτομάτου τοιοῦτον φῦναι, μήτε παρὰ παλαιῶν ἐρανισάμενον, μήτ' ἐκ νέων διδασκάλων ὠφελημένον, τὰ ὅμοια καὶ πρὸ αὐτοῦ πεποιηκότων, τί ἄλλο ἢ μαρτυρούντων ἐστὶ καὶ ὁμολογούντων θεῖον ἀληθῶς χρῆμα γεγονέναι, καὶ πᾶσαν ἀνθρώπου φύσιν ὑπερβεβηκέναι τὸν δηλούμενον; ἀλλὰ διδασκάλοις αὐτὸν φῂς προσεσχηκέναι πλάνοις, μηδὲ λαθεῖν αὐτὸν τὰ σοφὰ τῶν αἰγυπτίων, καὶ τῶν πάλαι παρ' αὐτοῖς λεγομένων τὰ ἀπόρρητα, παρ' ὧν συλλεξάμενον, ἄνδρα τοιοῦτον οἷον ὁ λόγος παρίστησιν, ἀποδεῖ χθῆναι. τί δῆτα οὖν, ἤ τινες ἄλλοι κρείττους αὐτοῦ πεφήνασι, καὶ πρότεροι τῷ χρόνῳ καὶ αὐτοῦ διδάσκαλοι, εἴτ' ἐπ' αἰγύπτου, εἴθ' ὁπηδή; τί οὖν οὐχὶ κἀκείνων πρὸ τῆς τούτου κατηγορίας, ἔφθασεν εἰς πάντας ἀνθρώπους ἡ φήμη; ἢ τί μὴ οὐχὶ κἀκείνων εἰς ἔτι νῦν τὸ κλέος ᾄδεται τῷ ἡμετέρῳ παραπλησίως; τίς δὲ τῶν ἀπ' αἰῶνος πώποτε γόης, βάρβαρος ἢ ἕλλην, τοιούτων κατέστη διδάσκαλος φοιτητῶν, καὶ τοιούτων νόμων καὶ λόγων αὐθέντης, οἵων ἡ τοῦ σωτῆρος ἡμῶν ἐπιδέδεικται δύναμις; ἰάσεις δὲ τοσάσδε καὶ παραδόξους εὐεργεσίας τοιάσδε, οἵας ὁ ἡμέτερος πεποιηκὼς μνημονεύεται, τίς πώποτε διαπραξάμενος ἱστορεῖται; τίνος δὲ οἱ γνώριμοι καὶ τῶν πραγμάτων αὐτόπται, διὰ πυρὸς καὶ σιδήρου δοκιμῆς τὴν ὑπὲρ ὧν ἐμαρτύρησαν ἀλήθειαν ἐπιστώσαντο, ὡσπερεῖν οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταί, πάσας μὲν αἰκίας ἀνατλάντες, πάσας δὲ βασάνων ἰδέας ὑπομείναντες, καὶ τέλος διὰ τοῦ ἰδίου αἵματος, τὰ περὶ αὐτοῦ μαρτυρηθέντα αὐτοῖς πιστωσάμενοι; ἔτι πρὸς τούτοις, ὁ τῷ δι' ἐναντίας ἡμῖν λόγῳ παριστάμενος λεγέτω, τίς τῶν πώποτε γοήτων κἂν εἰς νοῦν ἐβάλλετο, νέου ἔθνους ἐπὶ οἰκείῳ ὀνόματι σύστασιν ποιήσασθαι; τὸ δὲ μὴ μόνον ἐννοῆσαι τοῦτο, ἀλλὰ καὶ κατορθῶσαι τὸ βουληθέν, πῶς οὐ πᾶσαν ἀνθρώπου καλύπτοι ἀν φύσιν; βασιλέων δὲ δόγμασι, καὶ παλαιῶν νομοθετῶν, φιλοσόφων τε καὶ ποιητῶν καὶ θεολόγων ἐξ ἐναντίας θέσθαι νόμους τοὺς κατ' εἰδωλολατρείας, καὶ τούτους κρατῦναι, ἀμάχους τε καὶ ἀηττήτους εἰς μακρὸν ἐπιδεῖξαι αἰῶνα, τίς πώποτε γοήτων διανενόηται; ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν οὐκ ἐνενόησε μὲν, οὐ τετόλμηκε δὲ ἐπιχειρῆσαι· ἀλλ' οὐδὲ ἐπεχείρησε μὲν, οὐ κατώρθωσε δέ. ἑνὶ δὲ ῥήματι,
» καὶ μιᾷ φωνῇ φήσας πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, πορευθέντες μαθητεύσατε πάν-
» τα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην
» ὑμῖν, ἔργον ἐπῆγε τῷ λόγῳ, αὐτίκα τε ἐμαθητεύετο ἐν ὀλίγῳ πᾶν γένος ἑλλήνων ὁμοῦ καὶ βαρβάρων, καὶ νόμοι πᾶσι τοῖς ἔθνεσι κατεσπείροντο, ἐναντίοι τῇ τῶν παλαιῶν δεισιδαιμονίᾳ· νόμοι δαιμόνων πολέμιοι καὶ πάσης ἐχθροὶ πολυθέου πλάνης· νόμοι σκυθῶν καὶ περσῶν καὶ τῶν ἄλλων βαρβάρων σωφρονισταί, ἐπιτρεπτικοί τε πάσης ἐκθέσμου καὶ θηριώδους διαίτης· νόμοι τῶν ἐξ αἰῶνος παρ' αὐτοῖς ἑλλήσιν ἐθῶν ἀναστρεπτικοί, καινῆς δὲ καὶ ἀληθοῦς εὐσεβείας καταγγελτικοί. τί δῆτα οὖν τοῖς πάλαι γόησι πρὸ τῶν τοῦ ἰησοῦ χρόνων, ἢ καὶ μετὰ ταῦτα τοιοῦτον, ἢ καὶ παραπλήσιον τετόλμηται, ὡς εἰκότως φάναι αὐτὸν παρ' ἑτέρων ὠφελῆσθαι τὰ τῆς γοητείας; εἰδ' οὐδένα ἄν τις ἔχοι λέγειν αὐτῷ γεγονέναι ὅμοιον, οὐδεὶς γὰρ ἦν αὐτῷ αἴτιος τῆς τοσαύτης ἀρετῆς, ὥρα τοιγαροῦν ὁμολογεῖν, ξένην τινὰ καὶ θείαν φύσιν ἐπιδεδημηκέναι τῷ βίῳ, ᾗ μόνῃ καὶ πρώτῃ τὰ μηδεπώποτε παρ' ἀνθρώποις μνημονευθέντα κατώρθωται. ἀλλὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ ταῦτα μὴ ὧδε τέλος ἐχέτω. πάλιν δὲ ὅπῃ τὸν δι' ἀνωμαλίας ἰτέον, ἐρωτητέον τε, εἴποτε ὀφθαλμοῖς οἶδεν, ἢ ἀκοῇ ἔγνω χρήσας τε καὶ φαρμακέας, δίχα σπονδῶν καὶ θυμάτων καὶ δαιμόνων ὑπακηόσεως τε καὶ προσοισας χρησμευούσας. μήπω οὖν καὶ τοῦ σωτῆρος λέγωμεν, ἢ καὶ τῶν αὐτοῦ λόγων, ἢ καὶ τῶν εἰσέτι νῦν ζηλωτῶν τὸν αὐτοῦ βίον, ἔχῃ τις διαιτᾶσθαι ὑπαφέρειν διαβολήν; οὐχὶ καὶ τυφλῷ δῆλον, ὡς πάνυ τοῦ ἀνωμάλου τούτοις ἡμεῖς οἱ τοῦ ἰησοῦ φρονοῦντες ὑπιτηδύομεν, ἥκιστον μὲν θανάτῳ τῷ ψυχικῷ, ἢ δαίμοσι θυσίαν προσάγειν τολμῶντες· ἥκιστον δὲ τῆς ζωῆς ἐξισάζομεν, ἢ τοῖς πονηροῖς δαίμοσι δουλωθῆναι ὑπομένοντες. τίς δὲ οὐκ οἶδεν, ὅπως σὺν αὐτῇ τῇ τοῦ ἰησοῦ προσηγορίᾳ, καὶ σὺν δυνάμεις καθαρωτάτης πάνυ τὸ δαιμόνων ἔργον ἀπελαύνειν εἰμὲν φίλον θεόν; σὺν ὁ τοῦ ἰησοῦ λόγος καὶ ἡ περὶ αὐτοῦ διδασκαλία, πολὺ κρείττους τῆς ἀοράτου ταύτης δυνάμεως πάσας εἰμὰς ἀπειργάσαντο ἐχθρούς τε δαιμόνων καὶ πολεμίους, ἀλλ' οὐ φίλους οὐδὲ συμπήξ, πολλοῦ δεῖ ὑπηκόους καὶ ὑποχειρίους εἰς πρεσκυνᾶσαν. ὁ δὴ τοιούτους εἰμὰς προσαγαγών, πῶς ἂν αὖθις ἄλλος ἐγεγόνει δαιμόνων; πῶς δ' ἂν τοῖς πονηροῖς πνεύμασιν ἔθυσεν; ἢ πῶς βοηθοὺς δαίμονας ἐπεκαλέσατο ἐν ταῖς παλαιοδοξοποιίαις, ὁπότε εἰσέτι δεῦρο πᾶς δαίμων καὶ πᾶν ἀκάθαρτον πνεῦμα, ὡσεὶ τῶν κολαστικῶν καὶ βασανιστικῶν τῆς οἰκείας φύσεως, τὸ ἰησοῦ ὄνομα φεύγει, ὑπεξίσταταί τε καὶ παραχωρεῖ τῇ τῆς προσηγορίας δυνάμει; ὡς φροῦδα καὶ πάλαι καὶ ἂν ἐπεδήμει τῷ βίῳ χρόνον, μὴ φερόντες αὐτοῦ τὸν προσισάν, ἄμοι μοι ὅθεν ἐβόα· ἔα, τί ἡμῖν καὶ σοὶ ἰησοῦ υἱὲ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. ἀνὴρ δὲ ὅλως ζητεῖα προσέχων τὸν νοῦν, καὶ πάντως γέπου ἀπειρημένοις προσήμασιν ἐγχρῶν, ἆρ' οὐκ ἂν εἴη δῆλος ἀνόσιος ὢν τὸν τρόπον, καὶ μιαρὸς καὶ αἰσχρὸς καὶ ἄθεος καὶ ἄδικος καὶ ἀσεβής; τοιοῦτος δὲ ὤν, πόθεν ἢ πῶς τοῖ περὶ εὐσεβείας διδάξει ἕτερος, ἢ τοῖ περὶ σωφροσύνης, ἢ τοῖ περὶ θεοῦ γνώσεως, ἢ τοῖ περὶ δικαιωτηρίου, καὶ κρίσεως ὅτι πάντων θεὸς; ἢ χὶ τούτων ἀπάντων τοῖ ἐναντία προσοδεύει, ἀκόλουθα τῇ αὐτοῦ μαθητείᾳ προφέρων; καὶ θεὸν μὲν ἀγνοήσεται, καὶ θεοῦ προνοίαν, καὶ θεοῦ κρίσιν, χλευάσει δὲ τοῖς περὶ ἀρετῆς καὶ τοῖς περὶ ψυχῆς ἀθανασίας λόγοις; εἰ μὲν δὴ τοιαῦτά ἐστιν ἰδεῖν καὶ περὶ τὸν σωτῆρα καὶ κύριον εἰμῶν, οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν. εἰδὲ ἐφ' ἑκάστῳ προσήματι καὶ λόγῳ τὸν πάντων δημιουργὸν πατέρα θεὸν ἀναπαλύπτοντος ἀποδείκνυται, καὶ τοῖς φοιτηταῖς τοιούτοις εἰς προσκυνᾶσαν, καὶ εἰ σώφρων αὐτός, καὶ σωφρόνων λόγων διδάσκαλος, καὶ εἰ ποιητὴς καὶ κήρυξ δικαιοσύνης, καὶ ἀληθείας καὶ φιλανθρωπίας καὶ ἀρετῆς ἁπάσης καὶ θεοσεβείας εἰσηγητὴς τοῦ παμβασιλέως θεοῦ, πῶς οὐχ ἕπεται τούτοις, τὸ μηδὲν μὴ ἡγεῖσθαι τῆς ζητεῖσθαι αὐτὸν τὸν προσδόξων πεποιηκέναι, δυνάμει δ' ἀπορρήτῳ, καὶ ὡς ἀληθῶς ἀνθρώπου σωζομολογεῖν; ἀλλ' εἰς τοσοῦτον ἥκουσι ἀπονοίας, ὡς μὴ λογισμοῖς σώφροσι, λόγων τε ἀκολουθίᾳ προσέχειν τὸν νοῦν, μηδὲ πείθεσθαι τοῖς εἰκόσι τεκμηρίοις, ὑπονοοῦν τάχα που τοὺς λέγοντας εἰμᾶς. ἀλλὰ σύγε, κύριε τῶν σαυτοῦ δαιμόνων, αὐτὸς δὴ τὸν χρησμῳδῶν θεῶν ἄκουε, τοῦ σωτῆρος εἰμῶν οὐχ ὡσαύτως σὺ χρηστείαν, ἀλλὰ δύσεβειαν καὶ σοφίαν καὶ εἰς οὐρανοὺς ἀνοδον μαρτυρούντων. τίς δ' ἂν ἡμοιγε τούτων ἀξιόπιστος ὁμολογία μᾶλλον τῆς τοῦ καθ' εἰμῶν πολεμίου γραφῆς, ἣν ἐν οἷς ἐπέγραψε κατὰ τῆς ἐκ λογίων φιλοσοφίας ἐν τεύχει συγγράμματι τέθειται, ὧδέ πως ἱστορῶν

κτ

χτ' λέξιν,

Ως ἀπὸ τῆς ἐνεργείας αὐτῆς συνορᾶται τοῖς φιλαληθέσιν ἡ τῆς περὶ αὐτὸν ἐνθέου ἀρετῆς δυνάμις. Χρησμοὶ περὶ τοῦ χριστοῦ.

Παραδόξον ἴσως δόξει αἰνίσσειν εἰ ὁ μῦθον λέγεσθαι ὑφ' ἡμῶν. τὸν γὰρ χριστὸν οἱ
» θεοὶ δυσεβέσαντον ἀπεφώνητο ϗ ἀθάνατον γεγονότα, δυφήμως τ' αὐτοῦ μνημο-
» νεύουσι. ϗ ἐπειδὰς ὁπιλέγει, περὶ γοῦν τοῦ χριστοῦ ἐρωτησάντων εἰ ὄντι θεός,
» φησίν,
» Οπι μὲν ἀθανάτη ψυχὴ μετ' σῶμα περβαίνει,
» Γιγνώσκει σοφίη τε ἡμιμνήμος. δηγάγε ψυχὴ
» Ανέρος δυσεβῆ περφερεστάτη ὄστιν ἐκείνου. Εὐσεβέσαντον
» ἆρα ἔφη αὐτὸν, ϗ τὴν ψυχὴν αὐτοῦ, καθάπερ ϗ τῶν ἀνθρώπων, μετ' θάνατον ἀπαθα-
» νατίαθῆναι, ἵν' σέβειν δυνάμενοι τοὺς χριστιανοὺς. ἐπερωτησάντων δὲ ἀφ' ἡλίου τί
» ἐκλαλήσειε, ἔλεγεν,
» Σῶμα μὲν ἀθανάτοισιν βασιλῆος ἀεὶ περβέβληται·
» Ψυχὴ δ' δυσεβέων εἰς οὐρανίον πέδον ἵξει. Καὶ ὁπιλέγει μετ' ὀλίγα, ἐρησομένου ἐξῆς,
» αὐτὸς οὖν δυσεβὴς, ἢ εἰς ἀθανάτους ὡσπερ οἱ δυσεβεῖς χωρήσας. ὡς τ' οὐ μὲν ὁ βλασ-
» φημήσας, ἢ εἰπὼν ἢ τ' αὐθεφάνων τ' αὐτοῦ. Ταῦτα ἡμεῖς ὁ πορφύριος. ἐξ οὖν
ἀπατεὼν ὢν σαφῶς; κἂν τὰ φίλα σε δυσωπεῖτω τ' οἰκείων ῥήματα. ἐλέγχει τοιγαροῦν
τ' ἡμέτερον σωτῆρα ἰησοῦν τ' χριστὸν θεοῦ, ϗ τοὺς ἑαυτοῦ ὁμολογημένου
οὐ χρῆται σοὶ φαρμακέα, δηλ δυσεβῆ ϗ δικαιότατον ϗ σοφὸν ἢ οὐρανίων ἀφι-
δῶν οἰκήτορα. ὁ δὴ οὖν τοιοῦτος πῶς ἂν δήπου τ' τοιάδε δόξειν ἔργων γένοιτο ποιη-
τής, ἢ δυνάμει θεία; ἵν' ἢ τὰ ἱερὰ λόγια μαρτυροῦσιν αὐτῷ, θεὸν λόγον ϗ θεοῦ δύ-
ναμιν τὸν ἀνωτάτω ἐν ἀνθρώπου μορφῇ ἢ σχήματι, μᾶλλον δ' ἐν αὐτῇ σαρκὶ ϗ
σώματι καθικόμενον, ϗ πᾶσιν τοῖς ἐν ἀνθρώποις οἰκονομίαν ὑπιτελέσαντα μαρ-
τυροῦντα. ἢ σὺ δ' ἂν αὖθις καταμάθοις ὃ ἐνθεον ἦν περὶ αὐτοῦ δυνάμεως, εἰ
λογίσαιο ὅστις ποτὲ ὢν ἆρα τὴν φύσιν ϗ πηλίκος ἀνδρὸς ἀτελὴς ἐξ ἀγοίας ϗ τα-
πεινοῦ βίου περσοικειωσάμενος, τούτοις κέχρηται διακόνοις ὑπὲ κατορθώσει περὶ
μαθοὺς πάντα καλύπτοντος λόγου. ἀγνοηθεὶς γὰρ ὁ μηδεὶς πώποτε, νόμους οἰκείους
ἢ ξένων διδασκαλίαν εἰς πάντα κατασπείρας τὰ ἔθνη ἢ πάντος ἦν ἀνθρώπων
διδάσκαλον δυσεβείας ἑνὸς τοῦ ὑπὲ πάντων θεοῦ ἑαυτὸν ἀποφῆναι, τοῖς πάντων
ἀγελαιοτάτοις ϗ ἀτελεστάτοις ἠνήνατο χρῆναι τῆς οἰκείας βουλῆς ὑπηρέτας.
εἰκὸς τινὰ προφασιζόμενα ταῦτα αὐτὸν πεποιηκέναι νομίσαι. πῶς γὰρ οἱ μηδὲ
διαφορᾶς δυναμένοι σῶμα, κἂν ἑνός τινος διδάσκαλοι κατέστησαν, οὐχὶ ἀνδρῶν
συλλόγου; πῶς δ' ἂν πλήθη διελέσθαιεν οἱ πάσης ἐκτὸς γεγονότες παιδείας;
ἀλλὰ τοῦτ' ἦν ἆρα τὸ ἐνθεον βουλῆς ϗ τ' ἐνεργοῦσαν ἐν αὐτοῖς θείας δυνάμε-
» ως τοιοῦτον. ἀναπαλέσας γοῦν αὐτοὺς, τὰ μὲν τοιαῦτά φησι· δεῦτε, ἀκολουθεῖ-
» τέ μοι, ϗ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. ὅπερ δ' ἦν λοιπὸν αὐτοὺς ἀκολούθους ἐκτήσα
το, ἐμπνεύσας αὐτοῖς δυνάμεως θείας, μύοις τε ϗ φαρμακοῖς ἐμπλήσας, ϗ δὴ οἰάπερ
ἀληθῶς θεοῦ λόγος ϗ αὐτὸς θεὸς, τηλικούτων θαυμάτων ποιητὴς, νοεροῖς αὐτοῖς ϗ
» λογικοῖς ψυχῶν θηρεύτας ποιήσας, ἔρχου τε δεῦτε τῇ φωνῇ τῇ, δεῦτε, ἀκολουθεῖ-
» τέ μοι, ϗ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων φησίν, ὁμοῦ τε ἐργάτας ϗ διδασκάλους

© Centre d'Études Supérieures de la Renaissance - Tours

αὐτοὺς εὐσεβείας ἀπειργασμένος, ἤδη καὶ εἰς πάντα τὰ ἔθνη διεπέμπετο, κήρυκας ἀναδείξας τῆς αὐτοῦ διδασκαλίας. καὶ τίς οὐκ ἂν ἐξεπλάγη καὶ ἠπίστησεν ἂν εἰκότως τῷ παραδόξῳ τοῦ θαύματος, ὅτε μηδεὶς μὲν τῶν πώποτε ἐν ἀνθρώποις γενομένων διαφανῶν, μὴ βασιλεὺς, μὴ νομοθέτης, μὴ φιλόσοφος, μὴ ῥήτωρ, μὴ βάρβαρος, τοιοῦτόν τι διανοηθεὶς ἱστορεῖται, ἀλλ' οὐδ' εἰς φαντασίαν ἠθὼν τοῦ παραπλησίου; ἀγαπητὸν γὰρ ἑκάστῳ ἦν, εἰ καὶ ἐπὶ μόνης τῆς οἰκείας γῆς τὸ οἰκεῖον ἐπάγγελμα συνεστήσατο, καὶ τοὺς καλῶς ἔχειν φανέντας νόμους κἂν ἐφ' ἑνὸς τοῦ οἰκείου ἔθνους κρατῦναι οἷός τε ἦν. ὁ δὲ μηδὲν θνητὸν καὶ ἀνθρώπινον διανοηθεὶς ὅρα εἰ μὴ ὡς ἀληθῶς θεοῦ πάλιν προήκατο φωνὴν, αὐτολεξεὶ φήσας τοῖς εὐτελεστάτοις ἐκείνοις αὐτοῦ μαθηταῖς, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. καὶ πῶς, εἶπον ἂν οἱ μαθηταὶ τῷ διδασκάλῳ πάντως που ἀποκρινάμενοι, τοῦθ' ἡμῖν ἔσται δυνατόν; πῶς γὰρ ῥωμαίοις φέρε κηρύξομεν; πῶς δὲ αἰγυπτίοις διαλεχθησόμεθα; ποίᾳ δὲ χρησόμεθα λέξει πρὸς ῥήτωρας, ἄνδρες τῇ σύρων ἐντραφέντες μόνῃ φωνῇ; πέρσας δὲ καὶ ἀρμενίους, καὶ χαλδαίους καὶ σκύθας, καὶ ἰνδοὺς, καὶ εἴ τινα βαρβάρων γένοιτο ἔθνη, πῶς πείσομεν τῶν μὲν πατρίων θεῶν ἀφίστασθαι, ἕνα δὲ τὸν πάντων δημιουργὸν σέβειν; ποίᾳ δὲ λόγων ἱκανότητι θαρσοῦντες, ἐπὶ τοῦτο παρελευσόμεθα; ἢ τίς ἡμῖν ἐπὶς ἔσται τοῦ κατορθώματος, ἀντινομοθετεῖν τολμῶσι τοῖς πάντων ἐθνῶν περὶ τῶν οἰκείων θεῶν ἐξ αἰῶνος κειμένοις νόμοις; ἐπὶ ποίᾳ δὲ καὶ δυνάμει περιέσεσθαι ἐστὶ τοῦ τολμήματος; ταῦτα ἢ φησάντων ἂν κατὰ τὸ εἰκὸς, ἢ διανοηθέντων τῶν τοῦ ἰησοῦ μαθητῶν, μιᾶς προσθήκῃ λέξεως αὐτοῖς ὁ διδάσκαλος λύσιν τῶν ἀπορηθέντων ὑπέθετο, φήσας κατόρθωσιν, ἐν τῷ ὀνόματί μου. οὐ γὰρ δὴ ἁπλῶς καὶ ἀδιορίστως μαθητεῦσαι πάντα τὰ ἔθνη προσέταττεν, μετὰ προσθήκης δὲ ἀναγκαίας, τῆς, ἐν τῷ ὀνόματι αὐτοῦ. ἐπεὶ γὰρ ἡ δύναμις τῆς αὐτοῦ προσηγορίας τοσαύτη τίς ἦν, ὡς φάναι τὸν ἀπόστολον, ὅτι δὴ ἐχαρίσατο αὐτῷ ὁ θεὸς τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· εἰκότως τῆς τοὺς πολλοὺς λανθανούσης ἐν τῷ ὀνόματι αὐτοῦ δυνάμεως τὴν ἀρετὴν ἐμφαίνων, τοῖς αὐτοῦ μαθηταῖς ἔφησεν· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου. εἶτα καὶ θεσπίζει εὖ μάλα ἀκριβῶς τὸ μέλλον, εἰπών· δεῖ γὰρ κηρυχθῆναι τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσιν. ὁ δὲ λόγος εἴρητο μὲν ἐν γωνίᾳ γῆς τότε, καὶ οἱ παρόντες ἤκουον μόνοι. πῶς οὖν ἄρα πιστὸς ἦν αὐτοῖς τοῦτο λέγων, εἰ μὴ ἐξ ἑτέρων τῶν ὑπ' αὐτοῦ πεπραγμένων ἐνθέων ἔργων, τῆς ἐν τοῖς λόγοις ἀληθείας αὐτοῦ τὴν πεῖραν εἰλήφεσαν; ὅτι γὰρ ἐπίστευσαν λέγοντι, συλλογιζομένῳ τοὶ ὁμολογεῖν ἀνάγκη. προστάξαντι γὰρ οὐδεὶς ἠπείθει· ἀλλὰ πειθαρχήσαντες αὐτοῦ τῷ νεύματι, κατὰ τὰ παρηγγελμένα πᾶν γένος ἀνθρώπων ἐμαθήτευον, ἐκ τῆς οἰκείας γῆς ἐπὶ πάντα στελάμενοι τὰ ἔθνη· ἐν ὀλίγῳ τε ἦν ἔργα θεωρῆσαι τοὺς λόγους. κεκήρυκτο γοῦν τὸ εὐαγγέλιον ἐν βραχεῖ χρόνῳ ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον τοῖς ἔθνεσι. καὶ βάρβαροι καὶ ῥήτωρες τὰς περὶ τοῦ ἰησοῦ γραφὰς πατρίοις χαρακτῆρσιν καὶ πατρίῳ φωνῇ μετελάμβανον. καί τοι τίς οὐκ ἂν ἀπορήσει ἐνευλόγως, τίς ἦν ἄρα ὁ τῆς τῶν μαθητῶν τοῦ ἰησοῦ διδασκαλίας τρόπος; ἄρα γὰρ εἰς μέσην παρελθόντες πόλιν, ἔπειτ' ἐν ἀγορᾷ στάντες, καὶ βοῇ μείζονι χρησάμενοι

© Centre d'Études Supérieures de la Renaissance - Tours

μένοι συνεκάλουν τοὺς παριόντας, κἄπειτα ἐδημηγόρουν. καὶ τίς ἦν ἄρα αὐτοῖς τῆς δημηγορίας ὁ λόγος, ᾧ πεπεῖσθαι εἰκὸς ἦν τοὺς ἀκροωμένους; πῶς δὲ καὶ ἐδημηγόρουν ἄνδρες λόγων ἄπειροι, καὶ πάσης ἀμέτοχοι παιδείας; ἀλλὰ μὴν οὐ κατὰ πλῆθος, κατὰ μέρος δὲ τοῖς προστυχοῦσι διελέγοντο. τίσιν οὖν καὶ ὁποίοις ἐχρῶντο λόγοις ἐπὶ πειθῶ τῶν ἀκουόντων; ἐπεὶ μηδὲ μικρὸς ἦν αὐτοῖς ὁ ἀγών, μὴ ἀρνουμένοις τὸν ἐπονείδιστον θάνατον οὗ καταγνωσομένου. εἰ μὲν γὰρ τοῦτον ἐπικρυψάμενοι, καὶ μὴ ὁμολογοῦντες εἰς πάντας οἷα καὶ ὁπόσα πέπονθεν ὑπὸ ἰουδαίων, τὰ σεμνὰ μόνα καὶ ἔνδοξα προσεκόμιζον· λέγω δὲ τὰς θαυματουργίας, καὶ τὰς παραδοξοποιίας αὐτοῦ, τάς τε φιλοσόφους διδασκαλίας αὐτοῦ· οὐδ' οὕτως ἦν αὐτοῖς εὐχερὴς ὁ λόγος πρὸς τὸ ποιῆσαι ῥᾳδίως συγκαταθέσθαι τοὺς ἀκούοντας ξενοφωνουμένους, καὶ ἄρτι πρῶτον ἐπακούοντας καινῶν ῥημάτων, ὑπ' ἀνδρῶν οὐδὲν ἐπαγομένων ἀξιόπιστον εἰς τὴν τῶν λεγομένων μαρτυρίαν. πλὴν ἀλλ' ἔδοξεν ἂν πιθανώτερον λέγεσθαι τὰ εἰρημένα. νῦν δὲ τοτὲ μὲν τὸν πρεσβευόμενον θεὸν ἐν ἀνθρώπου γεγονέναι σώματι, καὶ οὐδὲν ἀλλο τὴν φύσιν εἶναι ἢ θεοῦ λόγον, διὰ τὸ τοιαύτας τεραστίας δυνάμεις πεποιηκέναι οἷα θεόν· τοτὲ δὲ, τούτοις ἐναντίως ὕβρεις αὐτὸν καὶ ἀτιμίας ὑπομεῖναι, καὶ τέλος τὴν αἰσχίστην καὶ τοῖς πάντων ἀνθρώπων κακουργοτάτοις ἐπηρτημένην διὰ σταυροῦ τιμωρίαν, τίς οὐκ ἂν ὡς ἐναντία λεγόντων κατέπτυσεν εἰκότως; τίς δ' οὕτως ἠλίθιος ὑπῆρχεν, ὡς εὐχερῶς πιστεῦσαι λέγουσιν ἑωρακέναι μετὰ τὸν θάνατον ἐκ νεκρῶν ἀναβεβιωκότα, τὸν μηδὲ ὅτε ἐν ζῶσιν ἦν, ἐπαμῦναι ἑαυτῷ δεδυνημένον; τίς δὲ τοῖς ἰδιώταις καὶ εὐτελέσιν ἐκείνοις ἐπείσθη ποτ' ἂν λέγουσι, χρῆναι τῶν μὲν πατρῴων θεῶν καταφρονῆσαι, καὶ μωρίαν μὲν τῶν ἐξ αἰῶνος καταγνῶναι πάντων, μόνοις δὲ αὐτοῖς πείθεσθαι καὶ τοῖς ὑπὸ τοῦ σταυρωθέντος παρηγγυμένοις; τοῦτον γὰρ εἶναι τοῦ μόνου καὶ ἐπὶ πάντων θεοῦ μόνον ἀγαπητὸν καὶ μονογενῆ παῖδα. ἐγὼ μὲν οὖν ἐξετάζων παρ' ἐμαυτῷ φιλαλήθως τὸν λόγον, οὐδεμίαν πειστικὴν δύναμιν ἐν αὐτῷ, οὐδέ τι σεμνὸν, οὐδ' ἀξιόπιστον, ἀλλ' οὐδὲ πιθανὸν εἰς τὸ κἂν ἕνα τινὰ τῶν ἠλιθίων πεῖσαι δύνασθαι εὑρίσκω. ἀλλὰ πάλιν ἀφορῶν εἰς τὴν τοῦ λόγου δύναμιν ὡς μυρία πλήθη πέπεικεν, καὶ ὡς συνέστησε μυρίανδροι ἐκκλησίαι πρὸς αὐτῶν ἐκείνων τῶν εὐτελεστάτων καὶ ἀγροίκων τοῦ ἰητοῦ μαθητῶν, οὐκ ἐν ἀδήλοις που καὶ ἀφανέσι τόποις, ἀλλ' ἐν ταῖς μάλιστα διαπρεπεστάταις πόλεσιν ἱδρυθεῖσαι, ἐπ' αὐτῆς λέγω τῆς ῥωμαίων βασιλευούσης, ἐπί τε τῆς ἀλεξανδρέων καὶ ἀντιοχέων, καθ' ὅλης τε τῆς αἰγύπτου καὶ λιβύης, εὐρώπης τε καὶ ἀσίας, ἔν τε κώμαις τὲ καὶ χώραις καὶ πανταίοις ἔθνεσι, πάλιν ἐξ ἀνάγκης ἀνατρέχειν ἐκβιάζομαι ἐπὶ τὴν τοῦ αἰτίου ζήτησιν, καὶ συνομολογεῖν μὴ ἀλλως αὐτοὺς κεκρατηκέναι τοῦ τολμήματος, ἢ θειοτέρᾳ καὶ ὑπὲρ ἄνθρωπον δυνάμει καὶ συνεργίᾳ τοῦ φήσαντος αὐτοῖς, μαθητεύσατε πάντα τὰ ἔθνη ἐν ᾧ ὀνόματί μου. τοῦτο δ' οὖν εἰπὼν ἐπισυνῆψεν ἐπαγγελίαν, δι' ἧς ἔμελλον ἐπιθαρρεῖν καὶ προθύμως ἐπιδιδόναι σφὰς αὐτοὺς τοῖς παρηγγυμένοις. φησὶ γοῦν αὐτοῖς, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλὰ καὶ πνεύματος αὐτοῖς ἐμπνεῦσαι λέγεται θείου, ἀλλὰ καὶ δύναμιν αὐτοῖς ἐνθεον καὶ παραδοξοποιὸν πεποιηκέναι, τοτὲ μὲν φήσας, λάβετε πνεῦμα ἅγιον· τοτὲ δὲ εἰπὼν, ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαίμονας ἐκβαλλε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

" τε. δωρεὰν ἤ ἀθετε, δωρεὰν δότε. σιωοφᾶς τοιγαροῦν ἡ αὐτὸς ὅπως κεκραύτηκεν ὁ δι' αὐλῶν λόγος, ἐπεὶ ἡ αὐτῶν ἡ βίβλος τ' προφήξεων σιωῳδὰ τούτοις ἡ σύμφωνα μάρτυρε. οἶδα ἰσοφεῖ ταῦ καὶ αὐλοὶ τῇ τῶν ᾠδῶν δόξων ἐνεργεία δι' ἐνόματος τ' ἰησοῦ προς αὐλῶν ὑπιτελουμένη τοῖς πρόνοις ἡ τοῖς θεωμένοις ἐκπλῆξαι. ἐξέπληττον γὰρ, ὡς εἰκὸς, ἀφ' ὧν ἔργων τοῖς θεωμένοις προφέρον· εἴ γ' αὖτως προθύμως εἶχον αὐτοῖς ὅπι ὁ φιλοπευστεῖν, ἵνα ποτ' ἰῶ σαῦ. οὐ τῇ δυνάμει καὶ προφητείᾳ τὸ θαῦμα γέγονεν. εἶτα διδάσκοντες ἤνεισχον τῇ πίστ φθάνοντας τὸν πρ' αὐτῶν διδασκαλίαν. οὐ γὰρ τοῖς λόγοις πεισθέντες, ἀλλὰ τοῖς ἔργοις προκαλαληφθέντες, ῥᾴδιον ἐποιοῦντο τ' ἐν τοῖς λόγοις ἀφ' ἕξιν. λέγον γοῦν ἤδη τινὲς βουθυσίας καὶ σπονδὰς ὡς αὖ ἤδη θεοῖς αὖσιν, τοῖς τ' ἰησοῦ προσαγορεύειν· ἃ ἵνα μὴ αὐτῶν ὃν ἐρμῶ εἶ), τίνα δὲ ὃν διανενομικέναι. τοιοῦτον αὐλῶν τὰς ἀληθείας ἐξέπληττεν ἡ τῶν ᾠδῶν ἔργων ὑπόδειξις. καὶ δὴ οὕτω διακειμένοις πρώ ὅσα προσῆν κατήγορον, ἤδη λοιπὸν ἀληθῶς ἀνομίζοντο, ἃ τῇ χ' ὃν θανάτου ἀναδιώσῃ αὐτ' οὐχ ἁπλοῖς οὐδ' ἀναποδείκτοις ἐμαρτύρουν λόγοις, δι' αὐτῆς δ' ἐνεργείας ἔπειθον, ζῶντος ἔργα πρίσσοντες. εἰδὲ καὶ θεὸν αὐτὸν καὶ θεοῦ παῖδα προσ ἰῆς εἰς ἀνθρώπους ἐφίξεως ᾠδῶν ὧ πατρὶ τυγχάνοντα κατήγορον, ἃ τούτῳ πῶς οὐκ ἂν προσέθεντο μᾶλλον, ὃ ἀναγκαῖον ἀπιστον εἶ) καὶ ἀδυνάτον ἡδύμενοι εἰκότως, λογισάμενοι μὴ δυνάσθαι θνητῆς ἔργα φύσεως εἶ) νομίζειν τὰ θρώμενα, ἀλλὰ θεοῦ, κἂν μὴ λέγῃ ἰῆς. τοῦτ' ἰῶ ἄρα ἃ σαφὲν ἀλλο ὃ ζητηθὲν αὖθ' ὁκάνο, ὁποία δυνάμει προειρημένοι τῶν ἐν ἀγραῖς ἀκροωμένων οἱ δ' ἰησοῦ μαθηταί, καὶ ὅπως ἥμωνας ὁμοῦ καὶ βαρβάρους ὡς πρεπὶ λόγου θεοῦ προσῆν φερομένη ἐπεισθη. ὅπως τὲν μέσαις ταῖς πόλεσιν καὶ ἀνὰ τὰς χώρας δυσεβείας ἐνὸς τ' ὑπὶ πάντων θεοῦ σιωεσήσθητο διδασκαλία. καίτοι τίς οὐκ ἂν θαυμάσειε προς ἑαυτῷ ὑπολογιζόμενος καὶ ἀναμιμνήσκων ὡς οὐκ ἀνθρώπινον ἰῶ, τὸ μηδ' ἅπαξ ἐπὶ μίαν τιμὴ ῥωμαίων γενέσθαι τὰ πλάσματα ἡ οἰκουμένης ἔθνη, ἀπ' ἀπὸ τῶν τ' ἰησοῦ χρόνων. ἅμα γὰρ τῇ εἰς ἀνθρώπους αὐτ' ᾠδῇ ὑπόδειξιν, καὶ τὰ ῥωμαίων ἀκμάσαι συνηνέχθη, ὥστε προτον αὐτοῦ τῶν πλείστων ἐθνῶν μοναρχήσαντος, καθ' ὃν κλεοπάτρας ἀπούσης, ἵ κατ' ἀγυπτον τῶν πολεμαίων διαδοχὴ ἐλευτο· ἐξ ἐκείνου τε καὶ εἰς δεῦρο τὸ ἀπ' αἰῶνος, καὶ ἀπ' αὐτῆς ὡς εἰπεῖν ἰῆς προτης ἀνθρωπείας συσταῦ αἰγύπτου βασίλισσα καθήρηται. ἐξ ἐκείνου τε καὶ τὸ ἰουδαίων ἔθνος ῥωμαίων δοῦλον γέγονεν, καὶ τὸ σύρων ὡσαύτως, καππαδόκων τε καὶ μακεδόνων, καὶ ἰθυναῦν καὶ ἡμένων, καὶ σιωπάντι φάναι τῶν λοιπῶν τῶν ἐκτὸς τῶν ῥωμαίων ἀρχῶν ἀπάντων. τοῦτο δ' ὅλη μὴ ἀθεεὶ τῇ προτ τ' σωτῆρος λόγῳ διδασκαλίᾳ συμφέρηται, τίς οὐκ ἂν ὁμολογήσαι, ἀφρονηθεὶς ὡς οὐ ῥᾴδιον ἰῶ τοῖς μαθηταῖς αὐτ' πορείαν ὑπὶ τῆς θεοδαπῆς φείλαξ, διεκώτων προς θνητὰ τῶν ἐθνῶν, καὶ μηδεμίας οὔσης ἐν αὐτοῖς ὑπομιξίας, ἀφ' ἃς πολλὰς ἐθναρχίας· ὧν προειρημένων, ἀφόβως ἤδη καὶ ἐπ' ἀδείας τὸ προκείμενον ἰοῦσιν, τὴν πορείαν αὐτοῖς προεξῆλ μαείσθητος τ' ὑπὶ πάντων θεοῦ, καὶ τοῖς θυμοῖς τ' χ' πόλις δεισαιμόνων φόβῳ τῆς μείζονος ἀρχῆς καταφείλαντος. λόγισαι γὰρ, ὡς εἰ μηδὲν ὃ κωλύον ἰῶ τοῖς προὶ τὴν πολύθεον πλάνην ἑπομένους τῇ δ' χείσου πολεμεῖν διδασκαλίᾳ, πάλαι ἂν ἑώρας χ' πόλις καὶ χ' ἀγρὸς

ἐμφυλίοις

ἐμφυλίους σάσεις, διωγμούς τε καὶ πολέμους οὐ τοὺς τυχόντας, εἰ δὴ ἐφ' ἑαυτοῖς εἶχον οἱ δαιμονες τιμωρεῖσθαι· νῦν δὲ καὶ τοῦτο θεοῦ τοῦ ὑπὲρ πάντων ἔργον ἐστίν, ὃ μείζονι φόβῳ τῆς ἀνωτάτω ἀρχῆς, τοὺς ἐχθροὺς ὑποχείριον λόγου καταδουλοῦσαν. ὥσπερ γὰρ αὖθις ὅσημέραι καὶ εἰς πάντας ἀνθρώπους αὔξειν βούλεται. πάλιν τε αὖ ὡς μὴ νομισθείη καθ' συγχώρησιν τῶν κρατούντων διαρκέσειν, εἴποτέ τις τούτων πονηρία ληφθεὶς ἐπὶ τοῦ χριστοῦ λόγῳ πολεμεῖν ὥσπερ ὑπόθοιτο, καὶ τοῦτο ὥσπερ ἐνεδίδου ὁ καταθύμιον· ὁμοῦ μὲν εἰς ἀνδρείαν τὴν τῆς εὐσεβείας ἀθλητῶν, ὁμοῦ δὲ καὶ εἰς τὸ τοῖς πᾶσι φανερὸν καταστῆναι, ὅτι μὴ ἐξ ἀνθρώπων ἐστὶ βουλῆς, ἀλλ' ἐκ τῆς τοῦ θεοῦ δυνάμεως ἡ τοῦ λόγου σύστασις. ἀλλὰ καὶ ὡς οὐκ ἀν' ἁμαρτάνοιμεν τὰ συμβαίνειν καὶ τοῖς τοιοῖσδε κατορθοῦσθαι· οἱ μὲν γὰρ τῆς εὐσεβείας ἀθληταὶ τὸ πρὶν ἀνθρωπίνοις γε τοῖς πᾶσι ἄφαντοι καὶ ἄφαρτοι ἐδείκνυντο, τῶν μὲν ἐκ θεοῦ κατηξιωμένοι βασιλείων. οἱ δὲ τῆς εὐσεβείας πολέμιοι τὰς ὑπερκειμένας ἐξέλυον δίκας, ἀπλάτοις μάστιξιν οἰστρούμενοι, καὶ πᾶν τὸ σῶμα δεινοῖς καὶ ἀνιάτοις πάθεσι διαφθειρόμενοι. ὥστε ἤδη καὶ εἰς ὁμολογίαν τοῦ καὶ χριστοῦ εὐσεβείας ἥκειν ὑπὲρ ἀπελαθῆναι. οἱ δὲ λοιποὶ πάντες τὸ ἀνθρώπινον ὑπερορῶντες, καὶ χριστοῦ φεύγειν αὐχοῦντες, ἐπ' ὀλίγον γεγυμνασμένοι τοῖς πειρατηρίοις, ὃ δὲ γνήσιον καὶ εἰλικρινὲς τῆς φρονήματος ὑπεδέξαντο, τὴν οἰκείαν αὖθις ἀπελάμβανον ἐλευθερίαν, εἰς μεῖζον ὅσημέραι δι' αὐτῶν ἐκλαμπόντος τοῦ σωτηρίου λόγου, καὶ ἐν αὐτοῖς γε μέσοις τοῖς ἐχθροῖς καταχαλινῶντος. μὴ μόνον τε τῶν ὁρατῶν πολεμίων κατεξανισαμένους, ἀλλὰ καὶ τῶν ἀοράτων· εἰ τινες ἄρα εἶεν ἀμφὶ τὸν ἀέρα ζοφώδη πονηροὶ δαίμονες καὶ ἔχοντες τούτων, οὓς καὶ αὐτοὶ οἱ γνήσιοι τοῦ χριστοῦ μαθηταὶ δι' ἀγνείας βίου καὶ τῶν πρὸς τὸν θεὸν λόγων, δι' ἃ τε τῆς αὐτοῦ ἐνθέου πολιτείας ἐξηγούνοντες, σημείων τῶν παλαιοτέρων μείζονα αὐτοῦ γεγονέναι τὴν δόξαν, καὶ ἐν τούτῳ τοῖς σωφρονεῖν δυναμένοις τὰ τεκμήρια τῆς ἐνθέου ἀρετῆς αὐτοῦ διαδηκνύντες. ἀλλὰ γὰρ τῶνδε καὶ καιρὸν ὑπερλεγυμνασμένων, καιρὸς ἤδη καὶ τῆς μυστικωτέρας πρὸς αὐτοῦ θεολογίας ἐφάψασθαι, καὶ τὸν θεὸν λόγον, ὅστις ποτ' ἐστὶν ὁ διὰ τοῦ φαινομένου σώματος τὰς θαυματουργίας ἐκτελῶν, ἐποπτεῦσαι.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τάδε ἐνέστιν ἐν τῷ τετάρτῳ συγγράμματι τῆς περὶ τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς ἀποδείξεως.

α' Περὶ τῆς κτ' τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἰησοῦν τὸν χριστὸν τοῦ θεοῦ μυστικῆς οἰκονομίας.

β' Ὅπως αὐτὸν πρὸ πάσης κτίσεως υἱὸν θεοῦ γεγονέναι φαμέν.

γ' Ὅτι μὴ πλείους υἱοὶ τοῦ ἐπὶ πάντων θεοῦ, μόνος δὲ εἷς ἐκ θεοῦ θεὸς εὐλόγως ἡμῖν ἀνηγόρευται.

δ' Ὡς ἀναγκαίᾳ τῇ τῶν ὅλων συστάσει ἡ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ προὔπαρξις ἀποδίδοται.

ε' Ὡς μυρίας μὲν ὁμολογοῦμεν εἶναι γενητὰς θείας δυνάμεις, μόνην δὲ τὴν τοῦ υἱοῦ, δι' ἣν ἐπάγεται, εἰκόνα τοῦ θεοῦ πατρὸς θεολογοῦμεν.

ϛ' Ὡς ἀπὸ πρώτης συστάσεως τῶν ὅλων ἀφανῶς ὁ χριστὸς τοῦ θεοῦ τῶν θεοφιλῶν ψυχῶν ἐπιστατεῖ.

ζ' Ὡς μόνοις ἑβραίοις τὸ παλαιὸν ἡ τοῦ τῶν ὅλων θεοῦ γνῶσις ἀποκεκάλυπτο διὰ τῆς ἐπιφανείας τοῦ χριστοῦ γινωσκομένη.

η' Ὡς μόνους τοὺς κατ' οὐρανὸν φωστῆρας τὰ λοιπὰ τῶν ἐθνῶν ἔσεβον ἀγγέλοις τι σὶν ἐγκεχωρισμένα.

θ' Ὡς περὶ τῆς ἐχθρᾶς καὶ ἀντικειμένης τῷ θεῷ δυνάμεως καὶ τοῦ ταύτης ἐξάρχοντος, καὶ ὡς διὰ ταύτης τὸ πάντων ἀνθρώπων ὑπηγάγοντο γένος.

ι' Ὡς ἀναγκαίως ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τὴν εἰς ἀνθρώπους ἐποιήσατο πάροδον.

ια' Ὅπως τὸν ἐν ἀνθρώποις διεξῆλθε βίον.

ιβ' Ὡς καὶ μέχρι τῶν πάλαι κατοιχομένων ἐκάλουν αὐτὸν οἱ τῆς φιλανθρωπίας νόμοι.

ιγ' Ὡς ἀπαθὴς καὶ ἀβλαβὴς καὶ ἀσώματος διέμεινεν καὶ καθ' ὃν ἐνηνθρώπει καιρόν.

ιδ' Ὡς τὸν ἄνθρωπον ἀνανεωσάμενος, πᾶσιν ἡμῖν τὴν τῶν αἰωνίων ἀγαθῶν παρέσχετο ἐλπίδα.

ιε' Τί βούλεται δηλοῦν ἡ τοῦ χριστοῦ παρουσία, καὶ ὡς θεὸς καὶ κύριος καὶ ἀρχιερεὺς τοῦ τῶν ὅλων θεοῦ διὰ τῶν παρ' ἑβραίοις προφητῶν ὁ χριστὸς ἀνηγορεύετο.

ιϛ' Δι' ὅσων προφητικῶν γραφῶν ὁ χριστὸς ὀνομαστὶ προεκηρύττετο.

Ἀπὸ τοῦ β' ψαλμοῦ.
Ἀπὸ τοῦ κζ' ψαλμοῦ.
Ἀπὸ τοῦ πη' ψαλμοῦ.
Ἀπὸ τοῦ ἀμώς.
Ἀπὸ τοῦ ἀμβακούμ.
Ἀπὸ τῶν ἱερεμίου θρήνων.
Ἀπὸ τῆς πρώτης τῶν βασιλειῶν.
Ἀπὸ τοῦ μδ' ψαλμοῦ.
Ἀπὸ τοῦ ιθ' ψαλμοῦ.
Ἀπὸ τοῦ πγ' ψαλμοῦ.
Ἀπὸ τοῦ ρλα' ψαλμοῦ.
Ἀπὸ τῆς αὐτῆς.

ιζ' Ὅτι καὶ τὸ ἰησοῦ ὄνομα παρὰ τοῖς πρόπαλαι τοῦ θεοῦ γνωρίμοις τετίμητο.

Ἀπὸ τῆς ἐξόδου.
Ἀπὸ τοῦ ζαχαρίου.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Περὶ τῆς κτ' ὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν χριστὸν τοῦ θεοῦ μυστικῆς οἰκονομίας.



Γειδὴ τὰ προφήκοντα περὶ τῆς ἀναθεωπήσεως τοῦ σωτῆρος ἡμῶν ἐν τῷ παρὸ τούτου συγγράμματι, τέτω ὀντι τ διαλογικῆς ἀποδείξεως, αὐταρκως ἡμῖν διαπεπόνηται, καιρὸς ἤδη καὶ ἀπορρητοτέρων ἐφάψασθαι λόγων, τῶν περὶ τῆς κατ' αὐτὸν μυστικωτέρας θεολογίας. ὁ μὲν οὖν περὶ ὃ περφτου καὶ ἀϊδίου, μόνου τε ἀγλυκήτου καὶ ὑπὲρ πάντων ἁγίου τῶν ὅλων, πανηγεμόνος τε καὶ παμβασιλέως θεοῦ, κοινὸς ἅπασιν ἀνθεώποις ὑπὲρ λόγος· ἴδιος δὲ ὁ κοινὸς αὖθις ἑβραίων καὶ ἡμῶν, ὁ περὶ χριστοῦ. ὃν πῆ μὲν ὁμοίως ἡμῖν ταῖς πρὸ αὐτῆς ἐπόμενοι γραφαῖς ἔτι νῦν ὁμολογοῦσι, πῆ δὲ μακρὰν ἀποπίπτουσι, μήτε τ θειότητα σεσωρωκότες αὐτοῦ, μήτε τὰ αἰτία τῆς προόσεως εἰδότες, μήτε μὴν τοὺς χρόνους καθ' οὓς ἥξειν ἀνείρηται εἰς ἀνθεώπους περιφρασάμενοι. οἱ μὲν γὰρ ἔτι καὶ νῦν ἥξειν μένοντα προσδοκῶσιν, ἡμεῖς δ' ἤδη μὲν εἰς ἅπαξ ἀποδεικνυμένου γεγόνοτα. καὶ δεύτερον δ' αὖτοῦ μετὰ τῆς ἐνθέου δόξης πρόοσιαν τῆς τῶν θεοφόρων προφητῶν προρρήσεσί τε καὶ διδασκαλίαις πειθόμενοι ἰδεῖν ἐλπίζομεθα. διττοῦ δ' ὄντος τοῦ κατ' αὐτὸν λόγου, ὁ μὲν, νεώτερος δὴ εἶη, ἡμῖν τε προσήκει εἰς δεύτερον ἀνθεώπους εἴσοδον· ὁ δὲ, πρωτότοκος χρόνου καὶ πάντων αἰώνων πρεσβύτερος. βουληθεὶς γὰρ ὁ θεὸς, ἅτε μόνος ὢν ἀγαθὸς ἀγαθοῦ τε πάντος ἀρχὴ καὶ πηγὴ, τ αὐτοῦ θησαυρῶν πλείοις ἀποφῆναι κοινωνούς· ἐξῆν τε μόνον τοῖς λογικοῖς πᾶσιν περιβλέπεσθαι κάλλος, ἀσωμάτους εἶναι νοεροὺς καὶ θείας δυνάμεις, ἀγγέλους τε καὶ ἀρχαγγέλους, ἀΰλά τε καὶ πάντη καθαρὰ πνεύματα, προσέτι δὲ ψυχὰς ἀνθεώπων ἄφθορον καὶ ἀθύραυστον τῆς αὐθεντοσίας περὶ τὸ καλὸν ἢ τοὐναντίον αἱρέσεως τ φύσιν ἐπαγόμενας, ὅσα τε τούτοις ὄργανα σωμάτων ἔμελλεν ἔσεσθαι, ποικίλων ἀγωγῆ καταλλήλως βίων, χώρας τε τούτοις ἅπασι καὶ τόποις διαιρεμένοις οἰκείους· μείναντα μὲν γὰρ ἀγαθοῖς, τοὺς κρείττονας, ἔμπαλιν ὑπὸ τοὺς προσήκοντας, τῆς ὑπὲρ τἀναντία ἐφῆς τὰ σωφρονιστήρια· προλαβὼν δ' ὁμῶν, οἷα θεὸς, τῇ τῶν γνώσῃ, σεσιδώντε, τούτων ἀπάντων περὶ πλάσεως ἐν μεγάλῳ σώματι κεφαλῆς δεηθέντων, ἕνα δὴ τῆς δημιουργίας ἁπάσης οἰκονόμον ἡγεμόνα τε καὶ βασιλέα τῶν ὅλων προβάλλεσθαι ᾤετο δεῖν, ἢ τὰ θεῖα μυσταγωγεῖ λόγια προς τῶν ἄνωθεν πρὸ ἑβραίοις θεολόγων τε καὶ προφητῶν ἀνδρῶν τετραπισμένα. πρὸ ὧν δὴ μαθεῖν ἄνεσιν, ὡς ἆρα μία μὲν εἴη τῶν ὅλων ἀρχὴ, μᾶλλον δὲ ὁ καὶ ἀρχῆς ἀνώτερον, καὶ προόντα προηλιέτερον, τὴ μονάδος ἀρχεγονώτερον, τὴ πάσης κρείττον προσηγορίας, ἄῤῥητον, ἀνέκφραστον, ἀπροσηνόητον, ἀγαθὸν, ὃ πάντων ἅγιον, ὃ ποιητικὸν, τὸ ἀναγκαῖον, ὃ προνοητικὸν, τὸ σοφώτατον, αὐτὸς ὢν ὁ εἷς τὴ μόνος θεὸς, ἐξ οὗ τὰ πάντα, δι' ὃν τὰ πάντα ἐστὶν. ἐν αὐτῷ γὰρ ζῶμέν τὴ κινούμεθα τὴ ἐσμέν. οὗ δὴ θέλοντος τοῦτο γενέσθαι τὴ εἶναι ἀεὶ. τὸ μόνον τ τ ἡμῖν ἀπάντων σωτήριόν τε τὴ ὑπέρ ἐξεως αἴτιον. θέλοντος γάρ, ἐστὶ. θέλοντι δὲ, ὅτι τῇ φύσιν ἀγαθὸς ὢν τυγχάνει. ἀγαθῷ δὲ οὐδὲν, οὗ μὴ

τὸ θέλειν τὰ ἀγαθὰ προσφυές. θέλων δὲ ταῦτα, καὶ δύναται. διὸ καὶ θέλων ὁμοῦ καὶ δυνάμενος, ἀκωλύτως καὶ ἀπαραποδίστως πᾶν ὅ, τι καλὸν καὶ συμφέρον ἐν τε ὁρωμένοις καὶ ἀφανέσιν αὐτὸς ἑαυτῷ συνεστήσατο, ὕλην ὥσπερ τινὰ καὶ οὐσίαν τῆς τῶν ὅλων γενέσεώς τε καὶ συστάσεως τὴν ἑαυτοῦ βουλὴν καὶ δύναμιν προβεβλημένος, ὡς μηκέτι εὐλόγως φάναι δεῖν ἐξ οὐκ ὄντων εἶναί τι τῶν ὄντων. οὐδὲ γὰρ ἂν εἴη τι τὸ ἐκ μὴ ὄντος. πῶς γὰρ τὸ μὴ ὂν ἑτέρῳ τοῦ εἶναι γένοιτ' ἂν αἴτιον; πᾶν δὲ ὅ, τι ποτε καὶ ἔστιν, ἐξ ἑνὸς τοῦ μόνου ὄντος καὶ πρὸ ὄντος. τοῦ δὴ καὶ φήσαντος, ἐγὼ εἰμὶ ὁ ὤν, τὸ εἶναι λαβὸν ἔχει. ὅτι δὴ μόνος ὤν, καὶ ἀεὶ ὤν, αὐτὸς πᾶσι τοῖς ἐξ αὐτοῦ τὸ εἶναι κτησαμένοις αἴτιος τοῦ εἶναι κατέστη, τῷ θέλειν καὶ ᾧ δύνασθαι. καὶ τὴν οὐσίαν τοῖς πᾶσι, καὶ τὰς δυνάμεις, καὶ τὰ εἴδη πλουσίως καὶ ἀνεπιφθόνως ἐξ αὐτοῦ κεχαρισμένος.

Ὅπως αὐτὸν πρὸ πάσης κτίσεως υἱὸν θεοῦ γεγονέναι φαμέν.

Καὶ δὴ τῶν ὄντων ἁπάντων πρῶτον ὑφίστησιν αὐτοῦ γένημα, τὴν προτότοκον σοφίαν, ὅλην δι' ὅλου νοερὰν καὶ λογικὴν καὶ πάνσοφον, μᾶλλον δὲ αὐτονοῦν, καὶ αὐτολόγον, καὶ αὐτοσοφίαν, καὶ εἴτι δὲ αὐτοκαλὸν καὶ αὐτοαγαθὸν ἐπινοεῖν ἐν γεννητοῖς θέμις, τοῦτο πρῶτον αὐτὸς ἐξ αὐτοῦ θεμέλιον τῶν μετὰ ταῦτα γενησομένων προβάλλεται. τὸ τέλειον τελείου δημιούργημα, καὶ σοφοῦ σοφὸν ἀρχιτεκτόνημα, ἀγαθοῦ πατρὸς ἀγαθὸν γένημα. καὶ τί γὰρ ἄλλο, ἢ τῶν μετέπειτα τὸ εἶναι δι' αὐτοῦ λαβόντων, προστάτην καὶ κηδεμόνα, σωτῆρά τε καὶ ἰατρὸν καὶ κυβερνήτην τῆς τῶν ὅλων δημιουργίας τοὺς οἴακας περιδεδραγμένον; ὅθεν εἰκότως οἱ χρησμοὶ θεολογοῦντες θεὸν γεννητὸν αὐτὸν ἀποφαίνουσιν, ὡς ἂν τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου θεότητος μόνον ἐν αὐτῷ φέροντα τὴν εἰκόνα, δι' ἣν καὶ θεὸν εἶναί τε αὐτὸν καὶ λέγεσθαι τῆς πρὸς τὸ πρῶτον ἐξομοιώσεως χάριν, ταύτῃ τε αὐτὸν ἀγαθόν φασιν ὑπηρέτην πρὸς τοῦ σωτῆρος ὑποβεβλῆσθαι, ἵνα ὥσπερ δι' ἑνὸς πανσόφου καὶ ζῶντος ὀργάνου τεχνικοῦ τε καὶ ἐπιστημονικοῦ κανόνος, τὰ πάντα αὐτῷ ἀπευθύνοιτο, σώματα ὁμοῦ καὶ ἀσώματα, ἔμψυχά τε καὶ ἄψυχα, λογικὰ σὺν ἀλόγοις, θνητὰ σὺν ἀθανάτοις, καὶ εἴτι τούτοις ἕτερον συνυφέστηκέτε καὶ συνύφανται, καὶ ὡς μιᾷ τῶν ὅλων δυνάμει, ἑνί τε ζῶντι καὶ ἐμψύχῳ νόμῳ τε καὶ λόγῳ ἐν πᾶσιν ὄντι καὶ διὰ πάντων ἥκοντι τὰ πάντα συναρμόζοιτο ὑφ' ἑνὶ πανσόφῳ δεσμῷ, αὐτῷ δὴ ᾧ τοῦ θεοῦ λόγῳ τε καὶ νόμῳ συναγόμενά τε καὶ συνδούμενα.

Ὅτι μὴ πλείους υἱοὶ τοῦ ἐπὶ πάντων θεοῦ, μόνος δὲ εἷς ἐκ θεοῦ θεὸς εὐλόγως ἡμῖν ἀνηγόρευται.

Ἑνὸς δὲ ὄντος τοῦ πατρὸς, ἕνα χρὴ καὶ τὸν υἱὸν, ἀλλὰ οὐ πολλοὺς εἶναι, καὶ ἕνα τέλειον μόνον γεννητὸν θεὸν ἐκ θεοῦ, ἀλλ' οὐ πλείους. ἐν γὰρ πλείοσιν ἑτερότης ἔσται καὶ διαφορὰ καὶ τοῦ χείρονος εἰσαγωγή. διὸ δὴ εἷς θεὸς, ἑνὸς υἱοῦ τελείου καὶ μονογενοῦς, ἀλλ' οὐ πλειόνων θεῶν οὐδ' υἱῶν πατήρ. ἐπεὶ καὶ μιᾶς οὔσης φωτὸς οὐσίας, μίαν καὶ τὴν ἐξ αὐτοῦ γεννωμένην τελείαν αὐτὴν πᾶσα ἀνάγκη τίθεσθαι. τί γὰρ ἂν καὶ ἄλλο γένημα φωτὸς ἐπινοεῖν δυνατὸν, μὴ οὐχὶ μόνην τὴν ἐξ αὐτοῦ τὰ πάντα πληροῦσαν καὶ καταλάμπουσαν ἀκτῖνα; πᾶν γὰρ τὸ ταύτης ἀλλότριον, σκότος ἂν εἴη καὶ οὐ φῶς. ταύτῃ τοι καὶ τοῦ πάντων ἀνωτάτου πατρὸς, ἀρρήτου φωτὸς ὄντος, οὐδὲν μὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

μὴ προσφερὲς αὐτῷ οὐδὲ οἰκεῖον αὐγὴ ἰδίοις προσλήμμα, πλὴν ὅσον αὐτὴ τοῦτο
μόνον, ὃ δὴ καὶ φαίνει τοῖς οἷόν τε ἀπαύγασμα γὰρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον
ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. ὅθεν εἴρηται, ὃς ὢν ἀ-
παύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Ἀλλὰ τοῦ μὲν ἀϊδίου
φωτὸς ἀχώριστος ἡ αὐγή, ὁ δὲ υἱὸς ἰδίως προσῆκε τῷ πατρὶ καθ' ἑαυτὸν ἐφέστηκε. ὡς
φωτὸς μὲν ἡ αὐγὴ χώραν ἐνεργείας ἐπέχει, ὁ δὲ υἱὸς ἕτερόν τι ἢ κατ' ἐνέργειαν τυγ-
χάνει, καθ' ἑαυτὸν οὐσιωμένος. καὶ πάλιν, ἡ μὲν αὐγὴ συνυπάρχει τῷ φωτὶ, συμ-
πληρωτική τις οὖσα αὐτοῦ. μέλει γὰρ αὐγῆς ὅταν ὑποφαίνῃ φῶς, ὁμοῦ τε καὶ κατ'
αὐτὸ συνυφέστηκεν. ὁ δὲ πατὴρ προϋπάρχει τοῦ υἱοῦ, καὶ τῆς γεννέσεως αὐτοῦ προϋ-
φέστηκεν, ἢ μόνος ἀγεννησίαν. καὶ ὁ μὲν καθ' ἑαυτὸν τέλειος καὶ προφητος, ὡς πατὴρ,
καὶ τῆς τοῦ υἱοῦ συστάσεως αἴτιος, οὐδὲν εἰς συμπλήρωσιν τῆς ἑαυτοῦ θεότητος προσ-
δεῖται τοῦ υἱοῦ λαμβάνων. ὁ δὲ ὡς ἐξ αἰτίου γεγονὼς υἱὸς, δεύτερος οὗ ἐστιν υἱὸς καθέστη-
κεν, προσδεὴς μὲν παντὸς καὶ ὅτου ἐστὶ καὶ ὅτου ἐστὶ) εἰλικρινὴς. καὶ πάλιν, ἡ μὲν αὐγὴ οὐ κατ'
προαίρεσιν τοῦ φωτὸς ἐκλάμπει, καθάπερ δὲ τῆς οὐσίας συμβεβηκὸς ἀχώριστον. ὁ
δὲ υἱὸς κατ' γνώμην καὶ προαίρεσιν εἰκὼν ὑπέρκειται τοῦ πατρός. βουληθεὶς γὰρ ὁ θεὸς
γέννησιν υἱοῦ πατὴρ, καὶ φῶς δεύτερον κατ' πρώτα ἑαυτῷ ἀφωμοιωμένον ὑπερκάθη-
σε. ἀληθῶς διαφορῶ καὶ ἀϊδίῳ φωτὸς ὄντος ἑνὸς, πῶς αὐγήσειε ἄλλο οἷά τις εἰκὼν,
οὐχὶ δὲ αὐγὴ οὖσα φῶς κατ' πρώτα τὸ ἐμφερὲς τῷ προτύπῳ σώζουσα; πῶς
δὲ καὶ αὖ τοῦ ἑνὸς εἴη εἰκὼν, εἰ μὴ μία καὶ ἡ αὐτὴ οὐσία; ὅπως μὴ μόνον τῆς οὐσί-
ας τοῦ προτύπου, ἀλλὰ καὶ τοῦ κατὰ τὸ ποσὸν ἀριθμοῦ τὸ ὁμοίωσιν ἐπάγοιτο, ὡς καὶ ἑ-
νὸς ἕνὸς) τοῦ ἀϊδίου φωτὸς ἓν τὸ τέλειον, ἀφ' οὗ ἀπαφόρως καὶ πολλὰ τὰ προῶντα καὶ μο-
νογενῆ ἔκγονον, αὐτὸ δὴ σκῆνος τὸ καὶ ἡμῖν προῶν μετὰ τὴν ἀνάρχον καὶ ἀγέν-
νητον οὐσίαν θεολογούμενον τέλειον ἀγαθόν. ἕνα γοῦν χρὴ ἑνὸς πατρὸς καὶ τὸν υἱὸν ἕνα). καὶ
γὰρ μίας ὑλώδους ἐξ ὑποκειμένης τινὸς προϊούσης οὐσίας, μίαν καὶ τὴν αὐτὴν προ-
χειμένην ἡδεῖαν εἰς πόλεως ὁδὸν μένουσαν, ἀφ' οὗ ἀπαφόρους καὶ πολλοὺς προσήκοι ἂν
ὁμολογεῖν. τοῦ δῆτα προφήτου καὶ μόνου ἀγαθοῦ, ὅ ἐστιν ὁ παμβασιλεὺς θεὸς, νῷ καὶ
διανοίᾳ κατιδεῖν καὶ ζωϊκὴν ὑλώδιαν ὑποκειμένου, μίαν ταύτην,
ἀφ' οὗ πλείους ὑπενοῆν ἡμῖς. τί γὰρ δεῖ καὶ ἡμῖν ταύτης ἕτερον κατ' πρώτα ὡς πα
ρεῖ ἀφωμοιωμένης, εἰ μήτι ἔχει ὑποβεβηκὸς καὶ χεῖρον; ὃ οὐδαμῶς ἡμῖν ἐν τῇ
τοῦ υἱοῦ θεολογίᾳ προσδεκτέον. ἁλμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως, καὶ ἀ-
πόῤῥοια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινὴς. ἐξ ὑλώδους μὲν γὰρ σώματος, μύ
ρου τινὸς φέρει, ἢ καὶ τὰ ἀπὸ γῆς ἀκμαζόντων, ὑλώδης ἂν αὐθῶντα καὶ ἀρωμάτων
πνοὴ προσὸν τὸ προῶν ὑποκείμενον εἰς ἄπαν τὸ ἐκτὸς προϊέχον προσχεῖται, καὶ
πληροῖ καὶ ὃν ἀέρα εἰς πλάτος ὑλαχεομένη, οὐδέπω κατ' στέρησιν ἢ μείωσιν, ἢ τυ-
μοῦ ἢ διαίρεσιν τοῦ προϋποκειμένου. τούτου γὰρ ἐν οἰκείᾳ χώρᾳ μένοντος, καὶ τὰ ταυ-
τότητα πρὸς ἑαυτὸ σώζοντος, τοιοῦτ' ὑλώδη δυνάμεν ἀπογεννῶντος, οὐδὲν δεῖ προ-
τέρου χεῖρον τὸ γεννώμενον ὑλώδες οἰκείαν ἔχον ὑποστασιν, ὡς ὅτι μάλιστα τὸ
ὁμοιότατον τῇ γεννήσαντος φύσει, ἀφ' τῆς οἰκείας ἀπομεμίμηται· πλὴν ἀπ'
ἐκείνων ταῦτα γεώδη καὶ ὑπόγαια καὶ μέρη τῆς κάτω φθοροποιοῦ καὶ γεώδους φύσεως. ἐπὶ
γε μὴν τῆς προκειμένης ἡμῖν θεολογίας ἐπέκεινα πάντως ὄντα, πάντα δείγμα-
τος, οὐδὲν μὴ οἷόν τε ἐκ σωμάτων ἐπάγεται, ὀξυτάτη δὲ διανοίᾳ φαντάζεσθαι υἱὸν
γεννητὸν, οὐ χρόνοις μέν ποσιν οὐκ ὄντα, ὕστερον δὲ ποτε γεγονότα· ἀπὸ προϋπάρχοντος

νων αἰωνίων ὄντα, καὶ προόντα, ὃ δὴ πατρὶ ὡς υἱὸν ἁρμόττοντες σιωπῶντα, καὶ ὁπωσοῦν ἀλλήνητον ὄντα, γνωρίζων δ' ἐξ ἀληνήτου παιδὸς, μονογενῆ ὄντα, λόγον καὶ θεὸν ἐκ θεοῦ· οὐ κτίσμα φάσαιεν ἢ ποίημα ἢ διαίρεσιν ἐκ τῆς τοῦ παιδὸς οὐσίας προβεβλημένον, ἄῤῥητος ὢν καὶ ἀνεπιλογίστως ἡμῖν, ἐξ αἰῶνος, μᾶλλον δὲ πρὸ πάντων αἰώνων, ἐκ τῆς τοῦ παιδὸς ἀνεκφοίτου καὶ ἀπροσιονήτου βουλῆς τε καὶ δυνάμεως οὐσιούμενον διδάσκοντα. τί γὰρ ἂν, φησί, τις διηγήσεται; καὶ, ὥσπερ οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς, οὕτω καὶ τὸν υἱὸν οὐδεὶς ἔγνω εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ.

Ὡς διαλαμβάνειν τὴν τῶν ὅλων συστάσει τὸ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ προσῆκον ἀποδίδοται.

Πολὺ δὴ ἕνα μονογενῆ καὶ ἀγαπητὸν υἱὸν ἐδόκει ὁ παναγάθου πατρὶ τῆς τῶν γενητῶν ἀποιήτων δημιουργίας προσῆκον εἶναι, ἐπεὶ καὶ κόσμον ἕνα, ὥσπερ ἓν καὶ μέγα σῶμα ἐκ πλειόνων καὶ διαφόρων μελῶν τε καὶ μερῶν ἥνωται ὅλον οὐδέπω προσδεόμενον, * οὐκ ὀπίσω τεῖναι μὴ αὐτὸν δύνασθαι, ὥσπερ μείζονος κεφαλῆς τῆς τοῦ παιδὸς θεότητος ἐξημμένον. κεφαλὴ γὰρ τοῦ σώματος ὁ πατὴρ, ἡνωμένον δὲ καὶ προσηρτημένον τῶν μετ' αὐτὸν ἀποιήτων, οὐ μὴν ἀλλὰ καὶ διαρκοῦσιν εἰς τε τὸν τοῦ παιδὸς ὀπισθεῖν, καὶ εἰς τὸν τῶν μετ' αὐτὸν δημιουργίαν. διὸ δὴ καὶ ἔφαμεν αὐτὸν προῆκον πάντων εἶναι τοῦ παιδὸς οἷον τὸ μονοειδὲς πάσης οὐσίας καὶ φύσεως προβεβλῆσθαι ὄργανον ἔμψυχον καὶ ζῶν, μᾶλλον δ' ἔνθεον καὶ ζωοποιὸν καὶ πνεῦμα φῶς, ἀγαθῶν γενητικὸν, φωτὸς χορηγὸν, οὐρανοῦ δημιουργικὸν, κόσμου καθαρσιουργικὸν, ἀγγέλων ποιητικὸν, πνευμάτων ἀρχοντικὸν, ὄργανον ψυχῶν σωτήριον, σωμάτων αὐξητικὸν, πάντων προνοητικὸν, κυβερνητικὸν, θεραπευτικὸν, βασιλικὸν, κριτικὸν, παιδὸς υἱοθεσίας ἀπαγγελτικόν.

Ὡς μυείας μὲν ὁμολογουμένης εἰς γνῶσιν θείας δυνάμεις, μόνῳ δὲ τῷ τοῦ υἱοῦ δι' οὗ ἐπάγεσθαι εἰκὸς τοῦ θεοῦ παιδὸς θεολογεῖσθαι.

Διὸ καὶ ὅτι πάντων καθόλου τῶν δημιουργημάτων μίαν χρεὼν θείαν δύναμιν ἀποφαίνεσθαι, ἀλλ' οὐ πολλὰς ἡγεῖσθαι. μία γὰρ ἡ καθόλου κοσμοποιὸς δύναμις, καὶ εἷς ὁ τῶν ὅλων δημιουργὸς λόγος ἐν ἀρχῇ πρὸς τὸν θεόν. ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὓς δεῖ δηθῆναι μὴ ἀγνοεῖν, σέβειν δὲ καὶ τιμᾶν ἐπαξίως, ὅτι δὴ πάντα δι' αὐτοῦ οὐ μόνον ἐν ἀρχαῖς τῶν ὅλων συνέστη, ἀλλὰ εἰς ἀεὶ γεγονέν τε καὶ ἔστι, πρὸς ἓν ἐλθεῖν δεῖ ἕν. εἴτε γὰρ ζωή τίς ἐστιν ἐν τοῖς οὖσιν, ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν· ἐξ αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ ἡ τῶν ὅλων ζώωσίς τε καὶ ψύχωσις. εἴτε ῥυθμὸς, εἴτε κάλλος, εἴτε ἁρμονία, εἴτε τάξις, εἴτε σύγκρασις, εἴτε οὐσία, εἴτε ποιότης, εἴτε μέγεθος, πάντα εἷς ὁ τῶν ὅλων συνέχει καὶ διακοσμεῖ λόγος, καὶ μία θεοῦ δύναμις κοσμοποιὸς ἡγεῖται ἀποιήτων. ὡς γὰρ ὅπερ καθ' ἑκάστας σώματος, πολλὴ μὲν τυγχάνει καὶ ποικίλη τῶν μερῶν ἡ διαφορά, μία δὲ ἡ τοῦ παντὸς δύναμις δημιουργός· ἡ γὰρ δεξιὰ μὲν θεᾶς δυνάμει κεφαλῆς ὑπέστη φύσις, δεξιὰ δὲ ὀφθαλμῶν, ἑτέρα ἢ ὤτων, ἑτέρα ἢ ποδῶν. ὅτω καὶ τὰ σύμπαντος κόσμου μία καθόλου θεία δύναμις ὑποσταθεῖσα, ἡ αὐτὴ αὖ εἶη καὶ οὐρανοῦ καὶ ἀστέρων,

© Centre d'Études Supérieures de la Renaissance - Tours

στέρων, τῶν τε ἐν ἀέρι καὶ γῇ, καὶ θαλάττῃ ζώων· στοιχείων τὲ τῶν καθόλου καὶ τῶν κατὰ μέρος, καὶ ἔτι φύσεων πανταίων γενικῶν τε καὶ τῶν κατ' εἶδος δημιουργός. καὶ οὐκ ἀλλὴ μὲν πυρὸς, ἑτέρα δὲ ὕδατος· καὶ γῆς πάλιν ἀλλή· καὶ ἀέρος ποιητικὴ δύναμις· ἀλλὰ μία καὶ ἡ αὐτὴ τῶν ὅλων τεχνῖτις σοφία, καὶ κοσμοποιὸς αὐτὸς ἐστὶ ἡμῖν ὁ θεολογούμενος τῶν ὅλων ὁ δημιουργὸς τοῦ θεοῦ λόγος. μάρτυρες δὲ τούτοις ἡ πρὸς ἀλλήλα τῶν στοιχείων φιλία, τῇ τῶν συγκράσεων ἐπιμιξίᾳ, συγγενῆ καὶ ἀδελφὴν καὶ ὥσπερ ἑνὸς ἀρχιτέκτονος ἔργον τὴν τῶν ὅλων φύσιν ἀπελέγχουσα. γῆ τε γὰρ τὸ βαρὺ στοιχεῖον ἐφ' ὑδάτων ὀχουμένη, καὶ μὴ στερεμνίῳ τῆς φύσεως κατὰ βάθους ἐγκομένη, μετέωρος δ' ἀεὶ φερομένη, καὶ μὴ καταδυομένη, θεοῦ λόγῳ καὶ θεοῦ βουλῇ καὶ δυνάμει μάρτυρες. ὑγρᾶς τε αὖ πάλιν οὐσίας ἡ πρὸς τὸ ξηρὸν κοινωνία μηδὲν στερρὸν ἐπιδεικνυμένη, μηδὲ ἀθρόως τὸ πᾶν ἐπιλιμνάζουσα, νεύματι δ' ἀρρήτῳ θεοῦ πεπεδημένη, ἕνα πάλιν καὶ τὸν αὐτὸν λόγον τοῦ θεοῦ παρίστησι. τί δὲ τὸ πῦρ, καίτοι καυτικῆς καὶ φθαρτικῆς φύσεως, ἔπειτα ξύλοις ἐμφωλεῦον καὶ παντοίοις ζώων σώμασιν ἀνακεκραμένον, γῆ τε καὶ ὕδατι καὶ ἀέρι συνεστοιχειωμένον, κἄπειτα λόγῳ καὶ μέτρῳ τοῖς πᾶσι τὸ δέον, ὅσον ἂν ἑκάστῳ γένοιτο πρὸς ὠφελείας, ἐπιχορηγοῦν, τῆς δ' οἰκείας δυνάμεως ἐπιλελησμένον, οὔ σοι δοκεῖ πάλιν θεοῦ λόγῳ καὶ δυνάμει δουλεύειν; ἡμέρας δὲ καὶ νυκτὸς ἀμοιβαίας ὁρῶντι κινήσεις, ὡρῶν τε καὶ καιρῶν τοτὲ μὲν αὐξήσεις, τοτὲ δὲ μειώσεις, κύκλους τὲ ἐνιαυτῶν καὶ περιόδους χρόνων, ἄστρων τὲ περιδινήσεις, ἡλίου τὲ δρόμους, καὶ σελήνης τροπὰς, συμπαθείας τὲ καὶ ἀντιπαθείας ἁπάντων, καὶ κόσμον ἕνα αὐτῶν ἐξ ἁπάντων, ἆρά σοι τὴν ἀλογίαν καὶ τὸ εἰκῆ καὶ ὡς ἔτυχεν αἰτίαν εἶναι τῶν ὅλων θεμιτὸν ἀποφαίνεσθαι, ἢ λόγον ὡς ἀληθῶς θεοῦ, καὶ θεοῦ σοφίαν, καὶ θεοῦ δύναμιν καὶ ταύτην μίαν, ἀλλ' οὐ πολλὰς ἀνυμνεῖν; ἐπεὶ καὶ ἐν ἀνθρώπῳ μία ψυχὴ καὶ μία λογικὴ δύναμις πλείστων ὁμοῦ γένοιτ' ἂν δημιουργὸς, ἢ καὶ γεωργεῖν ἡ αὐτὴ καὶ ναυπηγεῖν καὶ κυβερνᾷν, καὶ οἰκοδομεῖν πολλὰ μαθοῦσα ἐπιβάλλοιτο· καὶ εἷς νοῦς ἐν ἀνθρώπῳ καὶ λογισμὸς δέξαιτ' ἄν ποτε μυρίων ἐπιστήμας, γεωμετρήσει τε ὁ αὐτὸς καὶ ἀστρονομήσει, καὶ λόγους γραμματικῆς παραδώσει καὶ ἰατρικῆς, ἔν τε μαθήμασι καὶ τοῖς κατὰ χεῖρας προστήσεται. καὶ οὔπωγε οὐδεὶς πώποτε πλείους ἐν ἑνὶ σώματι ψυχὰς ἡγήσατο εἶναι, οὐδὲ πολλὰς ἐθαύμασεν ἀνθρώπου δυνάμεις διὰ τὴν τῶν πολλῶν μαθημάτων ὑποδοχήν. εἰ δὲ καὶ ἄμορφον ὕλην πηλοῦ τις εὑρὼν, κἄπειτα χερσὶν ἀπολεάνας ἐπιθήσει ζώου μορφὴν, ἀλλῷ μὲν σχήματι κεφαλὴν, χεῖρας δὲ καὶ πόδας ἑτέρως, καὶ ὀφθαλμοὺς πάλιν ἀλλῶς, καὶ παρειὰς ὡσαύτως, ὦτά τε καὶ στόμα καὶ ῥῖνας στέρνατε καὶ ὤμους ὑποτυπωσάμενος τέχνῃ τῇ πλαστικῇ, ἆρα ἐπεὶ πολλὰ σχήματα καὶ μέλη καὶ μέρη ὑφ' ἑνὶ σώματι δεδημιούργηται, τοσούτους χρὴ καὶ τοὺς ποιητὰς ἡγεῖσθαι; ἢ τὸν τοῦ παντὸς ἀθρόως τεχνίτην ἐπαινεῖν ἑνὶ λογισμῷ καὶ μιᾷ δυνάμει τὸ πᾶν τεκτηνάμενον; τί δῆτα τοιγαροῦν ἐπὶ τοῦ παντὸς, ἑνὸς μὲν ὄντος, ἐκ μερῶν δὲ πλείστων ὑφεστῶτος, πολλὰς χρῆν ὑποτίθεσθαι δημιουργικὰς δυνάμεις, καὶ πολλοὺς ὀνομάζειν θεοὺς, οὐχὶ δὲ μίαν ὁμολογεῖν τὴν ὡς ἀληθῶς θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν, μιᾷ δυνάμει καὶ ἀρετῇ μιᾷ ὁμοῦ τὰ πάντα ὑφισταμένην τε καὶ ζωοῦσαν, καὶ τοῖς πᾶσι ποικίλην τὴν ἐξ αὐτῆς ἐπιχορηγίαν ποιουμένην; οὕτω καὶ φωτὸς ἡλίου μία καὶ ἡ αὐτὴ προσβολὴ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ, καταυγάζει μὲν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀέρα, φωτίζει δὲ ὀφθαλμοὺς, ἀφὴν δὲ θερμαίνει, πιαίνει δὲ γῆν, αὔξει φυτὰ, χρόνον ὑφίστησιν, ἄστρων ἡγεῖται, οὐρανὸν περιπολεῖ, κόσμον φαιδρύνει, θεοῦ δύναμιν ἐναργῆ τὴν ἐν ᾧ πάντι συνίστησι, πάντα τε ταῦτα μιᾷ ῥοπῇ φύσεως συντελεῖ. καὶ πυρὸς φύσις χρυσὸν μὲν καθαίρει, μόλυβδον δὲ τήκει. καὶ κηρὸν μὲν λύει, πηλὸν δὲ ξηραίνει, ὕλην δὲ φρύγει, μιᾷ τῇ καυστικῇ δυνάμει τὰ τοσαῦτα κατεργαζομένη. ταύτη τοι καὶ οὐράνιος τοῦ θεοῦ λόγος, ὁ καὶ ἡλίου καὶ οὐρανοῦ καὶ τοῦ σύμπαντος κόσμου δημιουργικὸς, δραστικῇ δυνάμει τοῖς πᾶσιν ἐπιπρὸς ὢν καὶ διὰ πάντων ἥκων, ἡλίῳ μὲν καὶ σελήνῃ καὶ ἄστροις ἐξ οἰκείας τῆς ἀεννάου δυνάμεως φῶς ἐπομβρεῖ, οὐρανὸν δὲ οἰκείου μεγέθους προσφυεστάτην εἰκόνα τὴν ἀρχὴν ὑποστησάμενος, εἰς αἰῶνα διακρατεῖ. τὰς δὲ ἐπέκεινα οὐρανοῦ καὶ κόσμου δυνάμεις ἀγγέλων καὶ πνευμάτων, νοερῶν τε καὶ λογικῶν οὐσιῶν, ζωῆς ὁμοῦ καὶ φωτὸς, καὶ σοφίας, καὶ πάσης ἀρετῆς καὶ καλοῦ κἀγαθοῦ πάντος ἐκ τῶν παρ' αὐτοῦ θησαυρῶν ἐμπίμπλησι, μιᾷ καὶ τῇ αὐτῇ δημιουργῷ τέχνῃ· καὶ στοιχείων οὐσίας οὔποτε διαλιμπάνει, παρέχων καὶ μίξεις καὶ κράσεις, καὶ εἴδη καὶ μορφὰς καὶ σχήματα, ποιότητάς τε μυρίας, ἐν τε ζώοις καὶ φυτοῖς, καὶ ψυχαῖς, καὶ σώμασι λογικοῖς τε καὶ ἀλόγοις, ἄλλοτε ἄλλως καταποικίλλων, καὶ πᾶσιν ὁμοῦ πάντα μιᾷ δυνάμει ἐπιχορηγῶν, καὶ νοῦν ἐπὶ πᾶσιν ἀνθρώποις ἐπιγνώμονα καὶ θεωρητικὸν τῆς αὐτοῦ σοφίας δωρούμενος, ἀντικρὺς τε παρίστας τοῖς πᾶσι καὶ διαῤῥήδην, ἕνα κόσμον ἐπιδείκνυσιν ἑνὸς λόγου κοσμοποιοῦ ἔργον. τοιοῦτον δὴ καλλιτέχναν υἱὸν μονογενῆ τῆς αὐτοῦ βουλῆς καὶ δημιουργὸν, ὁ πάντων ἀνωτάτω καὶ αὐτοῦ δημιουργοῦ θεὸς καὶ πατὴρ πρῶτον ἁπάντων ἐγένα, δι' αὐτοῦ καὶ ἐν αὐτῷ τοὺς τῶν μελλόντων ἔσεσθαι δημιουργικοὺς λόγους ὑφιστάμενος, καὶ τὰ σπέρματά γε τῆς τῶν ὅλων συστάσεώς τε καὶ διοικήσεως ἐν αὐτῷ καταβαλλόμενος. οὐχ ὁρᾷς ὀφθαλμοῖς τὸν σύμπαντα κόσμον, ὃν οὐρανὸς εἷς περιλαμβάνει, μυρίας τε ἀμφὶ τοῦτον χορείας καὶ ἄστρων περιπολεύεις; πάλιν εἷς ἥλιος ἀλλ' οὐ πλείους τὰς ἁπάντων ὑπερβολῇ φωτὸς καλύπτει μὲν μαρυγάς. οὕτω δῆτα ἑνὸς ὄντος πατρὸς, ἕνα χρὴν καὶ τὸν υἱὸν εἶναι. εἰ δ' ὅτι μὴ καὶ πλείους, ἐπιμέμψαιτότις, ὥρα τὸν τοιοῦτον ὅτι μὴ καὶ ἡλίους συνίστη πλείους καὶ σελήνας καὶ κόσμους, καὶ μυρία ἄττα, αἰτιᾶσθαι, μαινομένου τρόπον τὰ ὀρθὰ καὶ εὖ ἔχοντα τῆς φύσεως διαστρέφειν ἐπιχειροῦντος.

Ὡς ἀπὸ πρώτης συστάσεως τῶν ὅλων ἀφανῶς ὁ χριστὸς τοῦ θεοῦ τῶν θεοφιλῶν ψυχῶν ἐπιστατεῖ.

συγκρίνῃ αὐτὰ τοῖς ἑβραίων προφήταις θαυμαστὸν δὴ εἴη, ὧν ὁ προφήτης ἱερομάντις καὶ θεολόγος γεγονὼς μωσῆς, θεία ὅσων ἀγαθῶν τῇ βίῳ πραγτὸς κατέστη. προφητῶν μὴν δογμάτων διαπελικῶν καὶ ἀγηθῶν περὶ τῦ ποιητοῦ καὶ δημιουργοῦ τῶν ἀπάντων θεοῦ, περί τε τῦ δευτέρου αἰτίου τῶν μετ' αὐτὸν λογικῶν καὶ νοερῶν οὐσιῶν, περί τε κοσμογονίας καὶ ἀνθρωπογονίας γραφὴν ἱερὰν ἐξέδωκεν, ἔτι τε τὴν θεοσεβῶν ἱστορίας τὴν πάλαι θεοφιλῶν ἑβραίων, ὥσπερ ζωὰς ἀρετῶν εἰκόνας ὑπογράψασα μῦθος, εἰς ζῆλον τῶν ἀγαθῶν ἀνδρῶν τοὺς ὑπηκόους ἀνεκίνησε· καὶ νομοθεσίας ἀνθρώπου δὲ καταλλήλου τοῖς τότε χρωμένοις, φωνὴν ἀπήρξατο λόγων· δὲ ἀφηνιάσας θεοσεβοῖς πέφυκεν εἰσαγωγάς· καὶ ὅτι πᾶσι τῶν μακροῖς ὕστερον χρόνοις ἔσεσθαι μηνόντων τὰς προῤῥήσεις ἀνατεφώνηκεν, ὡς μικρὸν ὕστερον μνημονευθήσεται. καὶ τοιοῦτος μὲν ὅδε. ἕτερα δὲ καὶ οἱ μετ' αὐτὸν προφῆται, πλέονα μὲν, εἴπου τις τῶν ἐφημέρων ἐζητεῖτο, καὶ ταῦτα προῤῥήθη τοῖς ἐρωτῶσι. τὸ δὲ κεφάλαιον τῆς προφητείας αὐτοῖς ὅτι μεγάλοις συνετέλεσε. οὐ γὰρ ὅτι μαντείᾳ τὰ ἐφημέρων καὶ πρὸς ὃν πρόσταται χαιρὸν ὑπεζητοῦμεν, οὐδέ τι σμικρὸν καὶ ταπεινὸν τὰ θεοφορίας ἠξιοῦτο, ἀλλ' ὅτι τῶν πάντων αὐθεκτῶν ψυχαῖς ἡ τοῦ θείου πνεύματος ἐν αὐταῖς ἅμαξις μείζην ἐπιθήσειν προέχουσα, οὐ προσιῶντος αὐθεκτοῦ σῶμα, οὐδὲ προσκαίροις καὶ πολυπαθοῖς ταύτης ζωῆς τὴν προῤῥήσιν ἐπαγγελλομένη, οὐδὲ προς ἕνος ἀπολωλότος, οὐδ' ὅλως προς ἕνων μέσων καὶ διαφόρων, ἃ οὔτε πρόσταται ψυχῆς βιωτικῆς συμβαίνεται, οὔτε μὴ παρόντα ζημίαν ἢ βλάβην προξενεῖ. ἀλλ' ἵνα μὴ, ὡς ἔφην, ὅτε καὶ ταῦτα προῤῥηθέντα, οὐκ ἐπὶ τὸν προῤῥηθέντα δὲ λόγον· ἀλλὰ κατ' ἀκολουθίαν τῶν κρατόντων καὶ παλαιότητος, μείζονα μὲν ἐπίθεσιν ἢ κατὰ εἰρημένα προσέφερεν. εἰ δ' οὕτως τις τὴν πᾶσαν προσοχὴν τῆς μωσέως γραφῆς, καὶ τῶν μετ' αὐτὸν ἀκριβῶς διερευνήσαιτο, εὕροι ἂν προῤῥήσεις καὶ διδασκαλίαν εὐσεβείας τὰ εἰς τὸν τῶν ὅλων θεὸν αὐτὸν δὴ τὸν δημιουργὸν ἀπάντων προσέχουσαν, γνῶσίν τε καὶ θεολογίαν τὴν ἀνωτάτω τῦ δευτέρου αἰτίου, πάσης δὲ πολυθέου πλάνης ἀποτροπήν, εἶτα τῶν πάλαι θεοφιλῶν ἀνδρῶν τῶν δὴ καὶ ἀπράξαντων τὰ εἰρημένης εὐσεβείας μνήμην, προῤῥήσεις τὲ καὶ ἀναφωνήσεις, καθ' ὃν σκεπτόμενον βίον, ὑστέροις ποτὲ χρόνοις μηνύσειν, δι' ἐπιφανείας δὲ προσώπου εἰς ἀνθρώπους θεοῦ, αὐτὸ δὴ τὸ δευτέρου κυρίου, καὶ θεοῦ μετὰ τὸν ἀνωτάτω πατέρα, καὶ αὐτὸ χρηματίζοντος διδασκάλου τῆς αὐτῆς εὐσεβείας, δὲ σωτῆρος ἐπιφανησομένου τοῖς τῶν αὐθεκτῶν βίῳ, δι' οὗ πᾶσι τοῖς ἔθνεσιν, ἤδησιν ὁμοῦ καὶ βαρβάροις προσέσεσθαι, ὃν τὸ θεοσεβείας τῶν πάλαι θεοφιλῶν ἑβραίων ἔθος προδιδάσκεσθαι. ταῦτα μωσῆς, ταῦτα δὲ καὶ τῶν λοιπῶν προφητῶν παῖδες, οἱ πρῶτοι ἐξ ἑνὸς στόματος προεκήρυττον. καὶ τοῦτ' ἴσως ὃ τῆς εἰς ἀνθρώπους τῦ θείου πνεύματος ἐπιφορᾶς αἴτιον, διδάξαι θεογνωσίαν ἀνθρώπους, καὶ τὴν ἀνωτάτω περὶ παντὸς θεολογίαν, παραδοῦσά τε ἔθος ἀνηθοῦς εὐσεβείας, καὶ μνημονεύσασα τῶν πάλαι κατορθωκότων, ἥν τε μὴ τούτων ἔλεγχον ἀφ' μακρῶν ἐκφαίνει λόγων, θεασαμένη τε τὴν πρόσοιαν τῦ σωτῆρος καὶ διδασκάλου τῦ πρώτου ἀνθρώπων γένους, καὶ τὴν δι' αὐτοῦ τῆς παλαιᾶς ἐξ ἑβραίων θεοσεβείας εἰς πάντα τὰ ἔθνη μεταδοσιν προκηρύξαι. ταῦτα ἴσως τὰ ἐξ αἰῶνος, σήλαις καὶ βίβλοις ἱεραῖς τῶν προφητῶν συμφώνως διαπεφωνημένα. αὐτὰ δὲ

ταῦτα, ἃ καὶ ἡμῖν, αὐτοῖς ὀφθαλμοῖς μετὰ τὸν μακρὸν αἰῶνα, εἰσέτι νῦν πληρούμενα συνορᾶται· μιᾷ δὲ φωνῇ πάντες οὗτοι καὶ θείῳ πνεύματι κάτοχοι πᾶσιν ἀνθρώποις τὸ φῶς τῆς ἀληθοῦς προεκήρυττον εὐσεβείας· ἁγνείαν τε ψυχῆς καὶ σώματος, παντελῆ τε κάθαρσιν διανοίας, ἣν αὐτοὶ πρότερον ἠσκηκότες, τοῖς ὑπηκόοις προὐβαλλόντο, πάσης ἀκολάστου πράξεως τοὺς προσιόντας ἀπείργοντες, μηδὲ τῆς πολυθέου πλάνης ἀπομιμεῖσθαι τὰς ἐκθέσμους ἐπιτηδεύσεις, πρὸς τοπάδην δὲ φεύγειν διδάσκοντες πᾶσαν δαιμονικὴν ἐγχείρησιν, καὶ τὰς πάλαι περισπουδάστους ἐκείνας ἀνθρωποθυσίας, τάς τε αἰσχρὰς καὶ ἐπιῤῥήτους περὶ θεῶν διηγήσεις, ὧν ἀπείργοντες, μόνῳ προσανέχειν συνεβούλευον τῷ πάντων δημιουργῷ θεῷ, οἷα ἐφόρῳ καὶ κριτῇ τυγχάνοντι τῶν ἐν ἀνθρώποις πραττομένων· μηδὲ ἀγνοεῖν τὴν μέλλοντα εἰς ἀνθρώπους ἐπιδημεῖν χριστὸν τοῦ θεοῦ, σωτῆρα παντὸς γένους ἀνθρώπων, καὶ διδάσκαλον βαρβάρων ὁμοῦ καὶ ἑλλήνων εὐσεβείας τῆς ἀληθοῦς καταστησόμενον. τοσοῦτόν τι ἦν τὸ διάφορον τῶν ὑπὸ τοῦ θείου πνεύματος κατόχων, καὶ τῶν ὑπὸ δαιμονικῆς ἐνεργείας μαντεύεσθαι προσποιουμένων. εἶτα τὸ μὲν πονηρὸν δαιμόνιον οἷα σκότους οἰκεῖον, σκότον καὶ ἀχλὺν περιβαλλόν τῇ ψυχῇ διὰ τῆς ἐμφοιτήσεως, οὗτος ὑποφήτου οἷα νεκρὸν ἐξήπλου τοῦ κατὰ φύσιν λογισμοῦ παρενηνεγμένον, οὐδ' ἑπόμενον τοῖς λεγομένοις ἢ πραττομένοις δι' αὐτοῦ, παντελῶς δ' ἀναίσθητον καὶ παράφρονα, παρ' ὃ καὶ μαντείαν ὥσπερ τινὰ μανίαν, εἰκότως ἐοίκασι τὴν τοιάνδε κατάπτωσιν ἐπικεκληκέναι. τὸ δέ γε ἀληθῶς καὶ ἔνθεον πνεῦμα, φωτοειδὲς, μᾶλλον δὲ φῶς αὐτὸ τυγχάνον, ᾗ ἂν ἐπέλθῃ ψυχῇ, καινὴν παραχρῆμα καὶ λαμπροτάτην φωτὸς ἡμέραν ἐν αὐτῇ κατειργάζετο, διαυγεστέραν τε καὶ θεωρητικωτέραν πολὺ πλέον νῦν, ἢ πρότερον αὐτὴν αὐτῆς ἀποφαῖνον, ὥστε νήφειν καὶ ἐγρηγορέναι, συνορᾶν τε πάντων μάλιστα καὶ συγκρίνειν τὰ θεσπιζόμενα. παρ' ὅ μοι δοκοῦμεν εὖ καὶ ἀληθῶς προφήτας ἀποκαλεῖν τοὺς τοιούς δε, παρὰ τὸ προφαίνειν καὶ προφωτίζειν ἐν αὐτοῖς τὸ θεῖον πνεῦμα, μὴ μόνον τὰ παρόντα, ἀλλὰ καὶ τῶν μελλόντων ἀληθῆ καὶ ἀκριβῆ γνῶσιν. σκέψασθε δὲ εἰ μὴ πολὺ κρείττων ἐστὶ καὶ ἀληθὴς ὁ λόγος, φάσκων πνεῦμα θεῖον ψυχαῖς ἐπιφοιτᾶν κεκαθαρμέναις, καὶ νῷ λογικῷ καὶ διαυγεῖ πρὸς ὑποδοχὴν τοῦ θείου παρεσκευασμέναις, ἢ ὁ τῶν ἐν ἀψύχῳ ὕλῃ καὶ σκοτίοις μυχοῖς ἐναποκλειόντων τὸ θεῖον, ἔν τε γυναικῶν καὶ ἀνδρῶν οὐ καθαραῖς ψυχαῖς, ἤδη δὲ καὶ ἐπὶ κόρακας καὶ ἱέρακας καὶ ἄλλους οἰωνοὺς, ἐπί τε αἶγας καὶ ἄλλα ζῶα, ναὶ μὴν καὶ ἐπὶ ὑδάτων συστάσεις, ἔν τε ἡπατοσκοπίαις, καὶ αἵμασι νοσερῶν καὶ εἰδεχθῶν κνωδάλων, ἑρπετῶν τε ἰοβόλων σώμασιν, οἷα δρακόντων καὶ γαλῶν, καὶ τινων ἄλλων τοιουτοτρόπων, δι' ὧν τὴν τῶν μελλόντων πρόγνωσιν οἱ θαυμάσιοι τὸν ἐπὶ πάντων θεὸν ἐκφαίνειν ὑπειλήφασι. τοῦτο δ' ἀνδρῶν ἦν μὴ συνεωρακότων θεοῦ φύσιν, μηδέ γε θείου πνεύματος δύναμιν ἐπινενοηκότων, οὐδαμῶς μὲν ἐμφιλοχωροῦσαν ἀψύχοις ἢ ἀλόγοις ζώοις, ἀλλ' οὐδ' ἐν λογικοῖς ἅπασιν, εἰ μήποτε * ἄρα ἢ μόνων ψυχῶν καὶ ἐναρέτοις ψυχαῖς, οἵους ἡμῖν ἀρτίως ὁ λόγος τοὺς ἑβραίων ὑπέγραψε προφήτας· οὓς τοῦ θείου πνεύματος φαμὲν ἀξιωθῆναι, μεγάλων ἕνεκεν πραγμάτων οἰκουμένης ἁπάσης ἀνθρώπων βελτιώσει συμβαλλομένων. εἰ δέ ποτ' αὐτοῖς σκιᾶς δίκην ἐπηκολούθει τὸ καὶ τὰ παρόντα τῶν μέσων καὶ ἀδιαφόρων γνωρίζειν, καὶ προλέγειν κατὰ καιρὸν τὰ ἀγνοούμενα

μθμα τοῖς ἐρωτῶσιν, ἀναγκαίως καὶ τοῦτο τοῖς πάλαι αὐτοῖς πλησιάζοισι προσῆκεν, ὡς ἂν μὴ δοκοῖεν οἱ λίχνοι τοὺς τῶν προγνώσεως λόγους ἀποκλίνειν ὅτι τὰ ἔξω τῶν δημοφύλων ἐθνῶν μαντεῖα, ποθὼ τῶν προφητῶν οἰκείων. ἀλλὰ ταῦτα μὲν ὧδε τέλος ἐχέτω, τὰ δ' ἐν τοῖς ἑβραίων προφήταις θεῖας δυνάμεως ὄντα πρόδηλα. ὥρα δὴ οὖν αὐτοῖς, οἷα δὴ ἐν θεοῖς ὑδραίοις, καὶ σοφοῖς ἀνδράσι, γενομένοις, κατ' ἐπίπνοιαν δὲ θείαν πολλαχοῦ πειθοῖς διδάσκουσι, παιδεύεσθαι τὰ πρὸ αὐτοῖς δόγματα, καὶ τὰς ἀσεβεῖς καὶ ἀδιόρθωτους θεολογίας, ὁκοτ' ἀμφιβολίαν ἔχοντα, μή πη ἀρετῆς καὶ ἀληθείας ἀμύητον ἐπάγωσι. φέρ' οὖν ἤδη λοιπὸν ἀναβάντες ἐξ ὑπαρχῆς τὸν λόγον, πλὴν ἐν τοῖς ἀναγκαίοις πρὸς ὑμᾶς ἰησοῦ τοῦ χριστοῦ θεολογίαν, ἀπὸ τῆς προφητικῆς μαρτυρίας πιστωσόμεθα. ἡ μὲν οὖν ἀναγκαία μαρτυρία ὧδε τὸν χριστὸν θεολογεῖ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. καλῶς δ' αὐτὸν καὶ φῶς νοεῖσθαι, καλῶς δὲ καὶ κύριον, ὡς σαφοῦς καὶ θεόν. ὁ δὲ θεσπέσιος δὲ παῦλος, οἷα δὴ χριστοῦ μαθητὴς ὢν καὶ ἀπόστολος, σωφρόνως τῇ θεολογίᾳ, ταῦτα πρὸς αὐτὸν διεξιών, ὃς ἔστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι. τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται, ὃς αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα δι' αὐτοῦ συνέστηκε. κέκληκε καὶ θεοῦ δύναμιν καὶ θεοῦ σοφία. αὐτὰ δὴ οὖν ταῦτα πρέπει καὶ νῦν ἀπὸ τῶν πρὸς ἑβραίους προφητικῶν γραφῶν ἐξανθίσαι λόγῳ, ὡς ἂν δηλονότι τῆς ἐν ἑκατέραις τοῖς μέρεσι συμφωνίας ἡ ζητοῦσι ἀπόδειξις πρόδηλος εἶη. χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι οἱ μὴ θεῖοι χρησμοὶ πολὺ ὃ καὶ πρὸς λέξιν καὶ πρὸς διάνοιαν ἀσαφεῖς τῇ ἑβραίων φωνῇ πρὸς ἔχοιεν, διαφόρου τῆς ὅτε ὁ ῥωμαϊκὸν ἑρμηνεύσας τετύχηκεν, τοῦ δυσθεωρήτου χάριν. διὸ δὴ οὖν ὁ δῆθεν ἑβραῖοι συμφώνως αὐτὰς μεταβεβλήκασιν, οἷς μάλιστα τὸν νοῦν προσέχομεν, ὅτι δὴ καὶ τῇ τοῦ χριστοῦ ἐκκλησίᾳ τούτοις κεχρῆσθαι φίλον. εἰδέπου γένοιτο χρεία, ὁπόθεν τοῖς μὴ ταῦτα νεωτέρων ἑρμηνευτῶν ἐν δόξῃ, οἷς εἰσέτι νῦν ἰουδαίοις χρῆσθαι φίλον, πρᾶγμα τοιοῦτον ἐπιτηδεύομεν, ὡς ἂν πρόφασιν ἀπόθηται τὰ τῆς ἀποδείξεως ἡμῖν βεβαιοτέρας τύχοι πρόδηλος οὖσα. τοίνυν ἡμῖν πεπροοιμιασμένων, καὶ τῶν ἐνθέων φωνῶν ἤδη λοιπὸν ἐφαψόμεθα.

Ὡς περὶ ἑβραίοις ὁ σοφώτατος σολομὼν ἐν προοιμίοις οἵδε ἵνα προφητεύσειεν τὸν θεοῦ δύναμιν, ἤτοι καὶ σοφίαν θεοῦ καὶ γέννημα αὐτοῦ προαιωνίως, ὡς σαφοῦς καὶ ἡμεῖς δοξάζομεν.

Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν, καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. φόβος κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρούς. μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς καὶ ψευδῆ. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. δι' ἐμοῦ βασιλῆς βασιλεύουσιν, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ. οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλὴ καὶ δικαιοσύνη. κρεῖττόν ἐστι καρπίζεσθαι καθ' ἑαυτὸν χρυσίον καὶ λίθον τίμιον πολύ. τὰ δὲ ἐμὰ γενήματα, κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ. ἐν ὁδοῖς

» δικαιοσύνης τῶν πατῶν, καὶ ἐν ὁδοῖς δικαιοσύνης ἀναστρέφομαι, ἵνα μείζων τοῖς
» ἐμὲ ἀγαπῶσιν ὑπάρξω, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν· ἐὰν διαλείπω
» ὑμῖν τὰ καθ' ἡμέραν ὑπομνήματα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἐριθμῆσαι. κύριος ἐ-
» κλίσεμε ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ
» πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι. πρὸ τοῦ προελθεῖν τὰς πη-
» γὰς τῶν ὑδάτων. πρὸ τοῦ ὄρη ἑδραιωθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. κύριος
» ἐποίησε χώρας ἀοικήτους καὶ ἄκρα οἰκούμενα τοῖς ὑπὸ ὐρανόν. ἡνίκα ἡτοίμα-
» ζε τὸν ὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅλως ἀφώριζε ἑαυτῷ θρόνον ἐπ' ἀνέμων. ἡνίκα
» ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλῆς ἐπῆλθε πηγὰς τοῦ ὑπ' ὐρανόν. ἐν ᾧ ἡθέλησε
» τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτῆς. καὶ ὕδατα ὑπερβυσσον σόμα αὐτῆς. ἡνίκα ἰσχυρὰ
» ἐποίει τὰ θεμέλια τῆς γῆς, ἥμην παρ' αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρε. καθ'
» ἡμέραν δὲ ἐφαινόμην ἐν προσώπῳ αὐτοῦ, ἐν παντὶ καιρῷ, ὅτε ἠυφραίνετο τοὺς οἰκου-
» μένους συντελέσας, καὶ ἠυφραίνετο ἐν υἱοῖς ἀνθρώπων. ἢ προελθοῦσα γεννητῶν θεία δὲ
πανάρετος ὐσία, ἢ νοερὰ καὶ προπάτορος τῆς ἀγεννήτου φύσεως εἰκών, ὁ γνήσιος καὶ μο-
νογενὴς τοῦ παντὸς θεοῦ υἱός, πολυώνυμός τις ὤν, καὶ ἀπὸ πλείστων προσρήσεων
θεολογούμενος, τῆς τῆς Σοφίας ὀνόματός τε καὶ προσηγορίας τετίμηται. λόγον δὲ θεοῦ αὐτὸν δὲ φῶς καὶ ζωὴν καὶ ἀλήθειαν, καὶ ὅτι πᾶσι μείζονα
θεοῦ δύναμιν καὶ θεοῦ Σοφίαν προσαγορεύειν μεμαθήκαμεν. εἰ δὴ οὖν τὰ μὴ
χείρονα αὐτὸς προὶ ἑαυτῷ, ὡς ἂν θεοῦ Σοφία ζῶσα καὶ καθ' αὑτὴν ὑφεστῶσα, ἀπὸ
» τοῦ Σοφωτάτου Σολομῶνος διεξέρχεται λέγων, ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλήν,
» καὶ γνῶσιν καὶ σύνεσιν ἐγὼ ἐπεκαλεσάμην. καὶ τοιούτοις ἐπαγόμενα. ἀλλὰ δὲ
» ὡς τὴν τῶν ὅλων διοίκησιν καὶ πρόνοιαν διαδεδεγμένος ὑπὸ φέρει, δι' ἐμοῦ βασι-
» λεῖς βασιλεύουσι καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι' ἐμοῦ μεγιστᾶνες με-
» γαλύνουσι. εἶτα εἰπὼν μνημονεύσειν τὰ ἐξ αἰῶνος, ἐπάγει λέγων, κύριος ἔκλισέ με
» ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τῶν αἰῶνος ἐθεμελίωσέ με. δι' ὧν ὁμοῦ καὶ
» γεννητὴν ἑαυτὸν, οὐχὶ δὲ τὸν αὐτὸν ὄντα τῷ ἀγεννήτῳ διδάσκει. πρὸ πάντων αἰῶνος
οὐσιωμένον, ἀπεμελίου δὲ τὸν τῶν γεννητῶν ἁπάντων πρόβλημα. ὅθεν ὃν
θεῖον ἀπόσταλον εἰκὼς ὁρμώμενον πρὸς αὐτοῦ φαίνει, ὃς ὄντι εἰκὼν τοῦ ἀοράτου, πρω-
τότοκος πάσης κτίσεως. ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τῷ οὐρανῷ, καὶ τὰ
» ὑπὸ τῆς γῆς. πρωτότοκος μὲν γὰρ πάσης ἀνείρηται κτίσεως, ᾧ ὁ, κύριος ἔκλισέ
» με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. νοοῖτο δ' ἂν εἰκότως εἰκὼν τοῦ θεοῦ, ὡς ἂν γέν-
νημα τῆς ἀγεννήτου φύσεως ἰυγχρώων. τοῦτο δὲ οὕτω ἐν τοῖς μὴ χείρας ὁμολογεῖ,
» δι' ὧν φησι, πρὸ τοῦ ὄρη ἑδραιωθῆναι, καὶ, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.
ἐνθεν αὐτὸν υἱὸν μονογενῆ, καὶ πρωτότοκον τοῦ θεοῦ λόγον ἀναγορεύομεν τὸν αὐ-
τὸν ὄντα τῇ ἐνεργούσῃ Σοφίᾳ. ὅπως δὲ γέννημα θεοῦ αὐτὸν εἶναι φαμὲν, ἰδίας δὴ
δεῖσθαι ἐξετάσεως. ἐπεὶ μήτε κατὰ πρόβολὴν, μήτε κατὰ ἀφαίρεσιν, ἢ διαίρεσιν, ἢ
μείωσιν, ἢ τομὴν, ἢ καθόλου ὅλως τῶν ὑπὸ τῆς ἀπτῆς γενέσεως ὑποτελουμένων, τὸ
ἀπόῤῥητον αὐτοῦ γενεσιουργίαν ὑπονοοῦμεν. οὐδὲ γὰρ θέμις τῶν ἐν γενητοῖς ἴσιν τὸ
ἀῤῥητον καὶ ἀκατονόμαστον αὐτοῦ γενέσιν τε καὶ οὐσίωσιν ἀφομοιοῦν, οὐδὲ ἵνα τῶν
ὑπερκόσμων καὶ ἀπτῶν ἀδαδοκήσῃ αὐτῷ εἰκόνα. ἐπεὶ μηδὲ κατὰ πρὸς ἡμῶν τῶν
ζώων γενέσεως, οὐσίαν δὲ οὐσίας κατὰ πάθος ἢ διαίρεσιν, μείωσιν καὶ χωρισμὸν ἐκ τοῦ

παθοῦς

πατρὸς προεληλυθέναι τὸν υἱὸν φάναι ὅσιον. ἀμερὲς γὰρ καὶ ἄτομον τὸ θεῖον, οὐ τεμνόμενον, οὐ διαιρούμενον, οὐκ ἐκτεινόμενον, οὐ μειούμενον, οὐ συστελλόμενον, οὐ μεῖζον, οὐ χεῖρον, οὐ κρεῖττον αὐτοῦ γινόμενον, οὐκ ἔχον τὶ ἐν ἑαυτῷ ἕτερόν τι αὐτοῦ, ἵνα καὶ πρόηται τοῦτο. πᾶν γὰρ τὸ ἐν τινι ὄν, ἢ ὡς συμβεβηκὸς, οἷς λευκὸν ἐν σώματι, ἢ ὡς ἕτερον ἐν ἑτέρῳ τυγχάνει, ὡς τὸ ἐν τῇ κυοφορούσῃ κατὰ γαστρὸς κυοφορούμενον, ἢ ὡς μέρος ἐν τῷ ὅλῳ, ὡς ἂν ἐν σώματι χεὶρ ἢ ποὺς, ἢ δάκτυλος, τοῦ παντὸς ὄντα μέρη, ὧν ἀποκοπὴν ἤ τινα τομὴν ἢ διαίρεσιν πεπονθότων, ἀτελὲς καὶ κολοβὸν, ὡς ἂν τοῦ μέρους ἠκρωτηριασμένου, ἀπολέλειπται τὸ πᾶν. ἀλλὰ γὰρ καὶ τὸ εἰκόνι τοιᾷδε καὶ ὁμοιώσει χρῆσθαι ἐπὶ τῆς ἀγεννήτου φύσεως τοῦ τῶν ὅλων θεοῦ, καὶ τῆς τοῦ μονογενοῦς αὐτοῦ καὶ προτοτόκου γενέσεως, πάντων ἂν εἴη ἀσεβέστατον. οὐ τοίνυν ὡς ἕτερον ἐν ἑτέρῳ, ἐξ ἀπείρων καὶ ἀνάρχων αἰώνων ἦν ὁ υἱὸς ἀγεννήτος ἐν τῷ πατρὶ, μέρος ὢν αὐτοῦ, ὃ μεταβληθὲν ὕστερον καὶ κενωθὲν ἐκ τὸς αὐτοῦ γέγονε. τροπῇ γὰρ αὐτῇ ἤδη τοῦτο οἰκεῖον. καὶ δύο γ' ἂν οὕτως ἀγέννητα εἶεν, τὸ προβεβληκὸς καὶ τὸ προβεβλημένον. καὶ τίς ἦν κατάστασις κρείττων, ἆρα ἡ πρὸ τῆς τροπῆς τῆς κατὰ τὴν προβολὴν διαστάσεως; οὔκουν ὡς μέρος ἢ μέγος ἀγεννήτως ἡνωμένον ἀεὶ πρότερον, ἔπειτα δὲ διαστὰν καὶ χωρὶς γενόμενον τοῦ ὅλου, τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς οἷόν τε ἐπινοεῖν. ἄρρητα γὰρ καὶ ἀντίκρυς ἀσεβῆ ταῦτα, ὕλης μὲν ὄντα σωμάτων οἰκεῖα, τῆς δὲ ἀσωμάτου καὶ ἀΰλου φύσεως ἀλλότρια. διὸ κατὰ καιρὸν εἰκότως ἂν τις ἐνταῦθα πάλιν τὸ, τὴν γένεσιν αὐτοῦ τις διηγήσεται, ἀναφθέγξαιτο ἄν. ἐπεὶ καὶ τὴν ἐναντίαν εἰδεῖν οὐκ ἀκίνδυνον, καὶ ἁπλῶς οὕτως ἐξ οὐκ ὄντων γεννητὸν τὸν υἱὸν τοῖς λοιποῖς γεννητοῖς ὁμοίως ἀποφήνασθαι. ἀλλὰ γὰρ υἱοῦ γένεσις, καὶ ἀλλὰ ἡ διὰ τοῦ υἱοῦ δημιουργία. ἀλλὰ γὰρ ὥσπερ ἡ θεία γραφὴ τοτὲ μὲν προτότοκον πάσης κτίσεως τὸν υἱὸν ἀναγορεύει ἐξ αὐτοῦ προσώπου, τὸ, κύριος ἐκτίσέ με, ἀρχὴν ὁδῶν αὐτοῦ φάσκουσα· τοτὲ δὲ γέννημα τοῦ πατρὸς εἶναι λέγει κατὰ τὸ, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με· ταύτῃ καὶ ἡμῖν ἕπεσθαι ὑγιῶς ἂν ἔχοι. καὶ τὸ, πρὸ πάντων αἰώνων εἶναι λόγον ὄντα θεοῦ δημιουργικὸν, καὶ τῷ πατρὶ συνεῖναι, μονογενῆ τε υἱὸν εἶναι τοῦ τῶν ὅλων θεοῦ, ὑπουργόν τε καὶ συνεργὸν τῷ πατρὶ τῆς τῶν ὅλων οὐσιώσεώς τε καὶ διακοσμήσεως γεγεννημένον ὁμολογεῖν. εἰ γὰρ οὖν καὶ ἄλλο τὶ ἄρρητον καὶ ἀκατάληπτον ἡμῖν ἐν τῇ τῶν ὅλων ἀπολέλειπται φύσει, μυρία δὲ τὰ τοιαῦτα, ὁποῖα καὶ τὰ τοῖς θεοφιλέσιν ἐπηγγελμένα τυγχάνει, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, κατὰ τὸν ἱερὸν ἀπόστολον, πολὺ πρότερον πάσης ἐννοίας ἐπέκεινα, ἄρρητα καὶ ἀκατονόμαστα, ἀνεπινόητα τε καὶ ἀνενθύμητα γένοιτο ἂν τὰ περὶ τῆς πρώτης τοῦ μονογενοῦς τοῦ θεοῦ γενέσεως, ἄλλο μηδὲν πλέον ἐχόντων ἡμῶν περὶ αὐτοῦ λέγειν τε καὶ νοεῖν, ἢ, τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; εἰ δέ τις τούτου περαιτέρω χωρῶν τόλμῃ προαχθείη τὰ πάντη ἀπερινόητα ὁρατικοῖς καὶ σωματικοῖς παραβάλλειν ὑποδείγμασι, τάχα ἂν εἴποι τῆς τοῦ πατρὸς ἀγεννήτου φύσεως καὶ τῆς ἀνεκφράστου οὐσίας, ὥσπερ εὐωδίαν τινὰ καὶ φωτὸς αὐγὴν τὸν υἱὸν ἐξ ἀπείρων αἰώνων, μᾶλλον δὲ πρὸ πάντων αἰώνων ὑποστῆναι, γενόμενόν τε συνεῖναι, καὶ συγγενόμενον ἀεὶ τῷ πατρὶ ὡς τῷ μύρῳ τὸ εὐῶδες, καὶ ᾧ φωτὶ τὴν αὐγὴν, ἀλλ' οὐ τοῖς ὑποδείγμασι κατὰ πάντα τρόπον ὁμοίως, ὥσπερ οὖν ἤδη πρότερον εἴρηται. τὰ μὲν γὰρ ἄψυχα σώματα τὸ

© Centre d'Études Supérieures de la Renaissance - Tours

συμβεβηκὸς ἐν ποιότησι κέκτηται· ἥτε γὰρ αὐγὴ σύμφυτος οὖσα τῇ τοῦ φωτὸς φύσει, καὶ οὐσιωδῶς σὺν αὐτῷ ὑπάρχουσα τῷ φωτί, οὐκ ἀν δυνάιτο ἐκτὸς ὑφεστάναι τοῦ ἐν ᾧ ἐστιν· ὁ δὲ γε τοῦ θεοῦ λόγος καθ' ἑαυτὸν οὐσιωται τε καὶ ὑφέστηκε, καὶ οὐκ ἀληθείᾳ σὺν αὐτῷ ἐστὶ πατρί, ἀλλ' ὡς μονογενὴς υἱὸς μόνος τοῦ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένος, ἥτε δυωδία ἀπορρεούσης θείας σωματικῆς τοῦ ἐναποκειμένου, καθ' ἑαυτὴν ἐκτὸς τοῦ προφέροντος αὐτὴν ὃ πλησιάζον πληροῦσα, οὐδὲν ἧττον σωματικὴ οὖσα ἐν αὐτῇ τυγχάνει. οὐ τοιαύτην οὖν ἡμῖν νοηθήσεται ἐπὶ τοῦ προφήτης οὐσιώσεως τοῦ σωτῆρος ἡμῶν. οὐδὲ γὰρ ἐξ οὐσίας τῆς ἀγεννήτου καθά τι πάθος ἢ διαίρεσιν οὐσιωμένος, οὐδέ γε ἀνάρχως συνυπάρχων τῷ πατρί, ἐπεὶ ὁ μὲν ἀγέννητος, ὁ δὲ γεννητός· καὶ ὁ μὲν πατήρ, ὁ δὲ υἱός. προϋπάρχειν δὲ καὶ προϋφεστάναι πατέρα υἱοῦ, πᾶς ὁσιοῦν ὁμολογήσει ἂν. εἰη δ' ἂν τοιαύτη καὶ εἰκὼν θεοῦ, ἀρρήτως πάλιν καὶ ἀνεπιλογίστως ἡμῖν, ζῶντος θεοῦ ζῶσά τις καὶ καθ' αὑτὴν ὑφεστῶσα ἀΰλως, καὶ ἀσωμάτως, ἐκ τοῦ ἀναλίου πηγῆς ἀμιγῶς, ἀλλ' οὐχ οἵα τις πάλιν ἡ πρὸς ἡμῶν εἰκών, ἕτερον μὲν ἔχουσα ὃ κατ' οὐσίαν ὑποκείμενον, ἕτερον δὲ τὸ εἶδος, ἀφ' ὅλων αὐτὸ, εἶδος ὂν, καὶ αὐθυπόστατα τοῦ πατρὸς ἀφομοιούμενος, οὕτω δὲ καὶ ζωτικωτάτη τοῦ παντὸς δυωδία τυγχάνει, ἀρρήτως ἡμῖν πάλιν ἐκ ἀνεπιλογίστως. ἐπεὶ καὶ πάντα ὅσα ἐστὶ θεῖα αὐτὸν ἀγνοεῖ, ἄρρητα δὴ εἴη ἂν θεόφατων φωνῇς, καὶ λογισμοῖς ἀνθρωπίνοις ἀνεπιλόγιστα, κρείττονα λόγον. ἀλλὰ γὰρ ὡς ἡμῖν ἀκούειν φίλον, τοιῶσδε καὶ τὰ λόγια παραδίδωσι· ἢ οὐχὶ ἐκ χριστοῦ δυωδίαν αὐτὸς ἑαυτὸν καὶ τοῖς αὐτοῦ πᾶσι πλησίοις ὁ ἱερὸς ἀπόστολος προσείπεν, ἀφὰ τίνι τῷ χριστοῦ πνεύματος μετέχειν; μύρων τε ἐκ κενωθὲν ὁ εὐαγγέλιος νυμφίος ἐν τοῖς ἁγίοις ἀπορρεῖται; δι' ἃ τοι αὐτοῦ ἐκ κενώσεως τὰ πάντα ὁρατά τε καὶ ἀόρατα, σώματά τε καὶ ἀσώματα, λογικά τε, καὶ ἄλογα μεταχόντα, δικαίως κατηξίωται μετουσίας, καὶ τοῦ θείου λόγου μετείληφε κοινωνίας. τοιαύτης γε τοι ἐνθέου πνοῆς τινι αὐτίληψιν τοῖς τοῦ λογικοῦ αἰσθήσεως μὴ πεπηρωμένοις ὁ σύμπας ἀποδίδωσι κόσμος, ὡς τὰ τῇ φύσει γεώδη καὶ φθαρτὰ σώματα τοῦ αὔλου καὶ ἀκηράτου δυωδίας ἀποπνεῖν, πηγάζοντος μὲν αὐτόθεν τοῦ ὅλων θεοῦ, ὃς τοῦ μονογενοῦς αὐτοῦ λόγου πατὴρ ὢν, αὐθις δὴ εἴη τὸ προφῆναι καὶ κύριον καὶ μόνον ἀληθῶς ἀγαθὸν, ἀγαθοῦ γεννητικόν, δευτερεύοντος δὲ, καὶ ὡς ἂν ἀπὸ προφήτης καὶ ἡγουμένης θείας ὀπὶ χορηγουμένου δὲ υἱοῦ, ὃς καὶ μόνος τοῦ πατρικῆς οὐσίας δυωδία τις ἡμῖν ἀνείρηται δουλεύουσι λογίῳ παιδεύων

» καὶ προϊὰν αὖ, ὅτι δὴ ἀτμὶς ἐστὶ τῆς τοῦ θεοῦ δυνάμεως, καὶ ἀπόῤῥοια τοῦ τοῦ παντοκράτορος δόξης εἰλικρινὴς, καὶ ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ. πλὴν ἀλλὰ ταῦτα ὅπη ἀν τις καὶ θέλοι, ταύτην διδέσθω· ἡμῖν δὲ ἐξαρκεῖ τὰ ἀληθῆ ἐκ ξένου καὶ δυσεβὲς αὖθις ἐπαναλαμβάνειν ῥῆμα, δι' οὗ καὶ τὴν λύσιν ὑπισχόμην τοῖς ἐξητημένοις, πολλάκις ἤδη

» ἐπειπόντες, τὴν γνησίαν αὐτοῦ τίς διηγήσεται; ἀνέφικτος γὰρ ὡς ἀληθῶς, καὶ οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ταῖς πάσης ἐπέκεινα οὐσίας δυνάμεσιν, ἢ τοῦ μονογενοῦς τοῦ θεοῦ τυγχάνει γνῶσις, ὡς σαφῶς καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν

» τοῖς οἰκείοις μαθηταῖς αὐτὸς δὴ ταῦτα μυσταγωγῶν, οὐδεὶς ἔγνω, φησὶ, τὸν πατέρα, εἰ μὴ ὁ υἱός. ᾧ καὶ ὑπιλέγει, καὶ οὐδεὶς ἔγνω τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ. ἀγνώσου τοίνυν

» ὁμοίως τῆς τε περὶ τοῦ παντὸς καὶ τῆς περὶ τοῦ υἱοῦ θεολογίας τοῖς πᾶσι, πλὴν αὐ-

τοῖς

τοῖς τυγχανούσης, ὡς ἐν ἀποῤῥήτοις ἐν ταῖς παρατεθείσαις τοῦ Σολομῶντος λέξε-
» σι, τῆς σοφίας ἀκουστέον λεγούσης, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πλασθῆναι τὴν
» γῆν, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. ἔτι δέ φησι συμπαρεῖναι τῷ πατρὶ τὸν
» οὐρανὸν κατασκευάζοντι· ἡνίκα γοῦν ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐ-
» τῷ. καὶ τὸ ἐξ ἀπείρων δὲ αἰώνων ἀΐδιον τῆς σὺν πατρὶ διαμονῆς ἐμφαίνει οἷς
» ἐπιλέγει, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρε καθ' ἡμέραν.
ἀβύσσους δὲ καὶ πηγὰς ὑδάτων, ὄρη τε καὶ βουνοὺς, καὶ ὅσα ἄλλα κατὰ τὸν τόπον κοινοῖς
ῥήμασιν οἷς ἐπωνόμασται, ἤτοι περὶ τῆς τοῦ κόσμου συστάσεως, ἐκ μέρους τὸ πᾶν δη-
λοῦντος ἀκουστέον, ἢ τροπικώτερον ἐκληπτέον, ταῦτα μεταφέροντα τὰ σημαι-
νόμενα ἐπὶ νοητὰς οὐσίας καὶ θείας δυνάμεις, ὧν πάντων προτότοκος σοφία καὶ
μονογενὴς καὶ προτόγονος τοῦ θεοῦ προϋπέστη λόγος. ὅν τινα χριστὸν ἡμεῖς προσα-
» γορεύομεν, διδασκάλῳ μαθητευόμενοι τῷ ἀποστόλῳ λέγοντι, χριστὸς θεοῦ δύ-
» ναμις, καὶ θεοῦ σοφία. κέκληται δὲ ἐνταῦθα τῷ τῆς σοφίας εἰκότως προσρήματι,
ὡς τοῦ μόνου σοφοῦ πατρὸς τὰς πανσόφους καὶ ἐπιστημονικὰς τῶν ὅλων θεωρίαι τε. *

* καὶ εἴπει πολλά. *

ἐν δὲ τῷ δευτέρῳ, σκήπτρῳ βασιλικῷ τιμᾷ. ἐν δὲ τῷ τρίτῳ, τὴν κατ' ἀρετὴν
αὐτῷ τελείωσιν μαρτυρεῖ. εἶτ' ἐπὶ τούτοις αὐτὸν δὴ τοῦτον τὸν θεὸν καὶ βασιλέα κε-
χρίσθαι πρὸς τοῦ ἀνωτάτου διδάσκει θεοῦ, καὶ ταύτῃ γὲ χριστὸν γεγονέναι. τί γὰρ ἂν
καὶ ὀνομάσαιτό τις τὸν μὴ ὑπ' ἀνθρώπων μὲν, ὑπ' αὐτοῦ δὲ τοῦ ἐπὶ πάντων
» θεοῦ κεχρισμένον; ἐπὶ τούτῳ γοῦν φησιν, ὦ θεὲ, πρὸς τὸν χρισθέντα ἀποτεινόμε-
» νος, ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν. διὰ τοῦτο γὰρ ἔχρισέ σε ὁ θεὸς
» ὁ θεός σου. ὡσεὶ ἔλεγεν ὁ ἐπὶ πάντων θεὸς, ἔχρισέ σε ἔλαιον ἀγαλλιάσεως παρὰ
» τοὺς μετόχους σοῦ. ὥστε οὐδὲ κοινὸν καὶ γεῶδες τὸ δηλούμενον τοῦτο χρίσμα ἦν, οὐδὲ
ὅμοιον τῷ παρὰ μωσεῖ νενομοθετημένῳ φθαρτῆς ἐξ ὕλης κατεσκευασμένῳ, ᾧ
φίλον ἦν τοὺς παλαιοὺς ἑβραίων ἱερέας καὶ βασιλέας χρίεσθαι. ἔνθεν ἡμῖν εἰκότως καὶ
θεὸς ὁμοῦ καὶ χριστὸς ἀνηγόρευται, ὡς ἂν μόνος μὴ δι' ἀνθρώπων, μηδ' ἐξ ἀνθρώ-
πων, πρὸς αὐτοῦ δὲ τοῦ τῶν ὅλων ποιητοῦ, τῆς ἐνθέου χαρᾶς καὶ ἀγαλλιάσεως ἀ-
σωμάτῳ καὶ θεοπρεπεῖ χρίσματι κεχρισμένος. διόπερ ἐνδίκως μόνος ἀγαθῶς καὶ
κυρίως παρὰ τοὺς ὀνομαζομένους αὐτοῦ μετόχους χριστὸς ἂν ἀναγορευθείη. οἱ μέτο-
» χοι δὲ αὐτοῦ τίνες ἂν εἶεν, ἢ οἱ οἷοί τε λέγειν, μέτοχοι γὰρ γεγόναμεν χριστοῦ; περὶ ὧν
» εἴρηται, μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
καὶ δὴ πεφηνότος διὰ τούτων σαφῶς τοῦ χριστοῦ ἀγαπητοῦ καὶ θεοῦ καὶ βασιλέως,
ὥρα σὲ ζητεῖν, ὁ τηλικοῦτος πῶς ἐχθροὺς ἔχειν λέγεται, καὶ τίνας καὶ δι' ἣν αἰτίαν, καθ'
ὧν τὰ ἑαυτοῦ βέλη καὶ τὴν ἑαυτοῦ ῥομφαίαν ἠκονήσατο, ὅπως τὲ οὐ δι' ὁπλητικῆς
παρατάξεως, ἀλλ' ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης μυρίους ὑπηγά-
γετο ἑαυτῷ λαούς. ζητοῦντας δὲ ἀκριβῶς ταῦτα, καλῶς ἂν ἔχοι μεταφέρειν αὐτὰ
ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἰησοῦν τὸν χριστὸν τοῦ θεοῦ, ἀνατρέχοντα ἐπὶ τὰ
διεξωδευμένα περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ παρόδου, καθ' ἣν τὰς ἐχθρὰς καὶ ἀορατοὺς
δυνάμεις τῶν μοχθηρῶν καὶ λυμαντικῶν δαιμόνων, τῶν τε πονηρῶν καὶ ἀκαθάρ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

των πνευμάτων ἐπωσάμενος, μυρίους ὅσους ἑαυτῷ λαοὺς ἐξ ἁπάντων τῶν ἐθνῶν συνεκτήσατο· ὃν καὶ χείρονα ἀληθῆ προσήκει νῦν θεοῦ ἐνθεῦθεν ἀναγορεύειν, οὐ καινῷ μὲν βλάβῃ τῶν πάλαι συνήθως χειμένων, οὐδὲν οἶμαι ἧττον τι περὶ αὐτῶν
" τοιοῦτον, κρείττονι δὲ ἢ ἐνθέῳ χείσματι, πρὸ ὀλίγου καὶ Δαβὶδ ἠσαΐου φησὶ, πνεῦμα
" κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. ὅθεν ἢ μᾶλλον ἁπάντων τῶν πώποτε πρὸς ἑβραίοις χρηματικώτερον χειμένων, μόνος αὖ πᾶσιν τοῖς οἰκουμένῃ χεισὸς προσκεῖται, καὶ τοῖς πᾶσι βεβόηται, καὶ ἧς ἐξ αὐτοῦ χεισιανοὶ προσηγορίας τῷ σύμπασιν ἐπλησεν οἰκουμένην. ὅπως δὲ φαμὲν αὖθις κεχρίσθαι, καὶ τίς ὁ τοῦ χρίσματος τρόπος, αὐτάρκως ἐν τοῖς προκειμένοις συγκεφάλαιωται διηγήσαμεν. τούτου δὲ ἐν τοῖς χείλεσι καὶ ἐν τῇ διδασκαλίᾳ τοσαύτη κατεχύθη χάρις, ὡς ἐν ὀλίγῳ πρώτα τόπον ἐμπλῆσαι τῆς τοῦ αὐτοῦ καταγγελτικῆς δυσεβείας· ὥστε ἤδη ἐν πᾶσιν ἔθνεσι, πρὸ δὲ τοῖς τοῦ διδασκαλίαν αὐτοῦ μετιοῦσιν, ἀκολούθως τῇ μετ' χείρας προφητείᾳ, τοῦ βασιλέως τοῦ θεοῦ δόξαν προβεβλῆσθαι, καὶ πρὸ πάσιν ἀνθρώποις χεισὸν ἀναγορεύεσθαι. προδήλοι δὲ καὶ οἱ ἐχθροὶ οὐ μόνον οἱ πρὶν γεγονότες αὐτοῦ, ἀλλὰ καὶ οἱ ἀεὶ προσπολεμοῦντες αὐτοῦ τῷ λόγῳ, εἴτε ἐν ἀνθρώποις, εἴτε καὶ ἐν ἀοράτοις δυνάμεσιν, οἷς ἀοράτῳ καὶ λεληθυίᾳ δυνάμει πάντοτε καθαιρῶν ἐξ ἁπάντων τῶν ἐθνῶν, πανταχοῦ λαοὺς ἑαυτῷ χειρίους πεποίηται. τὰ δὲ ἑξῆς
" ἐν τῷ ψαλμῷ, σμύρνα, καὶ κασσία ἀπὸ τῶν ἱματίων σου, τάδε ὅτι τοῦτοις, ὡς περὶ βασιλίδος δηλούμενα καὶ θυγατρὸς τὸν πατρῷον οἶκον ἀπολιπούσης, καὶ τῷ προδηλωθέντι χεισῷ καὶ βασιλεῖ καὶ θεῷ νυμφευθείσης, κυρίου τε αὐτὸν ἀναγορευούσης, ὅτι τοὺς ἐξ ἐθνῶν ἐκκλησίαν, τὴν πατρῴαν καὶ δαιμονικὴν ἀποτραφεῖσαν πλάνην, καὶ θηριώδη βίωσιν τε, καὶ τὴν τοῦ θείου λόγου κοινωνίᾳ καθαρμοσαμένην, ἀναφέρειν αὖ τοῖς προσκοῦσης συγχώρησιν καὶ σχολὴν ἐρμηνεύσας.

> Ὡς ὁ αὐτὸς προφήτης καὶ ἑτέρωθι ψαλμῷ δύο κυρίους ἐμφανῶς ὁμολογεῖ· ἕνα, ὃν πρόσω καὶ ἀνωτάτω θεὸν, δεύτερον, ὃν αὐτὸς ἑαυτῷ ἀναγορεύει κύριον, καὶ ὡς γνήσιον τοῦ τοῦ θεοῦ προτέρου καὶ ὑπερκοσμίου συσάσεως καὶ αὐτὸς τὸν δεύτερον κύριον οἶδε, καὶ ὡς αἰώνιον τοῦ παντὸς ἱερέα, καὶ ὡς στερεόθρονον τοῦ ὄντι πάντων θεοῦ, ὁμοία ἡμῖν περὶ τοῦ χεισοῦ δοξάζων.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ σιὼν, καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν σου. μετά σου ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε. ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ. κύριος ἐκ δεξιῶν σου. τὸν σωτῆρα καὶ κύριον λέγων, τὸν προφήτην πάσης κτίσεως θεοῦ λόγον, τὸν προαιώνιον σοφίαν, τὴν ἐμψυχὸν τῶν ὁδῶν τοῦ θεοῦ, ὃ προφητικὸν καὶ μονογενὲς τοῦ παντὸς γέννημα, τὸν τῆς κτίσεως πρωτόγονον προσηγορίας, καὶ ὁ πρὸ ἑωσφόρου ψαλμὸς κύριον ἀποκαλεῖ, διδάσκων αὐτὸν εἶναι στερεόθρονον ὁμοῦ καὶ ὑπὸν τοῦ ὄντι πάντων θεοῦ τε καὶ κυρίου τῶν ὅλων, αἰωνίου τε τοῦ παντὸς ἱερέα. προφητικὸν δὴ οὖν ὑπάρχειν ὡς ἤδη τοῦτο δεύτερον γέννημα θεοῦ προσηγόρευται. καὶ ἐπεὶ θεοῦ γε πνεύματι τὰ τῆς προφητείας ἡμῖν εἰρῆσθαι πεπίστευται, ὅρα εἰ μὴ αὐτὸ δὴ τὸ

δὴ τὸ ἐν τῷ προφήτῃ πνεῦμα ἅγιον, ἑαυτοῦ κύριον δεύτερον μετὰ τὴν τῶν ὅλων ἀνα-
» γορεύει. εἶπε γὰρ φησιν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. τὴν πρῶ-
τον κύριον, ὡς ἂν καθόλου τῶν ἁπάντων δεσπότην, ἑβραῖοι ἀνεκφωνήτῳ προσ-
ρήσει τῇ διὰ τῶν τεσσάρων στοιχείων ἀνηγόρευον· τὸν δὲ δεύτερον οὐκέτι ὁμοίως,
ἰδίως δ' αὐτὸν κύριον ὠνόμαζον. εἰκότως οὖν ὁ σωτὴρ καὶ κύριος ἡμῶν αὐτὸς ἰησοῦς
» ὁ χριστὸς τοῦ θεοῦ, ἐρόμενός ποτε τοὺς φαρισαίους, τί ὑμῖν περὶ τοῦ χριστοῦ δοκεῖ, τί-
» νος ἐστὶν υἱός; εἰπόντων, τοῦ δαβὶδ, ἐπιλέγει, πῶς οὖν δαβὶδ ἐν πνεύματι κύριον
» αὐτὸν καλεῖ λέγων, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; μονονουχὶ ἑρ-
μηνεύων τὴν λέξιν, ὡς οὐ μόνον τοῦ δαβὶδ κύριον αὐτὸν ἀναγορεύουσαν, ἀλλὰ
γὰρ καὶ τοῦ ἐν τῷ προφήτῃ πνεύματος. εἰ δὲ τὸ πνεῦμα τὸ προφητικὸν, τοῦτο δὴ
ἡμῖν εἰς πεπίστευται τὸ ἅγιον πνεῦμα, ὁμολογεῖ τοῦτον εἰς κύριον, ὃν σύνθρονον
εἰς τοῦ πατρὸς ἐκδιδάσκει, καὶ οὐκ ἀπολύτως ἀλλὰ καὶ ἑαυτοῦ κύριον, κατὰ πολὺ
πλέον καὶ μᾶλλον τοῦτ' ἂν εἴποιεν αἱ μετὰ τὸ ἅγιον πνεῦμα, λογικαὶ δυνάμεις, ἥ
τε σύμπασα ὁρωμένη τε ἐν σώμασι καὶ ἐν ἀσωμάτοις ἑστῶσα δημιουργία, ἧς ἁ-
πάσης εἰκότως ἂν καταδειχθείη κύριος ὁ μόνος τοῦ πατρὸς σύνθρονος, δι' οὗ τὰ σύμ
» παντα ἐγένετο, ὅτι δὴ, κατὰ τὸν θαυμάσιον ἀπόστολον, ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα,
» τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ, εἴτε ἀόρατα. μόνον γοῦν εἰκὸς αὐ-
τὸν τῆς τοῦ πατρὸς ὁμοιώσεως ἔχειν τὸ κῦρος, ὡς ἂν τὸ μόνον σύνθρονον τοῦ πατρὸς
ἀναδεδειγμένον. πρόδηλον οὖν ὅτι οὐδενὶ τῶν γενητῶν θέμις, τῶν δεξιῶν λα-
χεῖν τῆς παντοκρατορικῆς ἀρχῆς τε καὶ βασιλείας, εἰ μὴ ἄρα ἑνὶ μόνῳ τῷ διὰ
τῶν προκειμένων ποικίλως θεολογουμένῳ. ἐπίστησον οὖν ὡς πρὸς ἕνα καὶ τὴν αὐτὸν
ὁ ἀνωτάτω καὶ ἐπὶ πάντων κύριος, καὶ τὴν, κάθου ἐκ δεξιῶν μου, δωρεῖται φω-
νὴν, καὶ τὴν, πρὸ ἑωσφόρου γεγέννηκά σε. μετὰ ὅρκου δὲ διαβεβαιώσεως ἄσειστον καὶ
ἀπαράβατον αὐτῷ τὴν τιμὴν τῆς εἰς ἄπειρον αἰῶνα διαρκοῦς ἱερωσύνης, παρα-
» δίδωσιν, ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς αἰῶνα. τίς δ' ἂν ἐπι-
νοοῖτο; οὔτι δὴ θνητὸς ἀνὴρ, ἀλλὰ οὐδὲ τῆς ἀγγελικῆς φύσεως, ὑπὸ θεοῦ μὲν γεγενη-
» μένος, εἰς αἰῶνα δὲ ἱερωμένος· ὁ καὶ ἐν τοῖς πρόσθεν εἰπὼν, κύριος ἔκτισέ με ἀρχὴν
» ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ ὄρη
» ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. καὶ πρόσχες δὲ ἐπιμελῶς τὸν
νοῦν ἐπιστήσας τῷ τε πρόντι ψαλμῷ, καὶ ταῖς ἐν τῷ πρὸ τούτου παρατεθείσαις
φωναῖς. ἐν μὲν γὰρ τούτῳ ὁ ἀνωτάτω θεὸς σύνθρονον, τὸν δεύτερον καὶ ἡμῶν κύ-
ριον, ἑαυτοῦ καθίστησι λέγων, κάθου ἐκ δεξιῶν μου. ἐν δὲ τῷ πρὸ τούτου τὸν θρό-
νον εἰς αἰῶνα αἰῶνος διαμένειν ὁ λόγος ἔφησεν, ὁμοῦ θεὸν αὐτὸν ἀναγορεύων δι' ὧν
» φησιν, ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πάλιν ἐν μὲν τῷ μετὰ χεῖρας, ῥάβδον
» φησὶν, δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ σιών· ἐν δ' ἐκείνῳ, ῥάβδος εὐθύτη-
» τος, ἡ ῥάβδος τῆς βασιλείας σου. καὶ αὖθις ὁ μὲν πρῶν φησιν, κάθου ἐκ δεξιῶν μου, ἕως
» ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου, καὶ κατακυριεύσεις ἐν μέσῳ τῶν ἐχθρῶν
» σου· ὁ δὲ πρόσθεν, τὰ βέλη σου ἠκονημένα, δυνατὰ ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βα-
» σιλέως. οὐκοῦν καὶ τὰ περὶ τῶν ἐχθρῶν τοῦ δηλουμένου ἐν ἀμφοτέροις συνᾴδει. τίς
δῆτα οὖν ὀφθαλμοῖς ὁρῶν ἐν μέσαις τοῦ πόλεσιν, ἔν τε κώμαις καὶ χώραις, καθ' ὅλης
τε τῆς οἰκουμένης ἀνθούσας τὰς τοῦ σωτῆρος ἡμῶν ἐκκλησίας, τούς τε πρὸς αὐτοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

κυκλουμένους λαούς, καὶ μυριάνδρα πλήθη τῶν αὐτῷ καθωσιωμένων πόντα χόθεν καὶ τῶν ὁρωμένων τὲ καὶ ἀοράτων τε καὶ ἀφανῶν ἐχθρῶν καὶ πολεμίων τῆς τοῦ χριστοῦ διδασκαλίας κυκλούμενα, οὐκ αὖ θαυμάσῃ τὸν πρόντα
» χρησμὸν εἰς τοσοῦτον ἀναφωνηθέντα τοῦ θεσπιζομένου, ὃ, καθάπερ ἐν μέ-
» σῳ τῶν ἐχθρῶν σε. καὶ ἐπειδήπερ ἐν τῷ τοιούτῳ κειμένῳ ὦ βασιλεῦ τὸ ἀγαλλιάσεως τοσοῦτόν τοις μετόχοις σε, ἱερέων δὲ οἰκεῖον καὶ πρὸ ἑταίροις ὃ χρίεται, εἰκότως ὁ μὴ χειροῖς ἤδη καθυπέρτερον ἱερέα αὐτὸν ὑπαφηρίζῃ, πλείονα τοσοῦτοις τοῖς αὐτοῦ διδασκαλίαν, δι' ἧς μόνον αὐτὸν τοσοῦτόν τοις πώποτε αἰώνιον ἱερέα εἶναι παιδεύῃ, ὅταν τοσοῦτον μιᾷ δυνάμει τοῦ πατρὸς φύσει δυνατὸν ἐφαρμόζειν. καὶ τινὰ τάξιν μελχισεδὲκ ἱερᾶσθαί φησιν αὐτόν, τοσοῖς δυτιδιαφερόντως τῆς καὶ τινὰ μωσέως διάταξιν ἱερέως, ἤτοι τῆς ἀαρὼν, ἢ καί τινος τῶν ἐξ ἐκείνου, ὧν ἕκαστος μὴ ὢν τοσοῦτος ἱερεὺς, ὕστερον πολὺ δι' ἄνθρωπον ἀμοιφῆ τινι σκιαζῇ χρώμενος, ὡς ἐν τύποις εἰπεῖν καὶ συμβόλοις, σκιώδης τις καὶ εἰκονικὸς χριστὸς ἀπετελεῖτο, ἀμυδρὰ δ' ἄττα ἀπηχὼν οὐκ εἰς μακρὸν ἀπεδείκνυτο τοῦ ἱεροσυλίου. καὶ τοσοῦτο μὴ τῶν ἰουδαίων μόνων ἱερᾶτο λαοῦ, οὐ μὴν δ' τοσοῦτοις ἔθνεσιν. ἀλλὰ σοῦτε μετ' ὁρκωμοσίας θεοῦ ὅπῃ τὴν λειτουργίαν πρήσσῃ, χρίσει δὲ αὖ ἀνθρώπων τιμώμενος, ὡς καὶ πολὺ μὴ ἄξιον διείσκειν ἐν αὐτοῖς τὴν θεοῦ θεραπείας, οἷος ἀναγέγραπται ὁ ἡλεί. ἔτι τοσοῦτοις τούτοις ὁ παλαιὸς σκῆνος ἱερεὺς ὁ κατὰ τὴν μωσέως διάταξιν, ἐκ μόνης ἐξεκρίνετο φυλῆς τὴν λευϊτικήν· ἔθνη δὲ ἐξ ἁπάντων τοσοῦτος ὅλου ἀνδρὸς διαδοχῆς αὐτὸν φέρειν, θύμασί τε ζώων ἀλόγων καὶ αἵμασι, σωματικῇ γε λατρείᾳ θεραπεύειν τὸ θεῖον. ὁ δὲ μελχισεδὲκ ὠνομασμένος, ὃ μεταλαμβάνεται εἰς τὴν ἑβραΐδα φωνὴν, βασιλεὺς δικαιοσύνης, ἔπειτα βασιλεὺς Σαλήμ, ὅ καὶ αὐτὸ δὴ εἴη βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, οὔτε ἔχων, κατὰ τὴν ἰσοτιμίαν, οὔτε ἀρχὰς ἡμερῶν, οὐ ζωῆς τέλος, ἀλλ' οὐδὲ κοινόν τι φέρων τοσοῖς τοῦ τῆς τοῦ ἀαρὼν ἱεροσύνης τύπον. οὔτε γὰρ ἀπὸ ἀνθρώπων ἤρτο, οὐκ ἑαυτῷ σκιαστῷ κέχρηστο, οὐ γένους ἕως τῶν μηδὲ φανέντων πω· καὶ ὃ πρώτων γε τοσοδοξότατον, ὅτι μηδὲ τῷ σώματι τοσοτέτμητο, καὶ ὅμως τὸν ἀβραὰμ ἐλόγει, ὡς αὖ πολὺ κρείττων αὐτοῦ τυγχάνων, ἀλλὰ οὐδὲ θυσίας καὶ σπονδῆς ὑψίστῳ ἱερᾶτο θεῷ, οὐδὲ μὴν τοσὰ τὰ ἐν ἱεροσολύμοις ναῷ τὴν λειτουργίαν ἐξετέλει. πῶς γὰρ, ὧ μηδὲ ὄνυξι; εἰκότως οὖν ἐπεὶ καὶ τὰ ἡμετέρῳ σωτῆρι ὧ χριστῷ, οὐδὲν μὴν τῶν ἀαρὼν ἐμφερὲς ἔμελλεν συμβήσεσθαι, οὔτε γὰρ μὴ ὢν τοσοῦτος, ὕστερον ποτ' ἱερεὺς ἀναδέδεικται, καὶ ἱερεὺς οὐ νόμου
» μόνου, ἀλλὰ ὢν. τοσοσκτέον γὰρ ὑπομνᾶσαι ὧ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. οὐ γὰρ ἔσῃ φησὶ μὴ ὢν πάλαι, ἀλλ' οὐσὶ ἦθελεν πάλαι, νεῶ δὲ οὐ· ἀμυδρὰ τοσοδὲ ὅ φησόμενος
» ἐγώ εἰμι ὁ ὤν, σὺ εἶ, καὶ ἱερεὺς εἰς τὸν αἰῶνα σκοτεινῶς. ἐπεὶ οὖν οὔτε ἀπὸ χρόνου τὴν ἱεροσύνης ἀπήρξατο, οὔτε ἐκ φυλῆς ἱερωμένων ὁ χριστὸς, οὐδὲ κατὰ σκιαστοῦ καὶ σωματικοῦ νόμου κέχρηστο, οὐδὲ τέλος ἔξῃ ἔμελλε τὴν ἱεροσύνης, οὐδὲ μόνοις ἰουδαίοις, ἀλλὰ καὶ πᾶσιν ἔθνεσι καταπέμπεσθαι, τούτων ἕνεκα πρώτων εἰκότως αὐτὸν τῆς μὲν κατὰ τὸν νόμον ἀρχῶν λειτουργίας ἀπαλλάττῃ, κατὰ τὴν τάξιν δὲ μελχισεδὲκ ἱερέα φησὶν ἔσεσθαι. καὶ τόγε ἀποτέλεσμα τοῦ χρησμοῦ θαυμάσιον, σωζομένου ὅπως ὁ σωτὴρ ἡμῶν ἰησοῦς ὁ χριστὸς τοῦ θεοῦ, ὃ τοῦ μελχισεδὲκ τύπῳ κατὰ τὴν ἐν ἀνθρώποις ἱερουργίας εἰσέτι καὶ νεῶ σκιὰ τῶν αὐτοῦ θεραπευτῶν ὑπετέλει. ὡσαύτως γὰρ

γὰρ ἐκ ἑνὸς ἱερεὺς ἐθνῶν τυγχάνων, οὐδαμοῦ φαίνεται θυσίαις σωματικαῖς κεχρη-
μένος, οἴνῳ δὲ μόνῳ καὶ ἄρτῳ τὸν ἀβραὰμ εὐλογῶν, τὸν αὐτὸν δὴ τρόπον πρῶτος
μὲν αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἔπειτα οἱ ἐξ αὐτοῦ πάντες ἱερεῖς ἀνὰ πάντα τὰ
ἔθνη τὴν πνευματικὴν ἐπιτελοῦντες κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ἱερουρ-
γίαν, οἴνῳ καὶ ἄρτῳ, τοῦτε σώματος αὐτοῦ καὶ τοῦ σωτηρίου αἵματος αἰνίττονται τὰ
μυστήρια, τοῦ μελχισεδὲκ ταῦτα πνευματικῶς θείῳ προτεθεωρηκότος, καὶ τῶν μελ-
» λόντων ταῖς εἰκόσι προκεχρημένου, ὡς ἡ μωσέως γραφὴ μαρτυρεῖ, λέγουσα, καὶ
» μελχισεδὲκ βασιλεὺς σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑ-
» ψίστου, καὶ εὐλόγησε τὸν ἀβραάμ. εἰκότως οὖν καὶ μετὰ ὅρκου παραλήψεως μό-
» νῳ τῷ δηλουμένῳ ὤμοσε κύριος ὁ θεὸς, καὶ οὐ μεταμεληθήσεται, σὺ εἶ, λέγων, ἱερεὺς
» εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν μελχισεδέκ. ἐπάκουσον δὲ οἷα καὶ περὶ τῶν δὲ ὁ ἀ-
» πόστολός φησιν, ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις
» τῆς βασιλείας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, ἵνα διὰ δύο
» πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν, ἰσχυρὰν παρά-
» κλησιν ἔχωμεν οἱ προκαταφυγόντες, κρατῆσαι τῆς προκειμένης ἐλπίδος. καὶ
» ἐπιφέρει λέγων, καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύε-
» σθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν αὐτὸν, ἀπαράβατον ἔχει τὴν ἱεροσύνην. ὅθεν
» καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε
» ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. τοιοῦτος γὰρ ἡμῖν καὶ ἔπρεπεν ἀρχιερεὺς, ὅ-
» σιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν
» οὐρανῶν γενόμενος. καὶ ἐπιλέγει, κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, τοιοῦτον ἔχο-
» μεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, τῶν ἁγίων λει-
» τουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ κύριος οὐκ ἄνθρωπος. ταῦτα
μὲν ὁ ἀπόστολος. ὁ δὲ ψαλμὸς ὑποβὰς, καὶ τὸ πάθος ἐπικεκαλυμμένως τοῦ προ-
» φητευομένου δηλοῖ, λέγων, ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κε-
» φαλήν. χείμαῤῥον δὲ τὸν καιρὸν τῶν πειρασμῶν καὶ ἀλλὸς δηλοῖ ψαλμὸς λέγων,
» χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπό-
» στατον. ἐν τῷ χειμάῤῥῳ τοίνυν πίεται, φησὶ, τὸ ποτήριον δηλονότι, ὁ ἠνίττετο πρὸς
» τῷ καιρῷ τοῦ πάθους, λέγων, πάτερ εἰ δύνατον, παρελθέτω τὸ ποτήριον τοῦτο
» ἀπ' ἐμοῦ. καὶ πάλιν, εἰ μὴ δυνατόν ἐστιν αὐτὸ παρελθεῖν, ἐὰν μὴ αὐτὸ πίω, γενη-
» θήτω τὸ θέλημά σου. τοῦτο δὴ οὖν ἐκπιὼν τὸ ποτήριον, ὕψωσε κεφαλὴν, καὶ κατὰ
» τὸν ἀπόστολον, ἐπεὶ γὰρ γέγονεν ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ
» σταυροῦ, διὰ τοῦτό, φησιν, ὑπερύψωσεν αὐτὸν ὁ θεὸς, ἐγείρας αὐτὸν ἐκ τῶν νεκρῶν,
» καὶ καθίσας αὐτὸν ἐν δεξιᾷ αὐτοῦ, ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνά-
» μεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τού-
» τῳ, ἀλλὰ καὶ ἐν τῷ μελλόντι. καὶ πάντα ὑπέταξε, φησὶν, ὑπὸ τοὺς πόδας αὐτοῦ, κατὰ
» τὴν πρὸς αὐτὸν ἐπαγγελίαν, ἣν διὰ τοῦ ψαλμοῦ παρίστησι, λέγων, κάθου ἐκ δε-
» ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου. κατακυρίευε ἐν
» μέσῳ τῶν ἐχθρῶν σου. πρόδηλον παντὶ ὡς ἔτι νῦν ἡ τοῦ σωτῆρος ἡμῶν δύνα-
μις, καὶ ὁ τῆς διδασκαλίας αὐτοῦ λόγος, ἐν μέσοις τοῖς ἐχθροῖς καὶ πολεμίοις αὐτοῦ καὶ
τῶν πεπιστευκότων εἰς αὐτὸν ἁπάντων, κατακυριεύει.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ως καὶ ἡσαΐας προφητῶν μέγιστος σαφῶς οἶδε θεὸν ἐν θεῷ εἶναι, λέγων ὁμοίως ἡμῖν δοξάζουσι πατέρα ἐν υἱῷ, καὶ υἱὸν ἐν πατρί.

Ἐγὼ κύριος ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς· ἐγὼ τῇ χειρίμου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην, ἐγὼ ἤγειρα τὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε κύριος σαβαώθ. τέως μὲν ταῦτα ὁ τῶν ὅλων ποιητὴς θεὸς περί τινος βασιλέως καὶ σωτῆρος μέλλοντος οἰκοδομεῖν τὸ τῆς εὐσεβείας πολίτευμα, λυτρωσάσθαι τὴν ἐπισυμβᾶσαν ἀνθρώποις ὑπὸ τῆς δαιμονικῆς πλάνης αἰχμαλωσίαν διὰ τοῦ προφήτου θεσπίζει. ἑξῆς δὲ τούτοις τὸ προφητικὸν πνεῦμα τὴν ὑποταγὴν τῶν ἀλλοφύλων ἐθνῶν αἰνίττεται, ἣν ὑποταγήσονται τῷ προφητευομένῳ, καὶ ὡς προσκυνήσουσιν αὐτῷ οἷα θεῷ οἱ ὑποταγησόμενοι, καὶ ὡς προσεύξονται ἐν αὐτῷ, διὰ τὸ μείζονα κατοικεῖν ἐν αὐτῷ θεὸν, τὸν ἀνωτάτω δηλαδὴ πατέρα καὶ θεὸν τῶν ὅλων. τὰ δὲ τῆς λέξεως οὕτως ἔχει, οὕτω λέγει κύριος, ἐκοπίασεν αἴγυπτος, καὶ ἐμπορία αἰθιόπων, καὶ οἱ σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπί σε διαβήσονται, καί σοι ἔσονται δοῦλοι, καὶ ὀπίσω σοῦ ἀκολουθήσουσι, δεδεμένοι χειροπέδαις, καὶ προσκυνήσουσι νέοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλήν σου. σὺ γὰρ εἶ θεὸς, καὶ οὐκ ᾔδειμεν, θεὸς τοῦ ἰσραὴλ σωτήρ. αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικειμένοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ. ταῦτα μὲν ἡ προφητεία. οὐχ ἡγοῦμαι δὲ ἀντωπήσειν δύνασθαί τινα, κἂν σφόδρα ᾖ ἀγνώμων, ὡς προδήλῳ καὶ σαφεῖ τῆς λέξεως ἐναργῶς οὕτως εἰσαγούσης θεὸν τοῦ ἰσραὴλ σωτῆρα, καὶ ἕτερον ἐν αὐτῷ θεόν. προσκυνήσουσί σοι, φησὶν, οἱ δίκαιοι, καὶ ἐν σοὶ προσεύξονται. ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλήν σου. σὺ γὰρ εἶ ὁ θεὸς καὶ οὐκ ᾔδειμεν. θεὸς τοῦ ἰσραὴλ σωτήρ. τὸ δὲ οὐκ ᾔδειμεν, ἐκ προσώπου τῶν πρὶν αὐτὸν μὴ ἐπεγνωκότων παρὰ μόνοις τοῖς ἑβδομήκοντα εἰρημένον, ἑτέρως εἶχε τὸ ἑβραϊκὸν, ὃ μεταλαβὼν ὁ μὲν ἀκύλας φησί, θεὸς ἄρα ἰσχυρὸς ἀποκρυπτόμενος, θεὸς ἰσραὴλ σώζων. ὁ δὲ θεοδοτίων, διὰ τοῦτο ἰσχυρὸς κρυφαῖος θεὸς σώζων. σφόδρα θαυμαστῶς κρυφαῖον θεὸν, τὸν χριστὸν ὀνομάζει. καὶ τὴν αἰτίαν δὲ δι' ἣν θεὸν αὐτὸν μόνον ὡς ἐν γεννητοῖς μετὰ τὸ πρῶτον καὶ ἀγέννητον ἀποκαλεῖ, σαφῶς ἐκδιδάσκει, τὴν τοῦ πατρὸς ἐν αὐτῷ κατοίκησιν. ἐν τούτῳ γὰρ κατὰ τὴν θεῖον ἀπόστολον, εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι. τοῦτο δηλοῖ φάσκουσα ἡ λέξις, ὅτι ἐν σοὶ ὁ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλήν σου. ἀντὶ δὲ τοῦ, πλήν σου, πλὴν αὐτοῦ, ὁ θεοδοτίων πεποίηκεν, ἵν' ᾖ, οὐκ ἔστι θεὸς πλὴν αὐτοῦ. δηλαδὴ τοῦ ἐν σοὶ θεοῦ. δι' ὃν καὶ σὺ τυχάνεις ὢν θεός. κατὰ δὲ τὸν ἀκύλαν οὕτως ἔχει, πλὴν ἐν σοὶ ἰσχυρὸς, καὶ οὐκ ἔστιν ἔτι παρά σοι, θεὸς ἄρα ἰσχυρὸς καὶ ἀποκρυπτόμενος, θεὸς σώζων. κατὰ δὲ τὸν σύμμαχον, μόνον ἐν σοὶ θεὸς καὶ οὐκ ἔστιν ἔτι, οὐδ' ὑπάρχει θεὸς, ὄντως σὺ θεὸς κρυφαῖος, θεὸς ἰσραὴλ σώζων. δι' ὧν τὸ αἴτιον τοῦ εἶναι θεὸν τὸν χριστὸν τοῦ θεοῦ σαφῶς ὁ λόγος παρέστησεν. ἐπεὶ γὰρ ἐν σοί φησιν ἐστὶ θεὸς, διὰ τοῦτο σὺ θεὸς ἰσχυρὸς καὶ κρυφαῖος. οὐκοῦν διὰ τούτων ὁ μὲν ἀληθὴς καὶ μόνος θεὸς εἷς ἂν εἴη, μόνος κυρίως τυγχάνων τῆς προσηγορίας. ὁ δὲ δεύτερος, μετουσίᾳ τοῦ ἀληθοῦς, τῆς κοινωνίας ἠξίωται, οὔτε ὢν καθ' ἑαυτὸν, οὔτε ὑφεστὼς δίχα τοῦ θεοποιοῦντος αὐτὸν πατρὸς, οὔτ' ἄνευ

τοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τῷ παιδὶ θεολογούμενος, ἀλλ' ὅλον αὐτὸ τοῦτο ὄντε καὶ ζῶν καὶ ὑφεστὼς, ἀφ' ἑνὸς ἐν αὐτῷ πατέρα, συνών τε τῷ πατρὶ, καὶ ἐξ αὐτοῦ, καὶ δι' αὐτὸν θεοποιούμενος, ὃ, τε εἷς θεὸς εἷς σὺν ἐξ ἑαυτοῦ, οὐδὲ δὲ τῷ παιδὶ ἐφικνούς. ἀφ' ἧς μὲν ὃν πατέρα τιμᾷν καὶ αὐτὸν ὡς θεὸν ἐδιδάχθημεν, ἀφ' ἑνὸς ἐν αὐτῷ καὶ οἰκοῦντα θεὸν, ὡς σφῶν αἱ μὲν χεῖρες οὐκ ἐχουσι τελεσφορίαν. ὡς γὰρ ἂν τιμηθείη βασιλέως εἰκὼν ἀφ' ἑνὸς οὐ τοὺς χαρακτῆρας καὶ τῷ ὁμοίωσιν φέρῃ. τιμωμένης δὲ τῆς εἰκόνος, καὶ τῷ βασιλέως αὐτοῦ, εἷς ἂν ὁ τιμώμενος καὶ οὐ δύο. οὐ γὰρ δύο βασιλεῖς, ὅ, τε πρώτος καὶ ἀληθής, καὶ ὁ ὅτι τῆς εἰκόνος τετυπωμένος, εἷς ἐστ' ὁ κατ' ἀμφοτέρων, οὐ μόνον νοούμενος, ἀλλὰ καὶ ὀνομαζόμενος καὶ τιμώμενος· οὕτω δῆτα καὶ ὁ μονογενὴς υἱὸς εἰκὼν ὢν μόνος τοῦ θεοῦ τοῦ ἀοράτου, εἰκότως ἀφ' ὧν οὗ φέρῃ ὁμοίωσιν, εἰκόντε ἀνηγόρευται τοῦ ἀοράτου θεοῦ, θεοποιῆται τε πρὸς αὐτοῦ τοῦ παιδὸς, οὕτω πεφυκὼς τιμῶ οὐσίαν· αὐδ' ἧττόν τε ἀπὸ πρώτης ὑπάρξεως φυσικὴν ἀλλ' οὐκ ἐπίκτητον τιμῶ εἰκόνα τοῦ παιδὸς ἐπαγόμενος. διὸ καὶ φύσει θεὸς ὁμοῦ καὶ μονογενὴς υἱὸς ὢν ἰσχύῃ, ἀ χὶ δὲ ὁμοίως τοῖς ἔξωθεν εἰσποιουμένοις, ὑπισυμβεβηκέναι τὸ ἀξίωμα τοῦ θεοῦ πρωτοτοκείας ἐπέχουσι. πλὴν εἰ καὶ φύσει μονογενὴς υἱὸς καὶ θεὸς λέγοιμεν ἀνθρωπίνῃ ἀναφαίνεται, ἀλλ' οὐχ ὁ πρῶτος θεὸς, πρῶτος δὲ τοῦ θεοῦ μονογενὴς υἱὸς καὶ διὰ τοῦτο θεός. καὶ ὅλον γὲ τοῦτο αἴτιον ἂν εἴη τοῦ καὶ αὐτὸν εἶναι θεὸν, ὃ μόνον εἶναι φύσει τοῦ θεοῦ υἱὸν, καὶ μονογενῆ χρηματίζειν, καὶ ὃ δι' ὅλου σώζειν τοῦ μόνου θεοῦ τὸν ἔμψυχον καὶ ζῶσαν νοερὰν εἰκόνα, καὶ πάντα ὡς πατρὶ πρωτοτοκούμενον, καὶ τῆς θεότητός τε αὐτῆς τὴν ὁμοίωσιν ὑποφερομένων. ταύτην διαφορὰν καὶ αὐτὸν ὡς ἂν μόνον υἱὸν καὶ μόνον εἰκόνα ὄντα τοῦ θεοῦ καὶ τοῦ ἀγεννήτου καὶ ἀνάρχου τοῦ παιδὸς οὐσίας ἀφ' ἁπλοῦ καὶ ὃ ἁπλότητος ὁμοιώσεως πεπεδεγμένον, καὶ τοῦ πάντων τε κτιστοῦ καὶ πάντων ἐπιστήμονος ζωγράφου τε καὶ ζωοποιοῦ παιδὸς, εἰς ὃ ἐπὶ ἀκριβὲς τὸ ὁμοιώσεως ἀπειργασμένον, θεὸν εἰκότως οἱ θεῖοι ἀναγορεύουσι λόγοι, ὡς καὶ ταύτης μὲν τῶν ἀνῶν πρὸς τοῦ παιδὸς ἠξιωμένον τελεσιουργείας, εἰληφότα τε, ἀλλ' οὐκ ἰδιόκτητον αὐτὸν ἐφικότα. ὁ μὲν γὰρ δίδωσιν, ὁ δ' λαμβάνῃ. ὥστε κυρίως καὶ ἕνα οἶδεν θεὸν καὶ μόνον μὲν καὶ φύσει ὄντα, καὶ μὴ παρ' ἑτέρου λαβόντα. τὸν δ', τῶν δευτερείων ἀξιωθέντα, καὶ ὃ θεὸν εἶναι λαβόντα πρὸς τοῦ παιδὸς ἔχειν, ὡς ἂν εἰκόνα τοῦ θεοῦ, μιᾶς ἐπ' ἀμφοῖν καὶ ὃ παραδόξου τῆς θεότητος ὑπερβολῆς, ἑνός τε ὄντος θεοῦ τοῦ καθ' ἑαυτὸν ἀνάρχως καὶ ἀγεννήτως ὄντος, ἀφ' οὗ τοῦ υἱοῦ ὡς ἂν δι' ἐσόπτρου καὶ εἰκόνος ὑπαθεωρουμένου. τοῦτο καὶ ὑπερβατικὸν παραδόξῃ λόγιον, οὐκ ἂν ὡς φάσκον θεὸν εἶναι τελεσιουργὸν τὸν ὃν δηλούμενον, ἀλλ' ἢ ἀφ' τὸν ἐνοικειοῦντα αὐτῷ πατέρα. ἐν οἷ γὰρ φησι, πεπιστεύκαμεν, ὅτι ἐν σοὶ ὁ θεός ἐστ, καὶ σὺ δὲ αὖθις θεὸς ὤν, σωτὴρ τοῦ ἰσραὴλ τυγχάνῃς, καὶ ἀφ' τοῦτο ἰσχυρὸς καὶ κρυφαῖος θεὸς εἶ. ἐπεὶ ἐν σοὶ ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. διὰ δὲ τῆς ἐκπλήσεως ἀγνοῦσι, ὃ ἐβραϊκὸν, καὶ οἱ λοιποὶ πάντες ἑρμηνεύονται, κόπος ἀγνώστου ἐκδεδώκασιν. ἵν' ᾖ ὃ λεγόμενον τοιοῦτον, οἱ τελεσκυνήσοισι καὶ οἱ ἔσονται δοῦλοι ὁ κόπος ἀγνώστου, καὶ ἡ ἐμπορεία ἀθλίοπων, καὶ οἱ σεσωσμένοι, δι' ὧν καρδίας μου καὶ ἀσπιλίνα ἔθνη δηλοῦσθαι, καὶ πάντα ὅσα ἤδη πάλαι τελέτερον τῇ δαιμονικῇ τε πεύχῃ δεισιδαιμονίᾳ. ὑπὸ γὰρ ἀγνώστοι ἐδόκουν πάντων τῶν ἐθνῶν δεισιδαιμονέσθαι τυγχάνῃ, τελεσκυνήσοισι τε καὶ ἄρξαι τὰ εἰδωλο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

λαὸν πλανᾶσης, εἰκότως προφήτους αὐτοῖς ἀθετήσαντας τοῦ χριστοῦ, καὶ δι' αὐτῶν καὶ τοὺς πρὸ τῶν λοιπῶν εἰδωλολατρῶν φανερὰ καθίσασα. ἐξ ὧν τὰ πεπλήρωται ὅτι τοῦ σωτῆρος ἡμῶν, οὗ ἐν πᾶσιν ἔθνεσι προσκυνεῖσθαι καὶ δουλεύειν αὐτῷ μυρία πλήθη τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν. αἰθίοπας δὲ καὶ σεβοίμους τοὺς ἐν ἅλῳ προσκυνήσειν τῷ χριστῷ προφητεύομένους, καὶ δῆλα δ' ἂν ἁλ
» μυδὴς ἡ ἀρχὴ μαθοῦσι, δι' ὧν εἴρηται, ἐνώπιον αὐτοῦ προσπεσοῦνται αἰθίοπες,
» καὶ βασιλῆς ἀράβων καὶ σαβὰ δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ.
δῆλον ἐκ τῆς συμφορήσεως, ὅτι ᾧ ἐν ἐκείνοις προεφητεύομεν χριστῷ.

Ὡς θεοῦ λόγον οὐσιωδῶς κατ' ὀπτικὴν θεωρίαν τοῦ παντὸς ὁμοίως ἡμῖν οἶδε δημιουργὸν τῶν ἀπάντων ὁ δαβίδ. ὡς ὃν αὐτὸν τοῦ θεοῦ λόγον ὁ αὐτὸς προφήτης ὅτι θεραπείαν τῶν δυσθεράπευτον ἐκ τοῦ παντὸς ἀπεσταλθαι μαρτυρεῖ. καὶ ὡς ἐν βραχεῖ χρόνῳ τὴν σύμπασαν γῆν πληρώσειν τῆς αὐτοῦ διδασκαλίας φασίν.

ψαλμὸς λϛ'.

Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ
» δύναμις αὐτῶν. καὶ ἐν ῥ' δὲ ψαλμῷ εἴρηται, ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ
» ἰάσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. καὶ πάλιν ἐν ρμζ', ὁ ἀποστέλλων τὸ
» λόγον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. ἀμφὶ γὰρ τῷ μὴ χείρους
» ψαλμῷ φάσκοντι, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, στερεὸν τὸ ἱερὸν διαγ-
» γέλιον διαῤῥήδην λέγον, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν,
» καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πνεῦμα δ' αὐτοῦ ἐλέγετο, ἐκ χω-
» εὶς αὐτοῦ ἐλέγετο οὐδὲ ἕν. θεὸν εἰκότως τὸ διαγγέλιον ὀνομάζει. ἐπεὶ καὶ διὰ τῶν
» πρόσθεν αὐτός ἐστιν ὁ νῦν θεολογούμενος, λόγος καὶ σοφία καὶ γέννημα θεοῦ, καὶ
ἱερεὺς καὶ χριστὸς ἐν βασιλεὺς καὶ κύριος καὶ θεὸς καὶ εἰκὼν ἀπηρτισμένη τοῦ θεοῦ. καὶ ὅτι
γε ἕτερος ὢν τοῦ παντὸς ἐνεργὸς ἦν αὐτοῦ, ὥστε ὀπτικὴν ὁρμὴν τὸ μείζονος αὐ-
» τὸν δημιουργεῖν, ἐξῆς καὶ τὸν προφήτην ὀπτικὴν ψαλμῳδεῖν, φοβηθήτω τὸν κύριον
» πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πρὸς τὸν οἱ κατοικοῦντες οἰκουμένην. ὅτι
» αὐτὸς εἶπε, καὶ ἐγενήθη, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθη. προδήλων γὰρ, ὡς ὁ λέ
γων, ἕτερόν τι λέγει· καὶ ὁ ἐντελλόμενος, ἕτερόν τι πρὸ ἑαυτοῦ ἐντέλλεται. σαφῶς δὲ
ὅτι τῇ τοῦ σωτῆρος ἡμῶν ἐναντιοφανεῖ μυρία πλήθη ἐκ πάσης τῆς γῆς, τοῦτ'
ἔστιν ἐξ ἀπείρων τῶν ὅτι τῆς γῆς ἐθνῶν, οὐκέτι ὡς τὸ πρὶν τοῖς δαίμοσιν, ἀλλ' αὐ-
τὸν ἐφοβήθη τὸν κύριον ἐπιγνοῦσι. πρώτους δὲ οἱ καθοικοῦντες τὴν οἰκουμένην ἐσαλεύ
» θησαν ὅτι ᾧ τοῦ χριστοῦ ὀνόματι, ἀκολούθως τῷ νῦν φάσκοντι λογίῳ, φοβηθήτω τὸν
» κύριον πᾶσα ἡ γῆ. ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πρώτους οἱ καθοικοῦντες τὴν οἰκου-
» μένην. ταῦτα μὲν οὖν ἐκ τοῦ β' καὶ λ' ψαλμοῦ. σύμφωνα δὲ τούτοις λέγει λόγος καὶ
ἐν ρμη' ψαλμῷ, ὃς διδάσκει οὐ τοῖς περὶ μωϋσῆν μόνα, ἀλλὰ καὶ τοῖς κατ' οὐρανόν,
καὶ συλλήβδην ἅπασαν τὴν κτίσιν, κατ' ὀπτικὴν τῶν ὅλων θεοῦ γενομένην. λέ
γει δ' οὕτω, αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. αἰνεῖτε αὐ-
» τὸν πάντες ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. αἰνεῖτε αὐτὸν ἥ-
» λιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα, καὶ τὸ φῶς. ὅτι αὐτὸς εἶπε, καὶ ἐγενή-
θησαν,

» ησθμ· αὐτὸς ἐνετείλατο, ϗ ἐκτίσθησθμ. εἰ γὰρ αὐτὸς ἐνετείλατο, καὶ τίς ἰῶτ θ-
» σοῦτος, ὡς τῳ τῶν τηλικούτων ἐντολῶν ἐπιδέξασθαι, ἢ ὁ τοῦ θεοῦ λόγος; ὁ
» ποικίλως ἁφῆς τῆς προύσης ἡμῖν ἐπιθέσεως θεολογούμενος, καὶ λόγος θεοῦ
» τῳ ϗ γεγραμμένος εἰκότως, ὅτι δὴ τοῖς τῶν ἀπιστῶν δημιουργικοῖς τ ϗ ποιητι
» κοῖς λόγοις ὁ πιστικώτερ ἐν αὐτῷ καταβέβληται, λόγῳ καὶ ταξὶ τὰ σύμπαντα
» διέπειν αὐτῷ καὶ ἁρμονικῶς τῶν ὅλων. μὴ γὰρ οὕτως ἐπιλάβοι τις τῶν ἀ-
» πίστων ἀνθρώπων ἐκ συλλαβῶν συνεστῶτι, ἐκτὸς ὀνομ χ ϗ ῥημ χ συγκειμένῳ, ἀνάρ-
» θρῳ καὶ τῳ φοβερῷ λόγῳ ὃν τῷ θεοῦ πρόσωπον τυγχάνειν. ὅτι δὴ ὁ πρὸ ἡμῶν
» λόγος ἐν φωναῖς καὶ συλλαβαῖς, καὶ τοῖς ἁφῆ τούτων σημαινομένοις κέκτηται τ
» οὐσίαν, ἁφὴ γλώττης καὶ ἀκτινείου, φάρυγγός τε καὶ στόματος τῳ φερόμενος· ὁ δὲ
» ἀϊδίου ϗ ἀσωμάτου φύσεως πάντη κ πάντα τῷ καθ ἡμᾶς πεπλασμένος,
» οὐδὲν ἀνθρώπειον ἐπάγοιτ ἂν, μόνῃ κεχρημένος τῇ τῆς τῳ σημάνσεως ὁμωνυ-
» μίᾳ. ἐπεὶ μήτε φωνὴν τιν δι' ἀέρος κροῦσεως ὑφισαμένῳ, μήτε ῥήματα, μήτ
» συλλαβὰς, μήτε γλῶτταν, μήτε στόμα, μήτε ὅλως τι τῶν ἀνθρωπείων καὶ θνητῶν
» ὑπὸ τ τῶν ὅλων θεῶν τῳ ἁληπτέον. ψυχῆς γὰρ ἀνθ εἰη ὁ λόγος οὗτος ὁ οὐδαμῶς οἷός τ
» καθ ἑαυτὸν δίχα ψυχῆς εἶναι, ἢ ὑποστῆναι. τοιόσδε γὰρ ὁ ἐν ἀνθρώποις λόγος, ἰδί-
» ως μὲν ἀνούσιος ὢν καὶ ἀνυπόστατος, ὅλον ὃ αὖθ κίνησίς τε καὶ ἐνέργεια διανοίας τυγ-
» χάνων. ἀνθρ γὰρ οὐ καὶ ὁ τοῦ θεοῦ τοιοῦτος, ἔχων δὲ καθ ἑαυτὸν οἰκείαν ὑπόστασιν πάν
» θείαν καὶ νοεράν, ἰδίως μὲν ὑφεστῶσαν, ἰδίως δ' αὖ πάλιν ἐνεργοῦσαν, ἄϋλόν τε ὂν
» καὶ ἀσώματον, καὶ πάντα τῇ τοῦ τῳ φανέντος ϗ μόνου θεοῦ φύσει προσ-
» ομοιωμένην, τοὺς τῶν γενητῶν ἀπιστῶν λόγους, ϗ τὰς τῶν ὁρωμένων ἀσωμάτους
» τε καὶ ἀοράτους ἰδέας ἐν αὐτῇ φέρουσ. διὰ καὶ σοφίαν αὐτὸν, καὶ θεοῦ λόγον οἱ θεῖοι
» χρησμοὶ τῳ προσαγορεύουσιν.

Ὡς καὶ ἡσαΐας δύο κυρίους ὁμοίως τὸν δαυὶδ ὁμολογεῖ, καὶ τὸν δεύτερον,
δημιουργὸν εἶναι τῶν ὅλων, ὡς προεῖπ καὶ αὐτὸς δοξάζομεν.

A κυρίου ἀκούσατε καὶ ἰσραήλ, ὃν ἐγὼ καλῶ. ἐγώ εἰμι πρῶτος, ϗ ἐγώ εἰμι εἰς τ αἰῶ-
» να, καὶ ἡ χείρ μου ἐθεμελίωσε τ γῆν, ϗ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. καλέσω
» αὐτούς, καὶ στήσονται ἅμα, ϗ σωσαθήσον πάντες, καὶ ἀκούσον τις αὐτῶν ἀνήγγειλε
» ταῦτα. κύριος ἀγαπᾷ σε ἐποίησε τὸ θέλημά σου ὑπὲρ βαβυλῶνα, τὸ ἄρας σπέρμα
» χαλδαίων. ἐγὼ ἤρξάμην, καὶ ἐγὼ ἐκάλεσα. ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐ-
» τοῦ. πρόσεχε ἀγάγετε πρός με, καὶ ἀκούσατε ταῦτα. οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λέ
» λάληκα. ἰδοὺ ἐγένετο, ἐκεῖ ἦμεν. ϗ νῦν κύριος κύριος ἀπέσταλκέ με, ϗ τὸ πνεῦ
» μα αὐτοῦ. ὅρα δὴ καὶ νῦν τίνα τρόπον ὁ φήσας, ἐγώ εἰμι ὁ πρῶτος, καὶ ἐγώ εἰμι
» εἰς τὸν αἰῶνα, ὁ τὴν γῆν καὶ τ οὐρανὸν συνεσταλμένος, ἀναργῶς οὕτως ἀπεστάλθαι
» ὁμολογεῖ ὑπὸ κυρίου κυρίου, οὕτω δὴ πατέρα σεμνύνων δὶς κύριον ἀναγορεύ-
» ων, ὡς ἂν ἔχοις καὶ ταύτην ἀναμφίλεκτον τοῦ ζητουμένου τ μαρτυρίαν. πρῶτον δὲ
» αὐτὸν ὡς ἐν γεννητοῖς ὑσεβῶς εἶναι λέγει, τὴν ἀναρχον καὶ ἀγέννητον καὶ τὴν ὑπερ
» τὸ πρῶτον οὐσίαν ἀπονέμων τῷ πατρί. τὸ γάρ τοι πρῶτον, ἀριθμοῦ πλείονος
» ἠνεῖται, τιμῇ καὶ ταξὶ προτεταγμένου· ὅπερ οὐκ ἂν ὑπὲρ τοῦ παῖδος ἀρμόσειεν.
οὐ γὰρ δὴ γεννητῶν πρῶτος ὁ ὑπὲρ πάντων θεὸς, ἐπεὶ μηδ' ἀρχὴ τῆς ὑπάρξεως

© Centre d'Études Supérieures de la Renaissance - Tours

αὐτοῦ. ἐπέκεινα δ' ἂν εἴη καὶ ἀνωτάτω τοῦ πρώτου, ἅτε δὴ αὐτὸς καὶ τὸ πρῶτον γεννήσας καὶ ὑποστησάμενος, μόνου τοῦ θείου λόγου πάντων τῶν θνητῶν πρώτου
» χρηματίζοντος. ζητουμένου δὲ ἄρα κατὰ τὸ, αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνε-
» τείλατο, καὶ ἐκτίσθησαν· τίνι τὴν τῶν γεννητῶν ἐντέταλται δημιουργίαν, νῦν σα-
» φῶς ἀποδέδεικται, ὅτι τῷ φήσαντι, ἡ χείρμου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά
» μου ἐστερέωσε τὸν οὐρανόν· ὃς καὶ πρὸς τοῦ κρείττονος ἀπεστάλθαι ὁμολογεῖ λέγων,
» νῦν κύριος κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. εἴη δ' ἂν ὁ θεὸς λόγος καὶ
» ταῦτα φάσκων, ἐπεὶ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, κατὰ τὴν ἀπὸ τοῦ ψαλμοῦ παράθεσιν. πλὴν ἀλλὰ εἰ καὶ αὐτὸς ὁ τοῦ θεοῦ λόγος τῇ κύριος θεολογεῖται προσηγορίᾳ, ὅμως τὸν ἀνωτάτω καὶ κρείττονα πατέρα αὐτοῦ καὶ κύριον, εὖ μάλα εὐσεβῶς δὶς κύριον αὐτὸν ἀνακαλεῖ, ᾧ διαφόρῳ χρώμενος ἐπ' αὐτοῦ ὀνόματι.
» καὶ νῦν γάρ φησι, κύριος κύριος ἀπέσταλκέ με, ὡς ἂν κυρίως ὄντος τοῦ ἐπὶ πάντων θεοῦ πρώτου καὶ ἀληθῶς κυρίου αὐτοῦ τε τοῦ μονογενοῦς αὐτοῦ λόγου, καὶ τῶν μετ' αὐτὸν γεννητῶν ἁπάντων, καθ' ὧν δευτέρως τὴν κυρίαν καὶ δεσποτείαν παρὰ τοῦ πατρὸς ὁ τοῦ θεοῦ λόγος ἀναδεξάμενος, οἷα γνήσιος υἱὸς καὶ μονογενὴς, δεύτερος εἰκότως καὶ αὐτὸς ἂν εὐσεβῶς χρηματίζοι κύριος.

Ἀπὸ τῆς γενέσεως.

Ὡς καὶ ὁ μέγιστος τοῦ θεοῦ θεράπων μωσῆς, ἐν τῇ κοσμοποιΐᾳ οἶδε πατέρα καὶ θεὸν τῶν ὅλων ἑτέρῳ κοινολογούμενον ἐπὶ τῇ τοῦ ἀνθρώπου δημιουργίᾳ· τὸν θεῖον δὲ λόγον τοῦτον εἶναι προμεμαθήκαμεν.

Καὶ εἶπεν ὁ θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ
» αὖθις, καὶ εἶπεν ὁ θεὸς, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοη-
» θὸν κατ' αὐτόν. καὶ ἵνα γὲ μή τις πρὸς ἀγγέλους ταῦτα εἰρῆσθαι νομίσειε, παρα-
» χρῆμα δηλοῖ τὸν κεκελευσμένον οὐκ ἄγγελον ὄντα θεοῦ, λέγων, καὶ ἐποίησεν ὁ
» θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν.

Ἀπὸ τῆς αὐτῆς.

Ὡς ὁ αὐτὸς μωσῆς δύο σαφέστατα κυρίους ἀνεπικαλύπτως θεολογεῖ.

Ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὴν γῆν, καὶ λὼτ εἰσῆλθεν εἰς σηγὼρ, καὶ ἔβρεξε κύριος ἐπὶ σό-
» δομα θεῖον καὶ πῦρ παρὰ κυρίου. σαφῶς δεύτερον ἀναγορεύει, ὃν καὶ διδάσκει παρὰ τοῦ μείζονος ἐπιτραπέντα τὴν κατὰ τῶν ἀσεβῶν ποιήσασθαι τιμωρίαν. πλὴν ἀλλ' εἰ καὶ δύο κυρίους ἀνεπικαλύπτως ὁμολογοῦμεν, ἀλλ' οὐ καὶ ταῖς ὁμοίαις ἐπ' ἀμφοτέροις χρώμεθα θεολογίαις· εὐσεβῶς δὲ τῇ τάξει χρώμενοι, τὸν μὲν ἀνωτάτω πατέρα καὶ θεὸν καὶ κύριον, καὶ τοῦ δευτέρου κύριον καὶ θεὸν εἶναι πεπαιδεύμεθα· τὸν δὲ τοῦ θεοῦ λόγον τὴν δεύτερον κύριον, τῶν μὲν ὑπ' αὐτὸν δεσπότην, οὐκ ἔτι δὲ ὁμοίως καὶ τοῦ μείζονος. οὐ γὰρ τοῦ πατρὸς κύριος, οὐδὲ τοῦ πατρὸς θεὸς, ὁ θεὸς λόγος, ἀλλ' ἐκείνου μὲν εἰκὼν, καὶ λόγος, καὶ σοφία, καὶ δύναμις, τῶν δὲ μετ' αὐτὸν δεσπότης κύριος, καὶ θεός. ὁ δέ γε πατὴρ καὶ τοῦ υἱοῦ πατὴρ καὶ κύριος καὶ θεός. ὅθεν εἰκότως ἀνατρέχουσιν εἰς μίαν ἀρχήν· καὶ εἰς ἕνα θεὸν συνίσταται ἡμῖν τὰ τῆς εὐσεβοῦς θεολογίας.

Ἀπὸ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀπὸ τῆς αὐτῆς.

Ὡς ὁ αὐτὸς θεράπων τοῦ θεοῦ λόγου δηλοῖ δεύτερον θεὸν καὶ κύριον προσωνομασμένον, ἐν ἀνθρώπου τε μορφῇ καὶ σχήματι ὀφθέντα καὶ ξενισθέντα τοῖς παλαιοῖς ἱστορεῖ.

Ὤφθη δὲ κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ, Ὃν σπέρμα σου δώσω τὴν γῆν ταύτην. καὶ πάλιν, ἐξῆλθε Ἀβραὰμ ἐτῶν ἐννενήκοντα ἐννέα, καὶ ὤφθη κύριος τῷ Ἀβραάμ, καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ θεός. Εὐαρέστει ἐνώπιόν μου καὶ γίνου ἄμεμπτος, καὶ θήσομαι τὴν διαθήκην μου διὰ μέσον σοῦ, καὶ διὰ μέσον μου, καὶ πληθυνῶ σε σφόδρα. Καὶ ἆρας, ὤφθη δὲ ὁ θεὸς αὐτῷ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε. καὶ ἰδοὺ τρεῖς ἄνδρες εἰστήκεισαν ἐπάνω αὐτοῦ. καὶ ἰδὼν προσέδραμεν εἰς συναντησιν αὐτοῖς, ἀπὸ τῆς θύρας τῆς σκηνῆς, καὶ προσεκύνησε. καὶ ἕξης μετὰ τὴν ὑποδοσίαν ἣν ἔφερε, ὁ δὲ κύριος εἶπεν, οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ. Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. Καὶ τούτοις αὖθις ὑπιλέγει, ὡς προὶ ἑτέρου, ἤδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου. ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἐπαγάγῃ κύριος ὑπὲρ Ἀβραὰμ ἃ ἠγάπησε πρὸς αὐτόν. Ταῦτα αὖθις ἀναγέγραπται λέγων ὁ χρηματίζων τῷ Ἀβραὰμ κύριος, ἕτερον κύριον ὁμολογῶν δηλαδὴ τὸν αὐτοῦ πατέρα καὶ ποιητὴν τῶν πάντων, ὁ γεμεὶ Ἀβραάμ, οἷα προφήτης καταλῆψιν ἔχων ἀκριβῆ τοῦ χρηματίζοντος, ἕξῆς τοῖς προεκτεθεῖσι ποτνιᾶται λέγων, καὶ μὴ συναπολέσῃς δίκαιον μετ' ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ἀσεβής. ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων; μηδαμῶς σὺ ποιήσεις τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετ' ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν. ἀγγέλοις δὴ φάσκειν ταῦτα, ἢ τίνι τῶν τοῦ θεοῦ λειτουργῶν οὐχ ἥκιστα μὴ λέγεσθαι ἀξιόπιστον. οὐδὲ γὰρ τοῦ τυχόντος ἂν εἴη τὸ κρίνειν πᾶσαν τὴν γῆν. ἀλλ' οὐδὲ ἄγγελος ὁ προσγεγραφεὶς ἀνηγόρευται, κρείττων δέ τις ἀγγέλου θεὸς καὶ κύριος προὶ τῆς ἀναγεγραμμένης δρυὸς μετὰ τῶν δύο ἀγγέλων ἐν ἀνθρώπου σχήματι ὀφθείς. πάλιν γεμεὶ οὐδὲ τὸν ὑπὲρ πάντων θεὸν νοητέον ἀφ' ὧν δηλοῦται. μεταδοὺς γὰρ φανὰς τὸ θεῖον καὶ σχηματίσεσθαι εἰς ἀνδρὸς εἶδος καὶ μορφὴν, οὐκ ἀγγέλου. λείπεται δὴ αὐτὸν εἶναι τὸν τοῦ θεοῦ λόγον τὸν ἀφ' ὧν προτεθεολογημένον ὁμολογεῖν. ὅθεν εἰσέτι καὶ νῦν προσήκοντες, ὡς ἀνθρώπου τοῦ Ἀβραὰμ ὑπὲρ φανέντων ἀρνούμεθα, καὶ θεωρήσαντά γε εἰς δρῦν ἀφαμωμένην καὶ τερέβινθον. οἱ γὰρ τοῦ Ἀβραὰμ, ὑπὲξενωθέντες, ὑπὸ σκιᾶς ἀνακείμενοι, δύο μὲν ἑκατέρωθεν, μέσος δὲ ὁ κρείττων ὑπερέχων τῇ τιμῇ. εἷς δ' ἂν ὁ δεδηλωμένος ἡμῖν κύριος αὐτὸς ὁ ἡμέτερος σωτὴρ, ὃν καὶ οἱ ἀγγέλοις σέβοισι, καὶ θεῖα λόγια πιστούμενοι. ἔστι δὲ οὖν αὐτὸς ἐξ ἐκείνου τοῦ τῆς δυσεβείας σπέρματος εἰς ἀνθρώπους καταδυόμενος, ἀνθρώπειον ὑποδὺς εἶδός τε καὶ σχῆμα, τῷ θεοφιλεῖ προσπάθει Ἀβραάμ, ὅς γε εἷς εἶη, αὐτὸν ἐξέφηνε, καὶ τῷ τῷ παντὸς αὐτοῦ προεδίδου γνώμῃ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀπὸ τῆς αὐτῆς.

Ὡς ὁ αὐτὸς προφήτης ἐπὶ τοῦ ἰακὼβ σαφέστερον ἐμφαίνει τὸν δηλούμενον κύριον, ὃν δὴ καὶ θεὸν, καὶ ἄγγελον ἀποκαλεῖ, τοῦ ἐπὶ πάντων θεοῦ προσειπών.

Καὶ ἐπορεύθη εἰς χαῤῥὰν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ. ἔδυ γὰρ ὁ ἥλιος. καὶ
» ἔλαβεν ἀπὸ τῶν λίθων, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ
» ἐκείνῳ, καὶ ἐνυπνιάσθη. καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη εἰς τὴν γῆν, ἧς ἡ κεφαλὴ
» ἀφικνεῖτο εἰς τὸν οὐρανὸν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ'
» αὐτήν. ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν, ἐγὼ κύριος ὁ θεὸς ἀβραὰμ
» τοῦ πατρός σου, καὶ ὁ θεὸς ἰσαάκ. μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἣν σὺ καθεύδεις ἐπ' αὐτὴν,
» σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου. καὶ ἔσται τὸ σπέρμα σοῦ ὡς ἡ ἄμμος τῆς θα-
» λάσσης, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ ἀνατολὰς, καὶ ἐπὶ βοῤῥᾶν καὶ λίβα·
» καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. καὶ ἰδοὺ
» ἐγώ εἰμι μετά σου, διαφυλάσσων σὲ ἐν τῇ ὁδῷ πάσῃ οὗ ἂν πορευθῇς, καὶ ἀπο-
» στρέψω σὲ εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως οὗ ποιῆσαί με πάν-
» τα ὅσα ἐλάλησά σοι. καὶ ἐξηγέρθη ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, ὅτι ἐστὶ κύριος ἐν
» τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. καὶ ἐφοβήθη, καὶ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος.
» οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. καὶ ἀνέστη ἰακὼβ τὸ
» πρωὶ, καὶ ἔλαβε τὸν λίθον ὃν ὑπέθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ
» ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς, καὶ ἐκάλεσε ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκεί-
» νου, οἶκος θεοῦ. τοῦτον τὸν ἐνταῦθα διὰ τοσούτων χρηματίζοντα κύριον καὶ θεὸν, ἄγ-
γελον τοῦ θεοῦ προϊὼν ἑξῆς εὑρήσεις, ἐν οἷς φησὶ πρὸς τὰς γυναῖκας αὐτὸς ἰα-
» κὼβ, καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ κατὰ ὕπνον, ἰακὼβ, ἐγὼ δὲ εἶπα, τί ἐστι. καὶ ἑξῆς,
» ἑώρακά φησι, πάντα ὅσα λάβαν σοὶ ποιεῖ. ἐγὼ ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ οὗ ἤλει-
» ψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι εὐχήν. ἄρ' οὖν ὁ ἀνωτέρω φήσας, ἐγὼ κύριος ὁ
» θεὸς ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ θεὸς ἰσαάκ, ᾧ καὶ στήλην ἀνέστησεν ὁ θεοφιλὴς, θεὸς
μὲν ἦν καὶ κύριος· αὐτῷ γὰρ λέγοντι πιστευτέον· οὐ μὴν ὁ ἐπὶ πάντων, ἀλλ' ὁ ἐκείνου
δεύτερος, τὰ τοῦ πατρὸς εἰς ἀνθρώπους διακονούμενος καὶ διαγγέλλων. διὸ καὶ ἄγγελον
» αὐτὸν ὁ ἰακὼβ ἐπὶ τοῦ παρόντος καλεῖ. εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ φάσκων κατὰ
» ὕπνον, ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ. οὐκοῦν ὁ αὐτὸς ἄγγελος κυρίου
καὶ θεὸς καὶ κύριος σαφῶς διὰ τούτων ἀνηγόρευται. καὶ ἐν ἡσαΐᾳ δὲ τῷ προφήτῃ
μεγάλης βουλῆς ἄγγελος, ὁμοῦ δὲ καὶ θεὸς καὶ ἄρχων καὶ ἐξουσιαστὴς προσαγο-
» ρεύεται, ἐν οἷς τὴν εἰς ἀνθρώπους αὐτοῦ γένεσιν θεσπίζει, λέγων, ὅτι παιδίον ἐ-
» γεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνο-
» μα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, πα-
» τὴρ τοῦ μέλλοντος αἰῶνος.

Ὡς καὶ ἰακὼβ τὸν προδηλωθέντα, καὶ θεὸν καὶ κύριον, καὶ δὴ καὶ ἄγγελον ὁμοίως ᾧ ἀβραὰμ ἐν ἀνθρώπου σχήματι θεωρεῖ, διὰ τῆς οὕτως ἐχούσης ἱστορίας.

Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην, ἔλαβε τὰς δύο γυναῖκας, καὶ τὰς δύο παιδίσκας, καὶ
» τὰ ἕνδεκα παιδία αὐτοῦ. καὶ διέβη τὴν διάβασιν τὴν ἰαβὼχ, καὶ ἔλαβεν αὐτοὺς, καὶ
» διεβίβασε πάντα τὰ ἑαυτοῦ. ὑπελήφθη δὲ ἰακὼβ μόνος, καὶ ἐπάλαιε μετ' αὐτοῦ
ἄνθρωπος

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἀνθρωπος ἕως πρωΐ. εἶδε δὲ ὅτι οὐ δυνάται πρὸς αὐτὸν, καὶ ἥψατο τοῦ πλά-
» τους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐξηράνθη τὸ πλάτος τοῦ μηροῦ Ἰακώϐ, ἐν ᾧ παλαίων αὐτὸν
» μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ, ἀπόστειλόν με, ἀνέϐη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν, οὐ μή σε
» ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς. εἶπε δ' αὐτῷ, τί ὄνομά σοι; ὁ δὲ εἶπεν, Ἰακώϐ.
» εἶπε δ' αὐτῷ· οὐκέτι Ἰακὼϐ κληθήσῃ ὄνομά σοι, ἀλλ' Ἰσραὴλ ἔσῃ ὄνομά σοι.
» ὅτι ἐνίσχυσας μετὰ θεοῦ, καὶ μετ' ἀνθρώπων δυνατὸς ἔσῃ. ἠρώτησε Ἰακώϐ, καὶ
» εἶπεν, ἀνάγγειλόν μοι ὄνομά σου. καὶ εἶπεν, ἵνα τί τοῦτο ἐρωτᾷς ὄνομά μου; καὶ εὐ-
» λόγησεν αὐτὸν ἐκεῖ, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἰακώϐ, εἶδος θεοῦ. εἶδον
» γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου. ἀνέτειλε δὲ αὐτῷ ὁ
» ἥλιος, ὡΐκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ. τοῦ μὲν μωσεῖ εἰρῆσθαι, σαφὲς ὄψεται τὸ
» πρόσωπόν μου καὶ ζήσεται. ἐν τούτοις δὲ ὁ Ἰακὼϐ εἶδε θεὸν οὐχ ἁπλῶς, ἀλλὰ
πρόσωπον πρὸς πρόσωπον. καὶ σφᾶς γε οὐ τὸ σῶμα ἀλλὰ τῷ ψυχῷ, τῆς ὅτι
τὸν Ἰσραὴλ προσωνυμίας ἠξιώθη, φερωνύμου ψυχῶν πρόσηγορείας, εἴ γε ἑρμη-
νεῦσαι ὁρῶντα θεὸν, τὸ Ἰσραὴλ ὄνομα σημαίνει. οὐκ ἄρα τ' ὅτι πάντων θεὸν ἑώ-
ρα. λόγος γὰρ οὗτος καὶ ἄτοπος, καὶ οὐδαμῶς ἂν εἰς ἀνθρώπου μεταϐαίνοι, ἁπάν-
των ὢν, ἀνωλέθρου οὐσίας. ἕτερον ἄρα, ὃ καὶ πολυπραγμονοῦντί πως οὐκ ἐμοὶ
φαίνεται τῷ Ἰακὼϐ τῷ προσηγορίαν. εἰ δὲ ἀγγέλων τινὰ, ἢ τῶν κατ' οὐρανὸν
θείων πνευμάτων ὃν τοῖς ἀγίοις τοῖς χρησμοῖς Δημοκοῦμον ὀνομάζοι τις
ἄν), σαφῶς διέψευσται. τοῦτο μὲν ἀπὸ τοῦ κυριολεκτεῖσθαι, καὶ θεολογεῖσθαι τὸν
ἀληθινὸν μόνον. ἐπεὶ καὶ θεὸν αὐτὸν ἡ θεία γραφὴ Δημιουργὸν ἀναγορεύει, καὶ κύριον
ἀποκαλεῖ, τῇ Δημιουργῷ τῶν τεσσάρων πρὸ ἑβραίοις στοιχείων ὑπισημειούσῃ ἡμῶσα,
ὡς ὅτι μόνης τῆς ἀνεκφωνήτου καὶ ἀῤῥήτου προσηγορίας τοῦ θεοῦ σεμνοπρέ-
πειαν παῖδες ἑβραίων εἰώθασι. τοῦτο δὲ καὶ ἀπὸ τῶν ἀγγέλων σαφῶς δηλοῖ, ὅτε δὴ
βούλοιτο ἀγγέλους καλεῖν ὁ λόγος, ὡσαύτως τοὺς ἐν Σοδόμοις ἀσεϐεῖς ὄντας ὁ μὲν
τῷ Ἀβραὰμ χρηματίζων θεὸς καὶ κύριος τοῦ αὐτοῦ προνοίας οὐδαμῶς ἀξιοῖ,
» ὡς αὐθις ἡ θεία γραφὴ λέγει, ὁ μὲν κύριος ἀπῆλθεν, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀ-
» βραάμ. οἱ δὲ δύο ἄγγελοι ἀπῆλθον εἰς Σόδομα ἑσπέρας. καὶ ὦ Ἰακὼϐ δὲ συνιὼν
» τισιν ἀγγέλοις θεοῦ· καὶ ἰδὼν εἶπε, παρεμβολὴ θεοῦ αὕτη. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ
» τόπου ἐκείνου, παρεμβολή. ὅτω παρεμβολῶν * θέας. ὅτε δὲ ὦ θεῷ πρόσωπον
» λέγει, καλῶς τὸ ὄνομα τοῦ τόπου εἶδος θεοῦ, ὑπιλέγων, εἶδον γὰρ θεὸν πρόσωπον πρὸς
» πρόσωπον. ἀλλὰ καὶ τῷ μωσεῖ ὅτ' ἄγγελος ὑπεφαίνετο, τοῦτ' αὐτὸ καὶ ἡ θεία γρα-
» φὴ σημαίνει λέγουσα, ὤφθη δὲ ἄγγελος κυρίου αὐτῷ ἐν φλογὶ πυρὸς βάτου.
ὅτε δὲ τ' αὐθέντην, αὐτὸν δὴ τὸν χρηματίζοντα δηλοῖ, θεὸν καὶ κύριον, ἁγιάζει σκέ-
πει ἄγγελον ὀνομάζει. ὁμοίως καὶ ὑπὲρ τῆς ἐρυθρᾶς θαλάσσης δηλοῖ σαφῶς τ' ἄγγε-
» λον ὦ θεὸν κύριον, δι' ὧν φησιν, ὄρθρε δὲ ὁ ἄγγελος τοῦ θεοῦ ὁ πορευόμενος τ'
» παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπορεύθη ὀπίσω τῶν ὄπισθεν αὐτῶν. ὄρθρε δὲ καὶ ὁ
» στύλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν. ὡσαύτως δὲ ὅτι τῶν πρώτερον, ἐν Αἰ-
γύπτου χώρᾳ τοῖς παλαιοῖς ὁ κύριος χρηματίζων εἰσῆκται, ὅτω καὶ ἐνταῦθα δηλο-
» νεφέλης. ὦ λέγεται γοῦν ἐξῆς, ἐγένετο δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ ἐπέβλεψε
» κύριος εἰς τὴν παρεμβολὴν τῶν αἰγυπτίων, ἐν στύλῳ πυρὸς καὶ νεφέλης. διὰ ὅλης δὲ
τῆς ἐρήμου ἐν στύλῳ Δημιουργοῦ τῶν νεφέλης ὁ θεὸς τοῦ μωσεῖ χρηματίζων, ἀκριϐῶς ἄρα

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὅτε μὲν ἀγγέλου φύσιν ὁ λόγος δηλοῦν βούλεται, οὐδέποτε θεὸν οὐδὲ κύριον, ἀλλ' ἀνεπικαλύπτως ἄγγελον ὀνομάζει. ὅτε δὲ κύριον καὶ θεὸν οἶδε τὸν ἐπιφαινόμενον, ταύταις αὐταῖς σαφῶς κέχρηται ταῖς προσρήρεσι. κύριον δὲ καὶ θεὸν ὅτι μὴ τὸν αἴτιον δηλοῖ, προφανῶς ἐπέδειξαν τῆς θείας γραφῆς αἱ λέξεις, ἄγγελον θεοῦ προσειποῦσαι, τὸν ἐπὶ τοῦ ἰακὼβ κύριον καὶ θεὸν προωνομασμένον. λείπεταί τις ἄρα ὢν ἐν τοῖς οὖσι θεὸς καὶ κύριος μετὰ τὸν παμβασιλέα καὶ θεὸν τῶν ὅλων. εἴη δ' ἂν οὗτος ὁ πρὸ αἰώνων τοῦ θεοῦ λόγος, ὁ κρείττων μὲν ἢ πᾶσα ἀγγελικὴ φύσις, μείων δὲ ἢ κατὰ τὸ πρῶτον αἴτιον.

Ως αὖθις ἐπὶ τοῦ ἰακὼβ δεύτερον θεὸν σαφῶς ὁ λόγος παρίστησιν.

Εἶπε δὲ ὁ θεὸς ἰακὼβ, ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον βαβὴλ, καὶ οἴκει ἐκεῖ, καὶ ποίησον
» θυσιαστήριον τῷ θεῷ, τῷ ὀφθέντι σοὶ ἐν τῷ ἀποδιδράσκειν σὲ ἀπὸ προσώπου ἡσαῦ
» τοῦ ἀδελφοῦ σου. εἶπε δὲ ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μετ' αὐτοῦ, ἄρατε τοὺς
» θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσασθε, καὶ ἀλλάξατε τὰς στολὰς
» ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς βαβὴλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ
» κυρίῳ, ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ ἔσωσέ με ἐν τῇ
» ὁδῷ ᾗ ἐπορεύθην. ἐνταῦθα ὁ θεὸς αὐτὸς ὁ τῶν ὅλων, ὁ μόνος ἀγένητος καὶ ἀνωτάτω
πάντων, οὐκ ὀφθεὶς, ἀλλὰ γὰρ ἀοράτως χρηματίσας τῷ ἰακὼβ, δυνάμει τὲ ἀρ-
ρήτῳ αὐτὸν ἀνακινήσας, περὶ ἑτέρου σαφῶς ποιεῖται τὸν λόγον. εἶπε γοῦν ὁ θεὸς
» αὐτῷ, ποίησον θυσιαστήριον τῷ θεῷ τῷ ὀφθέντι σοί. τίς δ' ἦν ὁ προγραφεὶς ὦ-
φθαι αὐτῷ, ἀρτίως παρεστήσαμεν, τὸν θεὸν λόγον εἶναι ἀποδείξαντες.

Απὸ τῆς ἐξόδου. Ως ὁ ἐπὶ πάντων θεὸς, αὐτὸς ὢν ὁ δι' ἀγγέλου τῷ μωσεῖ χρηματίζων, ὦφθαι τοῖς πατράσιν οὐκέτι δι' ἀγγέλου, ἀλλὰ δὲ τοῦ υἱοῦ διδάσκει.

Καὶ μωσῆς ἦν ποιμαίνων τὰ πρόβατα ἰωθὼρ τοῦ γαμβροῦ αὐτοῦ, καὶ ἦλθεν εἰς τὸ
» ὄρος τὸ ἐν χωρήβ. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἐν πυρὶ φλογὸς βάτου. καὶ
» μετ' ἕτερα, ὡς δὲ εἶδεν ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ μέσου τοῦ βάτου
» λέγων, μωϋσῆ μωϋσῆ, μὴ ἐγγίσῃς ὧδε. λῦσαι τὸ ὑπόδημα ποδῶν σου. ὁ γὰρ τό-
» πος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί. καὶ μετ' ὀλίγα, καὶ εἶπε κύριος πρὸς αὐτὸν,
» ἐγώ εἰμι ὁ ὤν. καὶ αὖθις, ἐλάλησε κύριος πρὸς μωϋσῆν, καὶ εἶπε πρὸς αὐτὸν, ἐγὼ
» κύριος ὤφθην πρὸς ἀβραὰμ καὶ ἰσαὰκ, καὶ ἰακὼβ, θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνο-
» μά μου οὐκ ἐδήλωσα αὐτοῖς, καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτούς. ὥσπερ
ἐπὶ τῶν ἐν ἀνθρώποις προφητῶν, ἡσαΐου φέρε εἰπεῖν καὶ ἱερεμίου, καὶ τῶν πα-
ραπλησίων, ἄνθρωπος μὲν ἦν τὸ ὁρώμενον, θεὸς δὲ ὁ διὰ τοῦ φαινομένου ὡς ἂν
δι' ὀργάνου θεσπίζων· καὶ τοτὲ μὲν χριστοῦ πρόσωπον, τοτὲ δὲ πνεύματος ἁγίου,
τοτὲ δὲ τοῦ ἐπὶ πάντων θεοῦ ἦν διὰ τοῦ προφήτου χρηματίζον. οὕτω δὴ καὶ νῦν
εἰσαγομένῳ τῷ μωσεῖ ὁ ἀνωτάτω καὶ ἐπὶ πάντων θεὸς διὰ τοῦ φανέντος ἀγγέλου
τὰ προκείμενα θεσπίζει. ὧν γένοιτο ἂν ὁ νοῦς τοιόσδε, σοὶ μὲν ὦ προφῆτα, ὡς ἂν
εἰσαγομένῳ καὶ μηδὲν πλέον ἀγγελικῆς ὀπτασίας χωροῦντι, τέως τὸν ἐμὸν ἄγ-
γελον ἐβουλήθην ὀφθῆναι, ἐμαυτοῦτε τοὔνομά σοι μόνον ἐμφανὲς καθίστημι, δι-
δάσκων

© Centre d'Études Supérieures de la Renaissance - Tours

δάσκων ὅτι ἐγώ εἰμι ὁ ὤν. καὶ ὅτι τὸ ὄνομά μου ἐστὶ κύριος. τοῖς δὲ σοῖς πατράσιν οὐ τοῦτο μόνον ἐδήλωσα, ἀλλὰ καὶ τούτου μεῖζον ἐδωρησάμην. ὤφθην γὰρ αὐτοῖς. τίς δ' ἦν ὁ τοῖς πατράσιν ὀφθεὶς, καὶ ὅτι μὴ ὁ ἐπὶ πάντων θεὸς, προαποδέδεικται, ἡνίκα τὸν θεὸν καὶ τὸν κύριον, ἄγγελον θεοῦ ὠνομάσθαι ἐπεδείκνυμεν. πῶς οὖν ἐνταῦθα ὁ ἐπέκεινα τῶν ὅλων, αὐτὸς ὢν ὁ μόνος ἐπὶ πάντων θεὸς, ὤφθαί φησι, τοῖς πατράσιν, ζητήσαι ἄν τις εἰκότως. λυθείη δ' ἂν τὸ ζητηθὲν, εἰ τῇ ἀκριβείᾳ τῆς θείας γραφῆς ἐπιστήσαιμεν. λεγομένου γὰρ τοῖς ἑβδομήκοντα τοῦ, καὶ ὤφθην πρὸς ἁβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακὼβ θεὸς αὐτῶν ὤν· ὁ μὲν ἀκύλας φησὶ, καὶ ὡράθην πρὸς ἁβραὰμ καὶ πρὸς ἰσαὰκ καὶ πρὸς ἰακὼβ ἐν θεῷ ἱκανῷ. δι' ὧν σαφῶς παρίστησιν, ὅτι μὴ αὐτὸς ὁ ἐπὶ πάντων θεὸς, ὁ μόνος ὤν, δι' ἑαυτοῦ ὤφθη. ἀλλ' οὐδ' ὥσπερ ᾧ μωσεῖ, οὕτω καὶ τοῖς πατράσι, δι' ἀγγέλου ἢ διὰ βάτου ἢ πυρὸς, ἀλλ' ἐν θεῷ ἱκανῷ χρηματίζοντι· ὥστε διὰ τοῦ υἱοῦ πατέρα καὶ τοῖς πατράσιν ἑωρᾶσθαι, κατὰ τὸ εἰρημένον ἐν εὐαγγελίοις πρὸς αὐτοῦ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἐν αὐτῷ γὰρ καὶ δι' αὐτοῦ, ἡ τοῦ πατρὸς ἀπεκαλύπτετο γνῶσις. ἀλλ' ὅτε μὲν ἀνθρώπων σωτήριος ἀπεφαίνετο, διὰ τῆς τοῦ υἱοῦ ἀνθρωπείας μορφῆς ἑωρᾶτο, τοῖς θεοφιλέσι τὴν εἰς ἀνθρώπους αὐτοῦ ἐσομένην σωτηρίαν τοῖς πᾶσι παροῦσαν ἐξ ἐκείνου προαρραβωνιζόμενος. ὅτε δὲ τῶν ἀσεβῶν τιμωρὸς, καὶ κολαστὴς τῶν αἰγυπτίων ἔμελλεν ἔσεσθαι, οὐκέτι ἐν θεῷ ἱκανῷ, ἀλλ' ἐν ἀγγέλῳ διακόνῳ τῆς τιμωρίας καὶ ἐν εἴδει πυρὸς, καὶ τῆς ὅσον οὔπω μελλούσης αὐτοὺς, δίκην ἀγρίας καὶ ἀκανθώδους ὕλης, κατεσθίειν φλογὸς παρεφαίνετο. αἰνίττεσθαι οὖν φασι, τὴν μὲν βάτον, τὴν τῶν αἰγυπτίων ἀγρίαν καὶ ἀπηνῆ καὶ ἀνήμερον μοχθηρίαν· τὸ δὲ πῦρ, τὴν διαλωβῶσαν αὐτοὺς τιμωρὸν καὶ κολαστήριον δύναμιν.

Ὡς καθάπερ τοῖς πατράσιν ἐν ἀνθρωπίνῳ σχήματι, οὕτως ἐν εἴδει νεφέλης μωσεῖ καὶ παντὶ τῷ λαῷ ὁ θεὸς λόγος ἐφαίνετο.

Εἶπε δὲ κύριος πρὸς μωϋσῆν, ἰδοὺ ἐγὼ παραγίνομαι πρός σε ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρός σε, καὶ σοὶ πιστεύσωσι. καὶ ἑξῆς, ὁ δὲ θεὸς ἡγεῖτο αὐτῶν ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν· τὴν δὲ νύκτα ἐν στύλῳ πυρὸς, τοῦ φαίνειν αὐτοῖς. καὶ πάλιν, κατέβη κύριος ἐν στύλῳ νεφέλης. καὶ αὖθις, ἡνίκα δ' ἂν εἰσῆλθεν μωϋσῆς εἰς τὴν σκηνὴν, κατέβαινεν ὁ στύλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τὰς θύρας τῆς σκηνῆς, καὶ ἐλάλει τῷ μωϋσεῖ, καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στύλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς. καὶ στάντες πᾶς ὁ λαὸς προσεκύνησαν, ἕκαστος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ. ὁ μὲν οὖν λαὸς ἑώρα τὴν στύλον τῆς νεφέλης, μωϋσεῖ δ' ἐλάλει. τίς δ' ἐλάλει; ἢ δηλονότι ὁ στύλος τῆς νεφέλης ὁ πρότερον τοῖς πατράσιν ἐν ἀνθρώπου φανεὶς σχήματι; προαποδέδεικται δὲ, ὅτι μὴ ὁ ἐπὶ πάντων θεὸς οὗτος ἦν, ἕτερος δὲ ὃν θεοῦ λόγον ὑπάρχοντα χριστὸν ἡμεῖς προσαγορεύομεν. ὃς καὶ τότε τοῦ πλήθους ἕνεκεν μωσεῖ τε αὐτῷ καὶ τῷ λαῷ ἐν στύλῳ νεφέλης ἐθεωρεῖτο, διὰ τὸ μὴ χωρεῖν αὐτοὺς ὁμοίως τοῖς πατράσιν ἐν ἀνθρώπου σχήματι ὁρᾷν αὐτόν. τελείων γὰρ τι ἦν τὸ προορᾷν δύνασθαι τὴν μελλούσαν ἔσεσθαί ποτε εἰς ἀνθρώπους ἔνσαρκον ἐπιφάνειαν αὐτοῦ, ἦν ἐπεὶ μηδὲ τότε οἷός τε ἦν ὁ πᾶς λαὸς χωρεῖν, εἰκότως τοτὲ μὲν αὐτοῖς διὰ πυρὸς φόβου χάριν καὶ καταπλήξεως· τοτὲ δὲ διὰ νεφέλης, ὡς

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀν ἐπεσκιασμένως καὶ κεκαλυμμένως νομοθετῶν αὐτοὺς ὁρῷτο, ὁμοίως δὲ καὶ τῷ μωσεῖ δι' αὐτούς.

Ὅτι μηδὲ ἀγγελικὴ φύσις ἦν ἡ τῷ μωσεῖ χρηματίζουσα, κρείττων δέ τις ἦν ἢ κατ' ἄγγελον.

Εἶπε κύριος, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου μου, ἵνα φυλάξῃ σὲ ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σὲ εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. πρόσεχε αὐτῷ καὶ εἰσάκουε αὐτοῦ, καὶ μὴ ἀπείθει αὐτῷ. οὐ γὰρ μὴ ὑποστείληταί σε. τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ. καὶ ἐν ἑτέρῳ τόπῳ, εἶπε δὲ κύριος πρὸς μωϋσῆν, βάδιζον καὶ ὁδήγησον τὸν λαὸν εἰς τὸν τόπον ὃν εἴρηκά σοι· ἰδοὺ ὁ ἄγγελός μου προπορεύεται πρὸ προσώπου. καὶ πάλιν, καὶ εἶπε κύριος πρὸς μωϋσῆν, πορεύου καὶ ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ λαός. καὶ ἑξῆς, καὶ συναποστελῶ πρὸ προσώπου σοῦ τὸν ἄγγελόν μου. αὗται ὅτι μὴ ἀγγέλου, μόνου δὲ θεοῦ γένοιντο ἂν φωναί, παντὶ τῷ πρόδηλον. θεοῦ δὲ τίνος; ἢ τοῦ τοῖς προπάτορσιν ἑωραμένου; ὃν ἄγγελον θεοῦ σαφῶς προσεῖπεν ὁ ἰακώβ. ἔστι δὲ ἦν ἡμῖν ὁ θεοῦ λόγος, ὡς ἂν καὶ θεοῦ παῖς καὶ αὐτὸς θεὸς καὶ κύριος ὠνομασμένος.

Ὡς ὁ αὐτὸς κύριος περὶ ἑτέρου διδάσκει κυρίου.

Ἀπὸ τοῦ δεκαλόγου.

Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. καὶ ἑξῆς, ἐγὼ γὰρ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτής. καὶ ἐπιλέγει, οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὴν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. κἀνταῦθα αὐτὸς ὁ κύριος περὶ ἑτέρου κυρίου τὰ προκείμενα διδάσκει. εἰπὼν γοῦν, ἐγώ εἰμι κύριος ὁ θεός σου· ἐπιλέγει, οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου. περὶ οὗ πατρὸς δηλαδὴ καὶ θεοῦ τῶν ὅλων ὁ δεύτερος κύριος τὴν θεράποντα μυσταγωγῶν. εὕροις δ' ἂν καὶ ἄλλα μυρία δι' ὅλης τῆς ἱερᾶς γραφῆς παραπλησίως τούτοις ἐξενηνεγμένα, δι' ὧν ὁ θεὸς ὡς περὶ ἑτέρου θεοῦ, καὶ αὐτὸς ὁ κύριος ὡς περὶ ἑτέρου κυρίου τοὺς χρησμοὺς ἐποιεῖτο.

Ὡς αὐτὸς αὖθις ὁ τῷ μωσεῖ χρηματίζων κύριος, ἕτερον κύριον κρείττονα ἑαυτοῦ τὴν πατέρα γιγνώσκων, τοῦτον ἀληθινὸν θεὸν ἀνεκαλεῖτο.

Καὶ εἶπε κύριος πρὸς μωϋσῆν, καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας ποιήσω. εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας. καὶ εἶπε μωϋσῆς, δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. καὶ εἶπεν, ἐγὼ προπορεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματί μου κύριον ἐναντίον σου. καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. καὶ μεθ' ἕτερα ἐπιφέρει λέγων, καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλησεν ἐν ὀνόματι κυρίου. καὶ παρῆλθε κύριος ἐν ὀνόματι αὐτοῦ, καὶ ἐκάλεσε, κύριε κύριε, ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς καὶ δικαιοσύνην διατηρῶν, ποιῶν ἔλεος εἰς χιλιάδας ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὴν ἔνοχον, ἀπάγων ἁμαρτίας πατέρων ἐπὶ τέκνα, καὶ τέκνα τέκνων, ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. καὶ σπεύσας μωϋσῆς κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν. ὅρα δὴ τίνα τρόπον καὶ νῦν αὐτὸς ὁ κύριος ὁ καταβὰς ἐκάλεσεν ἐν νεφέλῃ, καὶ τῷ μωσεῖ παραστὰς ἐν ὀνόματι κυρίου, ἕτερον

παρ

περὶ ἑαυτὸν συνήθως κατὰ ἀναδίπλωσιν δὶς κύριον ἐπικαλούμενον, ὡς ἀν καὶ ἑαυτοῦ καὶ τῶν λοιπῶν ἁπάντων δεσπότην θεολογούμενον, τὸν ἑαυτοῦ πατέρα. καὶ ὅτι γὲ ἐν τούτοις οὐ μωσῆς, ὡς ἀν ὑπολάβοι τις, ἀλλὰ γὰρ αὐτὸς ὁ κύριος ἕτερον κύριον τὸν πατέρα καλεῖ, παραλαβὼν αὐτὸς ὁ χρηματίζων τῷ μωσεῖ φησι, ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι κυρίου. τοῦτο γοῦν εἰρηκότος, ἑξῆς ἐπιλέγει ἡ γραφὴ διηγηματικῶς, καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσεν ἐν ὀνόματι κυρίου. οὐκοῦν αὐτὸς ὁ κύριος τὴν ὑπόσχεσιν τὴν ἑαυτοῦ πληρώσων κάτεισι, καὶ ὥσπερ ὁ λόγος φησὶ, πρόεισι πρὸ προσώπου μωϋσῆ. καὶ αὐτὸς δὲ ὁ κύριος καλεῖ λέγων, κύριε ὁ θεὸς οἰκτίρμων καὶ ἐλεήμων, καὶ τὰ ἑξῆς. σαφῶς ὁ κύριος τὸν θεράποντα, ἑαυτόν τε ὅστις εἴη, καὶ τὴν τοῦ κρείττονος κυρίου γνῶσιν μυσταγωγῶν. τοῦτο δέ σοι παραστήσει, ἔνθα προσευχόμενος ὑπὲρ τοῦ λαοῦ, τῶν προκειμένων τοῦ κυρίου μνημονεύει φωνῶν, τὸν κύριον ταῦτα εἰρηκέναι, ἀλλ' οὐκ αὐτὸν, ἐν οἷς φησι, καὶ νῦν ὑψωθήτω ἡ χεὶρ σου κύριε, ὃν τρόπον εἶπας λέγων, κύριος μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας. καὶ καθαρισμῷ οὐ καθαρεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἕως ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. ἐπιτήρει δὲ τίνα τρόπον ἐν τούτοις αὐτὸς ὁ κύριος τὸν πατέρα μακρόθυμον καὶ πολυέλεον ἐπειπὼν, προστίθησι λέγων αὐτὸν καὶ ἀληθινὸν, συμφώνως τῷ, ἵνα γιγνώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, ἐν εὐαγγελίοις ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ σωτῆρος ἡμῶν εἰρημένῳ. μόνον γοῦν ἀληθινὸν θεὸν σφόδρα εὐσεβῶς ἀποκαλεῖ τὸν πατέρα, τὸ προσῆκον ἀπονέμων σέβας τῇ ἀγεννήτῳ φύσει, ἧς αὐτὸν εἰκόνα εἶναι καὶ γέννημα οἱ θεῖοι λόγοι παιδεύουσιν.

Ἀπὸ τῶν ἀριθμῶν.

Ὡς τὸν θεὸν τῷ ἰσραὴλ ὁρατὸν εἶναι ἡ θεία διδάσκει γραφὴ, τὸν θεὸν λόγον αἰνιττομένη.

Ἐν τοῖς ἀριθμοῖς ὁ μωσῆς εὐχόμενός φησιν, ὅτι σὺ εἶ κύριος ἐν τῷ λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ' ὀφθαλμοὺς ὀπτάνῃ σὺ κύριε. ἀνθ' οὗ ὁ μὲν ἀκύλας ἐξέδωκεν, ὅτι σὺ εἶ κύριε ἐν ἐγκάτῳ τοῦ λαοῦ τούτου, ὃς ὀφθαλμὸν ἐν ὀφθαλμοῖς ὁρᾷ σὺ κύριε. ὁ δὲ σύμμαχος, ὅτι σὺ εἶ κύριε. καὶ ἐν ὀξόδῳ εἴρηται, καὶ ἀνέβη μωσῆς καὶ ἀαρὼν καὶ ναδὰβ καὶ ἀβιοὺδι, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων τοῦ ἰσραὴλ, καὶ εἶδον τὸν τόπον ὅπου ἕστηκεν ὁ θεὸς ἰσραήλ. ἀνθ' οὗ ὁ μὲν ἀκύλας, καὶ εἶδόν φησι, τὸν θεὸν ἰσραήλ. ὁ δὲ σύμμαχος, καὶ εἶδον ὁράματι τὸν θεὸν ἰσραήλ. διὰ τὸ, θεὸν οὐδεὶς ἑώρακε πώποτε, τάχ' ἄντις ἐναντίαν εἶναι τῷ σωτηριώδει λόγῳ τὴν παροῦσαν ὑπολάβοι λέξιν, ὡς ὁρατὸν ὑποτιθεμένην τὸν τῆς φύσιν ἀόρατον. ἀλλ' εἰ καὶ ταῦτα ἐπὶ τὸν λόγον τοῦ θεοῦ τὸν πολυμερῶς καὶ πολυτρόπως ὀφθέντα τοῖς πατράσιν ἐκλάβοις, ὁμοίως τοῖς προαποδειχθεῖσιν ἡμῖν, οὐκέτ' ἂν δόξειε τοῖς ἐναντίοις περιπίπτειν. θεὸν ἰσραὴλ ἐνταῦθα ὁρώμενον αὐτὸν ἐκεῖνον εἶναι διδάσκει, ὃν καὶ τῷ ἰσραὴλ ὀφθέντα, ὅτε ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ, ὃς καὶ πρῶτος αὐτοῦ τὴν προσωνυμίαν ἐκ τοῦ ἰακὼβ ἐπὶ τὸν ἰσραὴλ μεταβέβληκεν εἰπὼν, ὅτι ἐνίσχυσας μετὰ θεοῦ. ὅτε καὶ τῆς θείας αὐτοῦ δυνάμεως αἴσθησιν λαβὼν ὁ ἰακὼβ ἐκάλεσε τὸν τόπον ἐκεῖνον, εἶδος θεοῦ, εἰπὼν, εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχὴ, οὐχ ἕτερον ὑπάρχειν τοῦ θεοῦ λόγου, κατὰ τὸν οἰκεῖον καιρὸν παρεστήσαμεν.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀπὸ τῆ ἰησοῦ τῆ ναυῆ.

Ὡς ὁ θεὸς λόγος ὁ τῶ μωσεῖ χρηματίζων, ὁμοίως τοῖς πάλαι τοῖς πατράσιν, ὥφθη καὶ ἰησοῦ τῷ μωσέως διαδόχῳ ἐν ἀνθρώπου σχήματι.

Κ αὶ ἐγένετο ἐν τῷ εἶναι ἰησοῦν ἐν ἱεριχώ, καὶ ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑστηκότα κα-
» τέναντι αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν ὁ ἰη-
» σοῦς εἶπεν, ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; καὶ εἶπεν αὐτῷ, ἐγὼ ἀρχιστράτηγος δυ-
» νάμεως κυρίου νῦν παραγέγονα. καὶ ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. καὶ
» εἶπεν αὐτῷ, δέσποτα τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ λέγει ὁ ἀρχιστράτηγος κυρί-
» ου, ἰησοῦ λῦσαι τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία
» ἐστίν. αὐτὰ δὴ ταῦτα καὶ μωσεῖ ἐχρημάτισε τῆς θεωρίας ἐπὶ τῆ βάτῳ προστάξας κυ-
» ρίου εἰρηκὼς, ὡς δηλοῖ ἡ γραφή, ὡς δὲ εἶδε κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐ-
» τὸν κύριος ἐκ μέσου τῆ βάτου λέγων, μωϋσῆ μωϋσῆ μὴ ἐγγίσῃς ὧδε. λῦσαι τὸ
» ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας ἐπ' αὐτῆ, γῆ ἁγία ἐστίν. εἷς
ἄρα καὶ ὁ αὐτὸς ὢν τοῖς ἀμφοτέροις χρηματίσας θεὸς, ὡς ἐκ τῶν προλεχθέντων δείκνυται. ἀλλὰ νῦν μὲν, διὰ τὸν ἀρχιστράτηγον τῆ δυνάμεως αὐτοῦ, μωσεῖ δὲ διὰ τὸ ὀφθέντος ἀγγέλου θεοπρεπῆ. γράφων δὲ ὑποφαίνων, καὶ δυνάμεων ὑποχθονίων καὶ πνευμάτων ἀοράτων, ἀγγέλων τε θείων καὶ ἀρχαγγέλων τῷ παμβασιλεῖ καὶ παντοκράτορι θεῷ λειτουργούντων, ἐξ ὧν εἱρηκυῖαν προφήτην δανιὴλ, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρεστήκεισαν
» ἐνώπιον αὐτοῦ, ὁ πάντων ἀνωτάτω εἰς ἀνθρώπους ἕτερος τοῦ θεοῦ λόγου, καὶ τῆς προφητικῆς σοφίας, οὗτε ἐνθέου γυναικὸς; εἰκότως ἄρα καὶ ἀρχιστράτηγος δυνάμεως κυρίου ὑπὸ τῶν πάντων ἀνείρηται, ὡς καὶ μεγάλης βουλῆς ἄγγελος ἐν ἑτέροις, καὶ σαφῶς θεῖος τῆς παρ' ἐκείνου προοιμιαζόμενος. ὃν δὲ ἰακὼβ, ὡς ἀσκητὴν καὶ ἀγωνιστὴν παλαίειν προὸς ἔλθοις καὶ ἀγωνίζεσθαι μέλλοντι, οἷα ἄνθρωπος. μωσεῖ δὲ καὶ ὡς λαῷ ἐν εἴδει νεφέλης ἐκ πυρὸς καὶ σηκοῦ, φοβερὸν ὁμοῦ καὶ ἐπισκιάσμενον παρέχων ἑαυτόν. ἐπεὶ οὖν ὁ τῶν μωσέως διαδόχος ἰησοῦς πολεμίοις ἔμελλε διαπολεμεῖσθαι τοῖς ὅπλα παλαιστίνων γῆς οἰκήτορσιν, ἀμφοφύλοις ἔθνεσι καὶ ἀσεβεσάτοις, εἰκότως μετ' ἐμφανείας ἐσπασμένης καὶ κατὰ τῶν πολεμίων ἡκονημένης ὑποφαίνεται, μονονουχὶ διὰ τῆς ὄψεως ἀποδηλοῦς, ὅτι δὴ αὐτὸς ἀοράτῳ ἐμφανεῖ ἐνθέῳ δυναμένους ἀσεβεῖς μελέτας ἔμελλε, τοῖς οἰκείοις συστρατεύομενος καὶ συναγωνιζόμενος. διὸ καὶ κατὰ κράτος αὐτῶν κυρίου ἑαυτὸν ἀνηγόρευσεν.

Ἀπὸ τῆ ἰὼβ.

Ὡς ὁμοίως τοῖς πατράσι, καὶ ὡς ἰὼβ αὐτὸς ὁ δημιουργὸς τῶν ὅλων θεὸς λόγος ἐ-
χρημάτισέ τε καὶ ὀφθαλμοῖς ἑωρᾶσθαι λέγεται.

Ε ἶπε δὲ κύριος ὡς ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν, ποδαπὸς ἐν ᾧ θαμβοῦμαι με τὸν νῶν;
» ἀπάγγειλον δή μοι εἰ ὑπῆρξασαν σωρεσιν, πῆς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας. ἢ ἔξῆς,
» ὅτε ἐγκυμήνησάν φησιν, ἄστρα, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου.

ἔφεξα

» ἐφερεξα δὲ θαλασσαν πύλαις. καὶ ἐξῆς, ἢ ὅτι σὺ σωτέταχα φέλος τοῖς ἀνθρώποις;
» ἐωσφόρος δὲ ἐπεῖδε τὴν ἑαυτοῦ ταξιν; καὶ πάλιν, ἢ σὺ λαβὼν γῆς πλοῦν ἐπλα-
» σας ζῶον, καὶ λαλήσον αὐτὸν ἔθου ὅπου τῆς γῆς; ἀφῆλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βρα-
» χίονα δὲ ὑψηφώσων σωτέτειναι; ἦλθες δὲ ὅτι πηγὴ θαλάσσης, ἢ δὲ ἴχνε-
» σιν ἀβύσσου τοῖς πάτη σας; ἀνοίγονται δὲ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ
» ᾅδου ἰδόντες σε ἔπηξαν; καὶ ὅτι τελῶ τῷ πανηγυρικοῦ χρησμοῦ ἀποκρίνεται ἰωὴλ τῷ
» κυρίῳ λέγων, ἄκουσον δέ μου κύριε ἵνα καὶ γὼ λαλήσω. ἐρωτήσω δέ σε, σὺ δέ με δί-
» δαξον. ἀκοὴ μὲν ὠτὸς ἤκουόν σου τὸ τοτέτερον, νῦν δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.
» διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην. ἤγημαι ὡς ἐμαυτὸν γλῶ τὴν ἀποδόν. ὅτι μὲν οὖν κυ-
» ρίου τὸ δημιουργοῦ τυγχάνουσιν αἱ τοτεκείμεναι φωναί, οὐκ ἐκ τῶν τοτε-
» θέντων μόνον ἀλλὰ καὶ ἐκ τῶν σοι φαινομένων ἀφαγνῶναι ῥᾴδιον. ὅτι δὲ ὃ, ἦλ-
» θες ὅτι πηγὴ θαλάσσης, ἢ δὲ ἴχνεσιν ἀβύσσου τοῖς πάτησας, καὶ ὃ, ἀνοίγονται
» δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ ᾅδου ἰδόντες σε ἔπηξαν, τὴν εἰς ᾅδου καὶ-
» θοδον τοῦ σωτῆρος ἡμῶν θεατίζῃ, κατ' ἐν τοτεσήκοντα καιρὸν ἀποδείξομεν. τοσοῦ-
» τον νῦν ὑπισημανάμενοι, ὡς μᾶλλον τῷ θεῷ λόγῳ ἢ τοῦ τῷ θεῷ τῶν ὅλων καὶ κατ'
» ἐν τόπον ἀναλήψεως τοτεσήκει. ὁ γοῦν ἰωὴλ ἐξῆς ὁμοίως τοῖς πατράσιν αὐτὸν δη-
» τοῦντο τ' ἐν ἀρχαῖς δηλαδὴ καὶ παλαιοτέρων καὶ νεωτέρων χρηματίζοντα αὐτῷ κύριον αὐτοψία
» τεθεωρηκέναι μυρίους, λέγων, ἄκουσον δέ μου κύριε, ἵνα καὶ γὼ λαλήσω. ἐρωτήσω
» δέ σε, σὺ δέ με δίδαξον. ἀκοὴ μὲν ὠτὸς ἤκουόν σου τὸ τοτέτερον, νῦν δὲ ὁ ὀφθαλ-
» μός μου ἑώρακέ σε. διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην. ἤγημαι δὲ ἐμαυτὸν γλῶ καὶ
» ἀποδόν. πῶς δ' ἂν ὃν δυνατὸν θεὸν, τὸν τῶν ὅλων ἐπέκεινα, τὸν ἀπερίτρεπτον καὶ ἀ-
» γέννητον οὐσίαν, σάρκα τοτεδεδεμένην ψυχὴ καὶ ὀφθαλμοὶ θνητῶν ἐθελήσομεν, εἰ
» μὴ ἄρα σαφῶς καὶ λαμπρῶς ἐπιβαίνοντα τὸ οἰκεῖον μεγέθους τὸν θεὸν λόγον, ὃν διαφόρως ἀποδείκνυμεν κύριον, εἰποιμεν δὲ πρίσασθαι, ὡς ἔστι καὶ ὅς αὐτῶν τῶν
» χρησμῶν μαθεῖν, δι' ὧν αὖθις ὁ κύριος τοτὸς τὸν ἰωὴλ τοῦ τοῦ ἀμβόλου ὡς
» τοῦ δράκοντος ἰδίων ἐπεχείρῃ, οὐ δέδοικας ὅτι ἠρίμαξαί μοι. δράκοντα γὰρ ἤκουσα
» μᾶλλον ποίῳ κυρίῳ τοτεσήκειν νομίζῃ, ἢ τῷ θεῷ λόγῳ καὶ σωτῆρι ἡμῶν; ὃς ὃν
» ἔχοντα τὸν αἰῶνος τοῦτου πάλαι τοτέτερον πολιορκοῦντα τὸ τῶν ἀνθρώπων
» γένος, καὶ τοιλελυσας τὰς ὠδῖνας τοῦ θανάτου. ὃ καὶ αὖθις πρίσηται φήσας, ἦλθες δ'
» ὅτι πηγὴ θαλάσσης. ἢ δὲ ἴχνεσιν ἀβύσσου τοτεπάτησας. ἀνοίγονται δέ σοι φό
» βῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπηξαν. τοιοῦτος ἢ εἰκότως τοτὸς
τὸν ἰωὴλ χρηματίζῃ μετ' ἐν μέγαν πειρασμόν, ὃν ὑπέμεινε, καὶ ἀγῶνα, διδάσκων
αὐτὸν, ὅτι καὶ μέρος ἠγώνισαι, τοῦ μείζονος καὶ κρατιστέρου πολέμου καὶ ἀγῶ
νος αὐτῷ τῷ κυρίῳ πεφυλαγμένου, κατ' ἐν τὸν καιρὸν τῆς εἰς τὸν θάνατον αὐτοῦ πρᾶσίας.

Ἀπὸ τοῦ ρ ψαλμοῦ.

Ὡς δύο κυρίους καὶ ὁ τοτεκείμενος οἶδε ψαλμῳδός.

O υἱὸ σὺ κύριε ἢ πάς μου, ὃν ὕψισον ἔθου καὶ φυγὴν σου. οὐ τοτεσταλῆσεται τοτὸς σε
» κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται
» τοῦ σου. ὅπου χερσὶν ἀροῦσί σε, μή ποτε τοτοσκόπτῃς τοτὸς λίθον πόδα σου. ὅπι ἀ-
» σπίδα καὶ βασιλίσκον ὑπιδήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. ταύτας ὁ
ψαλμὸς ἐν ᾧ κατ' τοῦ σωτῆρος ἡμῶν πειρασμῷ, λέγεται ταῖς λέξεσιν. ὅσα

» δὴ οὖν ἵνα εἴπωμεν ὁ ψαλμὸς πρὸς αὐτὸν τὸν κύριόν φησιν, ὅτι σὺ κύριε ἡ ἐλπίς μου, τὸν
» ὕψιστον ἔθου καταφυγήν σου. σὺ γὰρ αὐτός, φησὶν, ἡ ἐμὴ ἐλπὶς ὦ κύριε, μείζονα σαυ-
» τοῦ, ὃν θεὸν αὐτὸν τὸν ὕψιστον καὶ ὑπὲρ πάντων καὶ σαυτοῦ πατέρα, καταφυγὴν ἔ-
» θου· δι' ὃν δὲ πρόσεισιν κακὰ πρὸς σε, πρὸς σε τὸν ἐμὸν κύριον, καὶ μάστιξ οὐκ
» ἐγγιεῖ τῷ σκηνώματί σου. καὶ γὰρ ἀγγέλοις αὐτοῦ ἐνετείλατο περὶ σοῦ τοῦ διαφυλάξαι
σε μάστιξιν, καὶ ἵνα μὴ ἀπαντήσῃ προσκόψαι, ἀλλ' οὔτιγε ἡ ἐκ θεοῦ μάστιξ ἔφ' ᾧ σῷ
προσεγγίσῃ σκηνώματι, τοῦτ' ἔστι σώματι, ὃ δηλονότι δι' ἡμᾶς ἀναδεξάμενος
προσέβλεψας. τούτοις ἀκολούθως ἐφαρμόσεις αὐτῷ καὶ δι' ὅλου τοῦ ψαλμοῦ δηλού-
μενα, ἃ καὶ αὐτοῖς ἐν οἰκείοις καιροῖς ἐπιθεωρήσομεν.

Ἀπὸ τοῦ ὡσηέ.

Περὶ τοῦ θεοῦ λόγου, καὶ τοῦ παιδὸς ὡς περὶ κυρίου.

Οὐ μὴ ἐγκαλέσω ἔτι ἐξολεθρεῦσαι τὸν Ἰακώβ, ὅτι θεὸς ἐγώ εἰμι καὶ οὐκ ἀνθρω-
» πος· ἐν σοὶ ἅγιος· καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. ὀπίσω κυρίου πορεύσομαι. ἐν-
ταῦθα καὶ διὰ τούτων, ὁ θεὸς λόγος ἀναδεξάμενος πρὸς τοὺς ἀνθρώπους ἀνθρώπου αὐτὸν
» ἅγιον, ἀλλ' οὐ θεὸν εἶναι ὁμολογοῦντας, θεὸς ἐγώ εἰμι, φησὶ, καὶ οὐκ ἄνθρωπος ἐν
» σοὶ ἅγιος. εἶτα θεὸν αὐτὸν εἰπὼν, τὸν ὑπὲρ πάντων, κύριον καὶ θεὸν καὶ πατέρα αὖθις
» δηλοῖ, ὑπιλέγων, ὀπίσω κυρίου πορεύσομαι. τὸ δὲ, οὐκ εἰσελεύσομαι εἰς πόλιν,
ἀρνουμένου ἂν εἴη τὴν κοινὴν καὶ δημώδη ἀνθρώπων πολιτείαν· ἧς καὶ τοὺς ἰδίους
» μαθητὰς ἀποτρέπων φησὶν, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρι-
» τῶν μὴ εἰσέλθητε.

Ἀπὸ τοῦ ἀμώς.

Περὶ δὲ σωτῆρος ἡμῶν, ὡς περὶ κυρίου, καὶ τοῦ παιδὸς ὡς περὶ θεοῦ, καὶ τῆς τῶν Ἰουδαίων ἐθνους καταστροφῆς.

Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς
» δαλὸς ἐξεσπασμένος ἐκ πυρός. καὶ οὐδὲ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύ-
» ριος. καὶ διὰ τοῦτο ὁ κύριος, θεὸν ἵνα φησὶ τὸν ὑπὲρ Σοδόμων καταστροφὴν πε-
ποιηκέναι, ἕτερος ὢν δηλαδὴ τοῦ πρὸς αὐτὸν διαλεγομένου. καὶ ἐν τῇ ὑπὲρ Σοδόμων δὲ
καταστροφῇ, δύο κύριοι παρίστανται, ὅτε ἔβρεξεν ὁ κύριος πῦρ παρὰ κυρίου ὑπὲρ
Σοδόμων καὶ Γομόρρας. ὁποίαν δὴ καὶ ἐνταῦθα, φησὶ, διὰ τὰς ἐκείνων δυσσεβείας ὑπέ-
μεινε καταστροφὴν τὰ Σόδομα, διαυτὰ καὶ ὑμεῖς ὦ οὗτοι πείσεσθε, καὶ οὐδὲ οὕτως
ἐπεστρέψατε πρός με. σαφῶς δὲ τῇ γραφῇ τὸ μέλλον ὡς παρῳχημένου δηλοῦται.
ὥστε καὶ τὰ παρόντα ὁμοίως χρὴ νοεῖν, αὐτὶ μὲν τοῦ καταστρέφω μέλλοντος, τοῦ παρῳ-
χημένου εἰρημένου δὲ καλέστρεψα. αὐτὶ δὲ τοῦ, ὑπὲρ ἃ φήσεσθε, τοῦ ἐπεστρέψατε κει-
μένου. ταῦτα δὲ πρὸς τὸ Ἰουδαίων ἔθνος ἀποτείνεται, ἃ καὶ οὐδὲ ἅπαξ, ἢ μὴν
τῷ καιρῷ τοῦ Σωτῆρος ἡμῶν ὑπακούσῃ εἰς αὐτοὺς ἐπληρώθη. ὁ γοῦν ἱερεὺς αὐτῶν
καὶ ὁ παρὼν ἅγιος τόπος εἰς τοῦτο νῦν περιῆλθεν, ὡς καιρὸν μηδένα Σοδόμων καταστρο-
φῆς ἀποδεῖν. πλὴν ὅμως καὶ ἐνταῦθα ἀκόλουθα τῇ προρρήσει πεπονθότες, οὐδέπω καὶ
εἰς δεῦρο τὸν πρὸς τὸν χριστὸν τοῦ θεοῦ, δι' οὗ ταῦτα πεπόνθασιν, ὑπιστροφὴν ἐποιή-
σαντο· ὡς εἰκότως καὶ τοῦτο διὰ τὸν ἐν χερσὶ θεασίζεσθαι προφητείας λεγούσης, καὶ
» οὐδὲ οὕτως ἐπεστρέψατε πρός με, λέγει κύριος.

Ἀπὸ

Ἀπὸ τοῦ ἀβδειοῦ.

Περὶ τῶν δύο κυρίων, πατρὸς καὶ υἱοῦ, καὶ τῆς τῶν ἐθνῶν κλήσεως.

Ὁρασις ἀβδειοῦ. Τάδε λέγει κύριος τῇ ἰδουμαίᾳ, ἀκοὴν ἤκουσα παρὰ κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλε. κύριος ὁ θεὸς ἀκοὴν ἤκουσε παρὰ κυρίου. καὶ αὕτη δὲ ἦν περὶ τῆς τῶν ἐθνῶν κλήσεως.

Ἀπὸ τοῦ ζαχαρίου.

Ὡς ὁ θεὸς λόγος κύριος ὢν πρὸς τοῦ μείζονος ἀπεστάλθαι ὁμολογεῖ κυρίου.

Τάδε λέγει κύριος παντοκράτωρ. ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς. εἶτ' ἐπιφέρει μετὰ βραχέα λέγων, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με. εἰ καὶ ὁ ἀποστέλλων κύριος, κύριός ἐστι παντοκράτωρ, καὶ ὁ ἀπεστάλθαι λέγων ὡσαύτως, δύο ἄρα. Σαφῶς δὲ ὁ ἀπεσταλμένος, κύριος παντοκράτωρ ἐπὶ τὰ ἔθνη, φησίν, ἀπέσταλκέ με.

Ὁ αὐτὸς καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως.

Τέρπου καὶ εὐφραίνου θύγατερ σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ, λέγει κύριος. καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ, καὶ γνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. καὶ τὰ ἑξῆς. οἷς μεθ' ἕτερα ἐπιλέγει, καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται λέγει κύριος. καὶ ταῦτα τοῖς προτέροις ὅμοια, τὴν τοῦ χριστοῦ εἰς ἀνθρώπους παρουσίαν, καὶ τὴν γενομένην τῶν ἐθνῶν σωτήριον δι' αὐτοῦ κλῆσιν ἀναφωνοῦντα. ἐγὼ μὲν οὖν αὐτὸς ὁ κύριος ἥξω, φησίν. ἐπὶ δὲ τῇ ἐμῇ παρουσίᾳ οὐκέτι ὁ πάλαι ἰσραὴλ, ἀλλ' οὐδὲ ἓν μόνον ἐπὶ γῆς ἔθνος, ἔθνη δὲ πολλὰ καταφεύξονται ἐπὶ τὸν κρείττονα καὶ μέγαν κύριον, τὸν ἐμοῦ τε αὐτοῦ καὶ τῶν ὅλων θεὸν, ἐφ' ὃν τὰ καταφεύγοντα ἔθνη τοσαύτης τεύξεται εὐεργεσίας, ὡς καὶ χρηματίσαι καὶ γενέσθαι λαὸν θεοῦ, κατοικῆσαί τε ἐν μέσῳ τῆς καλουμένης θυγατρὸς σιών. οὕτω δὲ τὴν ἐπὶ γῆς ἐκκλησίαν τοῦ θεοῦ, ὥσπερ τινὰ θυγατέρα τυγχάνουσαν τῆς ἐπουρανίου, τοῖς ἱεροῖς γράμμασι ἀποκαλεῖν φίλον. ταύτην δὲ καὶ εὐαγγελίζεται τὸ φάσκον λόγιον, χαῖρε καὶ εὐφραίνου θύγατερ σιὼν, διότι ἰδοὺ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ. ἐν μέσῳ γὰρ τῆς ἐκκλησίας τὸν θεὸν λόγον κατασκηνοῦν πεπιστεύκαμεν. ὡς γοῦν καὶ ἐπήγγελται φήσας, ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ἐπειδὰν δὲ ἐγώ φησιν αὐτὸς ὁ κύριος εἰδὼν κατασκηνώσω ἐν μέσῳ σου, μείζονα τότε γνῶσιν περὶ τοῦ θεοῦ παντοκράτορος ἀναλήψῃ, ἐμοῦ τοῦ κυρίου τὴν αἰτίαν τῆς εἰς ἀνθρώπους ἀποστολῆς ἀνατιθέντος τῷ ἐξαποστείλαντί με πατρί. γνώσῃ δὲ ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με πρός σε. καὶ ἑξῆς περὶ ἑτέρου κυρίου καὶ θεοῦ ὧδέ πως αὐτὸς ὁ κύριος ἐπιλέγει, καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται, λέγει κύριος. τίνες δὲ ἂν εἶεν οἱ ἐν τῷ κυρίῳ καυχώμενοι;

Ὡς αὖθις κύριος περὶ ἑτέρου κυρίου, δῆλον δὲ ὅτι περὶ τοῦ πατρὸς αὐτοῦ, διέξεισιν.

Καὶ ἔδειξέ μοι κύριος ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου. καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. καὶ εἶπε

© Centre d'Études Supérieures de la Renaissance - Tours

» κύριος πρὸς τὴν διάβολον, ἐπιτιμήσαι κύριος ἐν σοὶ διάβολε, καὶ ἐπιτιμήσαι κύ-
» ριος ἐν σοὶ, ὁ ἐκλεξάμενος τὴν ἱερουσαλήμ. πάλιν καὶ ἐνταῦθα ὁ κύριος ἕτερον κύ-
ριον ἐπιτιμήσειν τῷ διαβόλῳ φησὶν, οὐχ ὁ προσδιαλεγόμενος κύριος ἐπιτι-
μῶν, ἀλλ' ἑτέρου μνημονεύων κυρίου. δι' ὧν ἡγοῦμαι σαφῶς παρίστασθαι περὶ
τῶν δύο κυρίων, τοῦ πατρὸς καὶ θεοῦ τῶν ὅλων, καὶ τοῦ μετὰ τὴν πατέρα τὴν κατὰ πάν-
των τῶν γεννητῶν κυρείαν καὶ δεσποτείαν διειληφότος ἀπόδειξιν.

Ἀπὸ τοῦ μαλαχίου.

Ὡς ἄγγελον διαθήκης τὸν χριστὸν, τὸν αὐτὸν δὲ καὶ κύριον ὁ παντοκράτωρ
θεὸς ἀποκαλεῖ.

Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν προσώπου μου, καὶ ἐξαί-
» φνης ἥξει εἰς τὸν ναὸν κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν
» ὑμεῖς θέλετε. ἰδοὺ ἔρχεται, λέγει κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν
» εἰσόδου αὐτοῦ; ὅμοια καὶ ταῦτα τοῖς προτέροις. κύριος γὰρ αὐτὸς ὁ θεὸς ὁ παντο-
κράτωρ ἥξειν φησὶν εἰς τὸν ναὸν αὐτοῦ κύριον, περὶ ἑτέρου λέγων. δηλοῖ δὲ ἄρα τὸν
θεὸν λόγον. μετὰ τοῦτο δὲ καὶ ἄγγελον τῆς διαθήκης ὀνομάζει, ὃν καὶ αὐτὸς ὁ παντο-
» κράτωρ κύριος ἐξαποστέλλειν πρὸ προσώπου ἑαυτοῦ διδάσκει, λέγων, ἰδοὺ ἐγὼ
» ἐξαποστέλλω ἄγγελόν μου πρὸ προσώπου μου. τὴν αὐτὸν δὲ τοῦτον, ὃν ἄγγελόν μου
» ἀπεκάλεσε, πάλιν ἑξῆς κύριον ὀνομάζει, καὶ ἐξαίφνης ἥξει κύριος, ἐπιλέγων, καὶ ὁ
» ἄγγελος τῆς διαθήκης. ἕνα δὲ καὶ τὸν αὐτὸν προειπὼν ἐπιφέρει, ἰδοὺ ἔρχεται, καὶ τίς
» ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; τὴν δευτέραν καὶ ἔνδοξον παρουσίαν αὐτοῦ σημαί-
νων. ὁ ταῦτα δὲ πάντα θεσπίζων, κύριός ἐστι παντοκράτωρ ὁ ὧν ὅλων θεός.

Ὡς ἥλιον δικαιοσύνης τὴν χριστὸν ὁ τῶν ὅλων θεὸς ὀνομάζει.

Καὶ ἀνατελεῖ τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἔσται ἐν τῇ
» πτέρυξιν αὐτοῦ. ὁ πολλάκις ὀνομασθεὶς κύριος καὶ θεὸς καὶ ἄγγελος, καὶ ἀρχιστράτη-
γος, χριστός τε καὶ ἱερεὺς, καὶ λόγος καὶ σοφία θεοῦ, καὶ εἰκὼν, νῦν αὐτὸς οὗτος ἥλιος κέ-
κληται δικαιοσύνης. τοῦτον δὴ οὖν αὐτὸν ὁ γεννήσας πατὴρ οὐ τοῖς πᾶσιν, ἀλλὰ μό-
νοις τοῖς τὸ ὄνομα αὐτοῦ φοβουμένοις ἀνατελεῖν ἐπαγγέλλεται, γέρας αὐτοῖς τοῦ εἰς
αὐτὸν φόβου διδοὺς τὸ φῶς τοῦ τῆς δικαιοσύνης ἡλίου. εἴη δ' ἂν οὗτος ὁ θεὸς λόγος, ὁ
» εἰπὼν, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὅπερ ἦν φῶς τὸ φωτίζον πάντα ἄνθρωπον ἐρ-
» χόμενον εἰς τὸν κόσμον. τοῦτον δὴ οὖν, ἀλλ' οὐ τὸν αἰσθητὸν, οὐδὲ τὸν προφανῆ τοῖς
πᾶσι λογικοῖς τε καὶ ἀλόγοις ἥλιον, ἀλλὰ τὸν ἔνθεον καὶ νοερὸν καὶ πάσης ἀρετῆς καὶ
δικαιοσύνης αἴτιον, μόνοις τοῖς φοβουμένοις αὐτὸν ἀνατελεῖν ἐπὶ τοῦ παρόντος ὁ θε-
» ός φησιν, ἀποκρύπτων αὐτὸν τῶν ἀναξίων. περὶ ὧν ἀλλαχόθι που λέγει, καὶ δύσεται ὁ
» ἥλιος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου.

Ἀπὸ τοῦ ἱερεμίου.

Ὡς ὁ θεὸς λόγος κύριος ὢν κυρίῳ τῷ πατρὶ εὐχὴν ἀναπέμπει, τὴν τῶν
ἐθνῶν ἐπιστροφὴν θεσπίζων.

Κύριε ἡ ἰσχύς μου καὶ βοήθειά μου, καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεως. πρός σε ἔθνη
» ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδω-
» λα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλεια. εἰ ποιήσει αὐτῷ ἄνθρωπος θεοὺς, καὶ οὗτοι οὐκ
» εἰσὶ θεοὶ, διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ γνω-

ριῶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ριῶ αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ἐγὼ κύριος. κύριος ἑτέρῳ εὐχε-
» ται κυρίῳ, τῷ πατρὶ δηλαδὴ καὶ θεῷ τῶν ὅλων, ἐν οἷς ἀρχόμενός φησι, κύριε ἰσχύς
» μου. καὶ τὰ ἑξῆς. σαφῶς δὲ τὴν τῶν ἐθνῶν ἐκ τῆς πολυπλανοῦς εἰδωλολατρείας
ἐπὶ τὴν εἰς τὸν θεὸν εὐσέβειαν μεταβολὴν θεσπίζει. καὶ αὕτη δὲ ἡ προφητεία μετὰ
τὴν εἰς ἀνθρώπους τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ παρουσίαν ἐναργέστατα δεί-
κνυται πεπληρωμένη. ἀλλὰ γὰρ δι' ὅλων τριάκοντα προφητικῶν κεφαλαίων,
δεύτερον θεὸν μετὰ τὸν ἀνωτάτω καὶ ἐπὶ πᾶσι, τὸν σωτῆρα καὶ κύριον ἡμῶν τὸν τοῦ θεοῦ
λόγον εἰ μεμαθηκότες, ἐφ' ἑτέραν τῆς κατὰ αὐτὸν οἰκονομίας ὑπόθεσιν μεταβη-
σόμεθα, αὐτὸν δὴ τοῦτον θεὸν εἰς ἀνθρώπους εὐσεσθαι δεῖν ἐκ τῶν αὐτῶν παρὰ
ἑβραίοις ἱερῶν βίβλων συστήσοντες.

Τάδε ἔνεστιν ἐν τῷ ἕκτῳ συγγράμματι τῆς τοῦ σωτῆρος ἡμῶν εὐαγγελι-
κῆς ἀποδείξεως.

Περὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας αὐτοῦ, ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν.

α'	ἀπὸ ψαλμοῦ	ιζ'.	β'	ἀπὸ ψαλμοῦ	μϛ'.
γ'	ἀπὸ ψαλμοῦ	μθ'.	δ'	ἀπὸ ψαλμοῦ	πγ'.
ε'	ἀπὸ ψαλμοῦ	ϟε'.	ϛ'	ἀπὸ ψαλμοῦ	ϟζ'.
ζ'	ἀπὸ ψαλμοῦ	ρϛ'.	η'	ἀπὸ ψαλμοῦ	ριζ'.
θ'	ἀπὸ ψαλμοῦ	ρμγ'.	ι'	ἀπὸ ψαλμοῦ	ρμζ'.
ια'	ἀπὸ τῶν βασιλειῶν	β'.	ιβ'	ἀπὸ τῶν βασιλειῶν	γ'.
ιγ'	ἀπὸ τοῦ μιχαίου.		ιδ'	ἀπὸ τοῦ ἀμβακούμ.	
ιε'	ἀπὸ τοῦ αὐτοῦ.		ιϛ'	ἀπὸ τοῦ ζαχαρίου.	
ιζ'	ἀπὸ τοῦ αὐτοῦ.		ιη'	ἀπὸ τοῦ αὐτοῦ.	
ιθ'	ἀπὸ τοῦ βαρούχ.		κ'	ἀπὸ τοῦ ἡσαΐου.	
κα'	ἀπὸ τοῦ αὐτοῦ.		κβ'	ἀπὸ τοῦ αὐτοῦ.	
κγ'	ἀπὸ τοῦ αὐτοῦ.		κδ'	ἀπὸ τοῦ αὐτοῦ.	
κε'	ἀπὸ τοῦ αὐτοῦ.				

Προοίμιον.



ΑΦῶς ἐν τῷ πέμπτῳ συγγράμματι τῆς εὐαγγελι-
κῆς ἀποδείξεως ὡρισμένου τοῦ περὶ πατρὸς καὶ υἱοῦ
λόγου, καὶ θεοῦ μὲν ἑνὸς τοῦ ἐπὶ πάντων ὡμολογημέ-
νου, δευτέρας δὲ μετ' αὐτὸν ἀποδειχθείσης οὐσίας
ἡγουμένης τῶν γεννητῶν ἁπάντων, ἣν σοφίαν θεοῦ
προτότοκον, μονογενῆ τε υἱὸν καὶ θεὸν ἐκ θεοῦ, με-
γάλης τε βουλῆς ἄγγελον καὶ τῶν κατ' οὐρανὸν στρα-
τειῶν ἄρχοντα, καὶ τοῦ πατρὸς ὑπουργὸν, ναὶ μὴν καὶ
κύριον τῶν ὅλων, καὶ θεοῦ λόγον καὶ θεοῦ δύναμιν, οἱ
θεῖοι προηγόρευον λόγοι, εἰ φανεῖεν ἐπὶ τοῦ παρόντος αἱ προφητικαὶ μαρτυρίαι

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεὸν εἰς ἀνθρώπους ἀφίξεσθαι μέλλοντα προαναφωνοῦσαι, πάντι τῷ δῆλον ἐπὶ τίνα χρὴ τὴν ἀναφορὰν τοῦ σημαινομένου ποιεῖσθαι· ὅτε μάλιστα διὰ τῶν πρόσθεν ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι τοῖς ἀμφὶ τὸν ἁβραὰμ θεοφιλέσιν ὁ θεὸς λόγος ἐπ' ὀνόματος κυρίου καὶ θεοῦ πέφηνε τὰς εἰς ἀνθρώπους ὀπτασίας πεποιημένος. φέρε οὖν ἴδωμεν, ὅπως ποτὲ μὲν κύριον, ποτὲ δὲ θεὸν καταβήσεσθαι εἰς ἀνθρώπους καὶ πάλιν ἀναβήσεσθαι ἐναργῶς οὕτω προαναφωνεῖ τὰ πρὸς ἑβραίοις λόγια, καὶ τάς γε αἰτίας τῆς καθόδου. σημειώσῃ δ' ὡς τινὰ μὲν εἴρηται δι' αἰνιγμάτων, τινὰ δὲ φανερώτερον. τὰ μὲν οὖν δι' ἐπικρύψεως ἡγοῦμαι τῶν ἐκ περιτομῆς ἕνεκα κεκαλυμμένως ἀποδεδόσθαι, διὰ τὰ θεσπιζόμενα κατ' αὐτῶν σκυθρωπά· δι' ἅπερ εἰκὸς ἦν καὶ ἀφανίσαι αὐτοὺς τὴν γραφήν, εἰ ἐκ τοῦ προφανοῦς τὴν ἐσχάτην αὐτῶν ἀποβολὴν ἐσήμαινεν. οὕτω γοῦν καὶ τοῖς προφήταις αὐτοῖς ἐπιβουλεῦσαι αὐτοὺς κατέχει λόγος, δι' οὓς ἐποιοῦντο κατ' αὐτῶν ἐλέγχους. αἱ δὲ σαφεῖς προφητεῖαι, τὴν τῶν ἐθνῶν κλῆσιν λευκότατα περιέχουσι, τῶν κατ' εὐσέβειαν ἀγαθῶν τὰς ἐπαγγελίας οὐ τῷ ἰουδαίων ἔθνει, πᾶσι δὲ ἀνθρώποις τοῖς καθ' ὅλης τῆς οἰκουμένης καταγγέλλουσαι. ὧν οὕτως ἐχόντων, καιρὸς ἤδη καὶ τῶν θείων ἐπακοῦσαι λογίων.

Ἀπὸ ψαλμοῦ ιζ'.

Θεοῦ εἰς ἀνθρώπους ἀφίξεως δήλωσις καὶ ἐπὶ ταύτῃ κλῆσις ἐθνῶν.

Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη. καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ ἐπέβη ἐπὶ χε-
» ρουβὶμ, καὶ ἐπετάσθη. ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. καὶ ἔθετο σκότος ἀποκρυφὴν
» αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. ἡγοῦμαι διὰ τούτων ἀντίκρυς θεοῦ κάθοδον οὐρανόθεν πρίσασθαι. προειπὼν γὰρ πολλὰς θεολογίας, ἐπιλέγει τὰ ἐκκείμενα. τῷ δὲ λέγειν κλίνειν αὐτὸν οὐρανὸν, καὶ κατεληλυθέναι, σημαίνει τὴν ὑποστολὴν τῆς ἐνθέου
» δόξης, ἣν ὁ θεῖος ἀπόστολος πρίσας ἐλέγεν, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρ-
» παγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' αὐτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. καὶ
» τὸ, ἐπέβη δὲ ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη, αἰνίττεσθαί μοι δοκεῖ τὴν ἐπὶ τοῦ θεοῦ δόξαν ἀποκατάστασιν, ἣν πεποίηται ἀγγελικαῖς καὶ θείαις δυνάμεσι δορυφορού-
» μενος. ὃ καὶ αὐτὸ δηλοῦσθαί μοι δοκεῖ διὰ τοῦ, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. τὸ δὲ σκότος τεθεῖσθαι τὴν ἀποκρυφὴν αὐτοῦ, καὶ γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ λέγεσθαι, παραστατικὸν ἂν εἴη τῆς κρυφίου καὶ ἀπορρήτου οἰκονομίας, καθ' ἣν ταῦτα πάντα
» αὐτῷ ἐτελεῖτο. κύκλῳ δὲ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, τίνα λέγεσθαι προσήκει νοεῖν, ἢ τὴν ἁγίαν αὐτοῦ καὶ καθολικὴν ἐκκλησίαν, εἴτε τὴν ἐπὶ τῆς γῆς, εἴτε τὴν ἐν οὐρανοῖς; ἑξῆς δὲ κατὰ τὸν αὐτὸν ψαλμὸν τελευτῶν ὁ λόγος, ὁμοῦ παραίτησιν τοῦ προτέρου λαοῦ, καὶ
» τὴν κλῆσιν τῶν ἐθνῶν προθεσπίζει, δι' ὧν φησι, ῥύσῃ μὲ ἐξ ἀντιλογιῶν λαοῦ, κα-
» ταστήσεις μὲ εἰς κεφαλὰς ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, υἱοὶ ἀλλότριοι
» ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. ταῦτα δὲ ὁποίας διανοίας ἔχεται, κατὰ τὸν προσήκοντα καιρὸν ἐξετασθήσεται.

ψαλμοῦ μς'.

Ἀνάβασις θεοῦ προκατεληλυθότος, καὶ ἐπίκλησις ἐθνῶν ἁπάντων, τὸν ἕνα καὶ μόνον θεὸν ἐπιγνωσομένων.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. ὅτι κύ-
ριος

© Centre d'Études Supérieures de la Renaissance - Tours

» εἰος ὕψισος, Φοϐερὸς, βασιλεὺς μέγας ὅτι πᾶσιν τοῖς γεῶ. ὑπέταξε λαοὺς ἡμῖν,
» ϗ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὸν καλ-
» λονὴν ἰακὼϐ, ὃν ἠγάπησεν. διάψαλμα. ὁ θεὸς ἐν ἀγαλλιάσει, κύριος ἐν φωνῇ σάλπιγ-
» γος. ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε, ὅτι βασι-
» λεὺς πάσης τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς. ἐβασίλευσεν ὁ θεὸς ὑπὲρ τὰ ἔθνη. ὁ θεὸς
» κάθηται ὑπὲρ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀϐρα-
» ὰμ, ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. τί ἕτερον βούλεται
σημαίνειν ἢ διὰ τούτων δηλουμένην κυρίου τοῦ θεοῦ ἀνόδους, ἢ τὴν πρὸς τὸν ἀνό-
δου καθόδου αὐτοῦ; ἐφ' ᾗ πάλιν ἡ τῶν ἐθνῶν πρώτων κλῆσις θαυμάζεται, χαρᾶς τε
ϗ ὑφροσύνης σημεῖα ὑπὲρ τῇ μελλούσῃ θεογνωσίᾳ τοῖς ἔθνεσιν ἅπασιν διαπελά-
ζεται, ὅτε κύριος αὐτὸς ὁ ὕψισος μόνος θεὸς ϗ βασιλεὺς ἁπάσης τῆς γῆς ὁμολογη-
θεὶς, ὑποταξάντων λαοὺς ἡμῖν λέγεται. ἡμῖν δὲ τίσιν; ἢ δηλαδὴ τοῖς ταῦτα πρεσϐεύ-
ουσιν; ὃ ϗ ἔστιν ἐναργῶς ἰδεῖν πεπληρωμένον, ὅτε πρῶτα τὰ εἰς χριστὸν πεπιστευ
κότα ἔθνη τοῖς λόγοις τῶν πρεσϐευτῶν ὑποτέτακται. λέγοιτο δ' ἂν ταῦτα ϗ ὀκ
» πρεσϐεύοντων τῶν ἀποστόλων τοῦ σωτῆρος ἡμῶν, οἱ δὲ εἰποιεν ἂν ὅ, ᾐξελέξατο ἡμῖν
» τὸν κληρονομίαν ἑαυτοῦ. κληρονομίαν δὲ αὐτοῦ τίνα χρὴ νοῆσαι, ἢ τὴν κλῆσιν τῶν ἐθνῶν
» ἀπρώτων; ἣν αὐτὸς ὁ χριστὸς τοῦ θεοῦ παῖς ἔφησε, κύριος εἶπε πρός με,
» υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, ϗ δώσω σοι ἔθνη τὴν
» κληρονομίαν σου, ϗ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ταύτην οὖν τὴν ὑπὸ
τοῦ παιδὸς δεδομένην αὐτῷ κληρονομίαν ὑπέταξε τοῖς ἀποστόλοις αὐτοῦ ϗ πρεσ-
ϐεύσασι, τοῖς εἰς αὐτὸν πεπιστευκόσι, τοῖς τούτων ὑποταγεῖσι λόγοις, ἀκο-
λούθως τοῖς προκειμένοις θαυμάσασι. ϗ ταῦτα δὲ πρῶτα καταρθώσας ὅτι τὰ εἰς
αὐθεντίαν αὐτοῦ πρόσοδος ὁ θεὸς λόγος, πρὸ οὗ πλάσσα ἡμῖν διήκπλαγ, μὴ ἐν
» ἀναλλαγμῷ. τοῦτο ὁ ἑρμηνεύων ὁ ἀπόστολός φησι· ϑῦ μὴ ἐν τί ἐστιν, εἰ μὴ ὅτι ϗ
» κατέϐη πρῶτον; εἰς τὰ κατώτατα μέρη τῆς γῆς ὁ καταϐάς, αὐτός ἐστι ϗ ὁ ἀναϐάς
» ὑπεράνω τῶν οὐρανῶν. ἐν ἀγαλλιάσει δὲ αὐτὸν φησιν ἀνῆχθαι, διὰ τὴν εἰς αὐ-
τὸν θεολογίαν τῶν δορυφορούντων αὐτὸν ἀγγέλων. οἱ καὶ ἔλεγον, ἄρατε
» πύλας οἱ ἄρχοντες ὑμῶν, ϗ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς
» τῆς δόξης. φωνὴν σάλπιγγος οὐκ ἂν σφοδρεῖς τὸ κήρυγμα εἰπὼν ϑεῖον ἀγγελικὸν,
εἰς πᾶσαν ἐξηχῆσαν τὴν οἰκουμένην. πρώτης γὰρ ὀργάνου μουσικοῦ μεγαλοφω-
νοτέρας οὔσης τῆς σάλπιγγος, οἰκείως προείληπται ϑεῖον ὠδάδιγμα εἰς ὠδάσα-
σιν τοῦ, πρώτων τῶν ἐξ αἰῶνος κραταιοτέρων ϗ μεγαλοφωνοτέρων τὴν περὶ τοῦ
χριστοῦ πᾶσιν ἀνθρώποις κατηγγέλθαι διδασκαλίαν, δι' ἧς ὥσπερ διά σάλπιγγος εἰς
ἔξακουστον πρώτων τῶν ἀνθρώπων ϐοᾶ ϗ κέκραγε τὸ πνεῦμα τὸ ἅγιον τὰ ἑξῆς
» τοῦ ψαλμοῦ, δι' ὧν εἴρηται, ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ
» ἡμῶν, ψάλατε. ὅτι βασιλεὺς οὐκέτι μόνης Ἰουδαίων ἔθνους, ἀλλὰ πάσης φησὶ
» τῆς γῆς ὁ θεός. ψάλατε συνετῶς. οὐκέτι γὰρ οἱ πρὶν δαίμονες φησι, οὐδὲ τὰ πρὸ
γῆς ἀπατηλὰ πνεύματα, ἀλλ' αὐτὸς ὁ θεὸς ἐβασίλευσεν ὅτι πρῶτα τὰ ἔθνη. ὁ
» θεὸς αὐτὸς, ὃς κάθηται ὅτι ἁγίου αὐτοῦ. ἤδη δὲ πρότερον τοῦ θεοῦ λόγου
» ὃν θρόνον, ἐφ' ὃν καθέζεται ὁ πατὴρ αὐτοῦ πρεκελεύσατο, εἰπών, κάθου ἐκ δε-
» ξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, διὰ τί πρὸ τούτου

© Centre d'Études Supérieures de la Renaissance - Tours

» συμφέμμαζος προεῖπαμεν. ὁ δὲ, ἔχοντες λαὸν σεμνήζησθαι μετὰ τοῦ θεοῦ » ἀβραὰμ, ἐπὶ τὰφέτερον δηλοῖ μεταπεθεῖσθαι εἰς ὃν κλῆρον τῶν πάλαι θεοφιλῶν » θεοῦ προφητῶν τοὺς ἐξ ἐθνῶν ἀγομένους τῆς χριστοῦ ἐκκλησίας, οἱ καὶ τῇ δυνάμει τοῦ σωτῆρος ἡμῶν καταισχύνειν, σφόδρα ἐπήρθησαν, ὀδένος δυσθέατον καὶ ταπεινὴν αὐτοῖς καὶ ταπεινωσαν δεδωκηκότος, ἀφ' ὑψοῦσθαι αὐτοὺς καὶ δυναμοῦσθαι τοῦ θεοῦ δεξιοῦ. καὶ ταῦτα δὲ ὅτι χρὴ, ἐντελεῖ λόγῳ διηγήσεως.

Ἀπὸ ψαλμοῦ μθ'.

Ὡς ἐμφανῶς ἤξει ὁ θεὸς εἰς δυσθέατους λέγεται, καὶ πῶς ὑμνος δυσθεάτων πρὸς ἑαυτὸν ἀναπέμπεται.

Θ εὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν. ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν ἐξ σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ σιωπήσεται. καὶ μετ' ἔτερα. ἀκουσόν φησι, λαός μου, καὶ λαλήσω σοὶ, ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι· ὁ θεὸς ὁ θεός σου εἰμὶ ἐγώ. οὐκ ὅτι ταῖς θυσίαις σου ἐλέγξω σε. τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου εἰσὶ διὰ παντός. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους, ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες. ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς. μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως. καὶ ταῦτα ἡ θεία προφῆτις σαφῶς θεὸν ἐμφανῶς ἥξειν θεσπίζει, οὐκ ἀμφίβολον ἢ τὸν τοῦ θεοῦ λόγον δηλοῦσα. καὶ τὸ αἴτιον δὲ τῆς προσοχῆς αὐτοῦ σαφέστατα προῖσιν, αὖθις τὴν κλῆσιν σημαίνουσα, τῶν καθ' ὅλης τῆς οἰκουμένης ἐθνῶν. ἐκάλεσε γοῦν, φησὶ, τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν. σφόδρα δὲ ἀκολούθως μετὰ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ μετὰ τὴν κλῆσιν τῶν ἐθνῶν, τὴν πρᾶξιν τῆς ἐν μωϋσέως νόμον σωματικωτέρας λατρείας διδάσκει, ἣ καὶ αὐτὴ τέλους ἔτυχε μετὰ τὴν τοῦ θεοῦ λόγου εἰς πάντας ἀνθρώπους ἐπιφάνειαν. ἐξ ἐκείνου γάρ τοι καὶ εἰς δύο κέκλιται μὴ πάντες οἱ ἐπὶ πάσης τῆς οἰκουμένης ἄνθρωποι, καὶ πάντα τὰ ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν ἔθνη· πέπαυται δὲ καὶ θήρητα ἡ ἐκ ἰουδαίων θρησκεία, καὶ τὴν καινὴν διαθήκην τοῦ ἀναγέλικου κηρύγματος, ἀλλ' οὐ κατὰ τὸν μωϋσέως νόμον, πάντων ἀνθρώπων ἀσεβῶν πρηγελμένων. ταῦτα δὲ ὡς ὅτι τὴν δευτέραν ὡς ἐνδοξον ἐπιφάνειαν τοῦ σωτῆρος αἰναφέρεσθαι.

Ἀπὸ ψαλμοῦ πγ'.

Ὡς ὅτι γῆς ὀφθήσεται ὁ θεὸς λέγεται διὰ τῆς τοῦ χριστοῦ εἰς ἀνθρώπους ἐπιφανείας.

Ο φθήσεται ὁ θεὸς τῶν θεῶν ἐν σιών. κύριε ὁ θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου. ἐνώτισαι ὁ θεὸς ἰακώβ, ὑπεράσπισαι ἡμῶν ἴδε ὁ θεὸς, καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου. ὃν θεὸν τῶν θεῶν ὀφθήσεται προφητῶν, ἀνέχεται τὴν ἐπιφάνειαν αὐτοῦ ἢ τάχος ἐπιζῆναι, καθ' ὃν ὀφθήσεται τόπον διδάσκων

διὰ

» διὰ τοῦ, ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου· ὡσεὶ σαφέστερον εἰρήκει, διὰ τοῦ προσώπου τοῦ χριστοῦ σου ἐπιφανήθι. ἐπεὶ γὰρ ὁ ἑωρακὼς τὸν υἱὸν, ἑώρακε τὸν πατέρα τὸν πέμψαντα αὐτὸν, εἰκότως διὰ τοῦ προσώπου τοῦ χριστοῦ ἐπιφανήσεσθαι τὸν ἐν τῷ χριστῷ κατοικοῦντα θεὸν τῶν θεῶν ἐπαγγέλλει.

Ἀπὸ ψαλμοῦ ϛε'.

Παρουσία κυρίου ἐπὶ γῆς, βασιλεία τε αὐτοῦ ἐπὶ τῶν ἐθνῶν, καινόν τε ᾆσμα οὐ τῷ ἰσραὴλ, ἀλλὰ τοῖς ἔθνεσι δοθησόμενον.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ᾄσατε τῷ κυρίῳ, εὐ-
» λογήσατε τὸ ὄνομα αὐτοῦ. εὐαγγελίσασθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ.
» ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ,
» ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα. φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. καὶ πά-
» λιν, ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν. καὶ πάλιν, εἴπατε ἐν τοῖς ἔθνε-
» σιν, ὅτι κύριος ἐβασίλευσε. καὶ ἐπὶ πᾶσιν ἐπιλέγει, τότε ἀγαλλιάσονται πάντα τὰ
» ξύλα τοῦ δρυμοῦ, ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. κρινεῖ τὴν οἰ-
» κουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. κἀνταῦθα πάλιν ἐρχόμενος εἰς ἀνθρώπους κύριος προφητεύεται, καινόν τε ᾆσμα ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ ᾄσεσθαι, τὴν καινὴν διαθήκην, οὐ τὸ ἰουδαίων ἔθνος, ἀλλὰ πᾶσαν τὴν γῆν· εὐαγγελισθήσεσθαί τε οὐκέτι τὸν ἰσραὴλ, ἀλλὰ πάντα τὰ ἔθνη, ἐπειδὴ παρ' αὐτῶν ἔσεσθαί φησι βασιλέα τὸν ἐρχόμενον κύριον. τίς δ' ἂν εἴη οὗτος, ἢ ὁ θεὸς λόγος; ὃς μέλλων δικαιοσύνῃ τὴν οἰκουμένην, καὶ ἀληθείᾳ τὴν ἀνθρωπότητα κρίνειν, ἐξίσης ἅπαντας τοὺς ἐπὶ τῆς οἰκουμένης ἀνθρώπους, τῆς αὐτοῦ κλήσεως καὶ τῆς ἐπὶ ταύτῃ παρὰ τῷ θεῷ σωτηρίας κατηξίωσεν.

Ἀπὸ ψαλμοῦ ϛζ'.

Ἆσμα καινὸν, γνῶσίς τε ἐθνῶν τῆς τοῦ κυρίου δικαιοσύνης, ἐρχόμενός τε αὐτὸς κριτὴς τῶν ὅλων.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησε. καὶ τὰ ἑξῆς· ἐγνώρισε κύ-
» ριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον πάντων τῶν ἐθνῶν, ἀπεκάλυψε τὴν δικαιοσύνην
» αὐτοῦ. καὶ πάλιν, εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ ἡμῶν.
» ἀγαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. καὶ ἐπὶ πᾶσι, τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προ-
» σώπου κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ
» καὶ λαοὺς ἐν εὐθύτητι. πολλῶν ἀγαθῶν αἰτία καὶ διὰ τούτων ἡ τοῦ κυρίου παρουσία τοῖς ἔθνεσι γεγενῆσθαι προφητεύεται, ἃ καὶ διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν ἐπὶ πέρας ἀχθέντα δείκνυται. ἐξ ἐκείνου γάρτοι καὶ οὐ πρότερον τὸ καινὸν ᾆσμα τῆς καινῆς διαθήκης εἰς πάντας ἀνθρώπους ᾄδεται, καὶ τὰ θαυμάσια αὐτοῦ διὰ τῆς τοῦ εὐαγγελίων γραφῆς γνώριμα καὶ ἐξάκουστα τοῖς πᾶσι γέγονε. οὐ μὴν ἀλλὰ καὶ τὸ σωτήριον τὸ κατὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ, πᾶσιν ἀπεκαλύφθη τοῖς ἔθνεσι, καὶ ἡ ἀληθὴς δικαιοσύνη, δι' ἧς ἐναργῶς ἀπεδείχθη, ὅτι μὴ ἰουδαίων ὁ θεὸς μόνον, ἀλλὰ καὶ ἐθνῶν. ἐπεί παρ' εἷς ὁ θεὸς κατὰ τὸν ἱερὸν ἀπόστολον, ὃς δι-
» καιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. τὸ δὲ, ὅτι ἔρχεται
» κρῖναι τὴν γῆν, γένοιτ' ἂν δηλωτικὸν καὶ τῆς δευτέρας αὐτοῦ παρουσίας.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Απὸ ψαλμοῦ ρσ'.

Λόγος θεοῦ εἰς ἀνθρώπους ἀποστελλόμενος ἐπὶ θεραπείᾳ καὶ σωτηρίᾳ ψυχῶν τῶν πάλαι ἐν κακίαις τετρυχωμένων.

Ε ξομολογησάσθωσε τῷ κυρίῳ τὰ ἔλεη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀν-
» θρώπων. ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. ἀν-
» τελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπει-
» νώθησαν· πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν· καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ
» θανάτου, καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν
» αὐτῶν ἔσωσεν αὐτοὺς. ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς
» ἐκ τῶν διαφθορῶν αὐτῶν. καὶ μεθ' ἕτερα, ὑψωσάτωσαν αὐτὸν, ἔθετο ποταμοὺς εἰς
» ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψος, γῆν καρποφόρον εἰς ἀλμὴν ἀπὸ κακίας
» τῶν κατοικούντων ἐν αὐτῇ. ἔθετο τὴν ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς
» διεξόδους ὑδάτων. καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλιν κατοικε-
» σίας. καὶ ταῦτα σαφῶς ὀνομαστὶ τὴν θεοῦ λόγου ἐξ οὐρανῶν κάθοδον εὐαγγελίζε-
» ται, τά τε τῆς παρουσίας αὐτοῦ κατορθώματα. ἀπέστειλε γοῦν φησὶ, τὸν λόγον αὐτοῦ, καὶ
» ἰάσατο αὐτοὺς. λόγον δὲ θεοῦ ἡμεῖς σαφῶς τοῦτόν φαμεν τὸν πρὸς τοῦ πατρὸς ἀπο-
σταλέντα πᾶσιν ἀνθρώποις σωτῆρα. ὃν καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων θεολογεῖν πε-
παιδεύμεθα. αἰνίττεται δὲ καὶ τὴν μέχρι θανάτου κάθοδον αὐτοῦ διὰ τοὺς ἐφθα-
κότας εἰς τοῦτον γεγενημένην. καὶ τήν γε αἰτίαν τῆς ἀφίξεως αὐτοῦ παρίστησι, τὴν ἀπο-
λύτρωσιν ἐμφαίνων τῶν δι' αὐτοῦ σωθησομένων. τοὺς γὰρ ἐφθακότας ἕως τῶν πυλῶν
τοῦ θανάτου, ἔσωσε μόνος αὐτοὺς. τούτους δὲ καὶ ἐῤῥύσατο ἰασάμενος ἐκ τῶν διαφθο-
ρῶν αὐτῶν· καὶ διεπράξατό γε ταῦτα οὐκ ἀλλώς, ἢ τοῦ θανάτου τὰς λεγομένας πύ-
λας χαλκᾶς συντρίψας, καὶ τοὺς σιδηροῦς μοχλοὺς συγκλάσας. καὶ δὴ μετὰ ταῦτα
ἀκολούθως προφητεύει τὴν εἰς ἔρημον κατάστασιν τῶν μὴ ἐλθόντα παραδεξαμένων
» αὐτόν. ἔθετο γάρ φησι ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψος. γῆν
» καρποφόρον εἰς ἀλμὴν ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. ἃ καὶ νοήσεις ἀνα-
δραμὼν τοῦ ἰουδαίων ἔθνους ἐπὶ τὴν πάλαι βοωμένην ἱερουσαλὴμ καὶ τὴν δόξαν αὐτῆς καὶ
τὴν ἐθνῶν καρποφορίαν, τῶν ἐν αὐτῇ πολιτευομένων ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν
ἐπὶ τοῦ παρόντος ὑστερημένην. μετὰ γὰρ τὴν τοῦ χριστοῦ παρουσίαν γέγονεν ἀληθῶς ἄ-
καρπος καὶ ἄνυδρος καὶ παντελῶς ἔρημος, καὶ ὥς φησιν ἡ προφητεία, εἰς ἀλμὴν
ἀπὸ κακίας τῶν κατοικούντων αὐτήν. τούτοις ἐπισυνάπτει σφόδρα ἀκολούθως
προφητικῷ τρόπῳ αἰνιττόμενος τῆς πάλαι ἐρήμου καὶ διψάδος, ἤτοι πάσης ἀνθρώ-
που ψυχῆς, ἢ τῆς ἐξ ἐθνῶν ἐκκλησίας τὴν εἰς εὐσέβειαν μεταβολὴν, τήν τε ἐν θείοις
» λόγοις καρποφορίαν. ἃ καὶ προδήλως αἰνίττεται λέγων, ἔθετο ἔρημον εἰς λίμνας ὑδά-
» των, καὶ τὰ ἑξῆς· ἅπερ νοῆσαι μόνου τῶν παρὰ θεῷ γένοιτ' ἂν σοφοῦ· κατὰ τὴν ἐπὶ τέλει
» τοῦ ψαλμοῦ φήσασαν ἐπαγωγὴν, τίς σοφὸς καὶ φυλάξει ταῦτα; καὶ τὰ ἑξῆς.

Απὸ ψαλμοῦ ριζ'.

Εθνῶν κλῆσις, θεὸς τε ἐπιφανὴς καὶ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.
Α ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί. ὅτι ἐκρα-
» ταιώθη ἐφ' ἡμᾶς τὸ ἔλεος αὐτοῦ. καὶ τὰ ἑξῆς. ὦ κύριε σῶσον δὴ, ὦ κύριε εὐόδωσον δή.
» εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν. καὶ
τούτου

© Centre d'Études Supérieures de la Renaissance - Tours

τούτου μέμνηται ἡ ἱερὰ τοῦ Βαπτιστοῦ γραφὴ τέλους ἐτυγχάνοντος, ὁπηνίκα ὁ Σωτὴρ καὶ κύριος ἡμῶν αὐτὸς ὁ Ἰησοῦς εἰσῆλθεν εἰς τὰ ἱεροσόλυμα, πολύτε πλῆθος ἀν-
» θρώπων καὶ παίδων τοσοῦτον αὐτὸν μετ' εὐφροσύνης ὑποδεχόντων, ὡς δυνατὸν τῷ
» ὑμῶν τῷ Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡς δυνατὸν ἐν τοῖς ὑψί-
» στοις. διὰ τοῦτο τὸ, ὦ κύριε σῶσον δή, κειμένου ἐν τῷ ψαλμῷ, τὸ ὡς δυνατὸν, ἐβραϊκώ-
» τερον φάσκοντες ἐπεβόων· ἑρμηνεύεται δὲ τοῦτο, σῶσον δή. καὶ τὸ, εὐλογημένος ὁ
» ἐρχόμενος ἐν ὀνόματι κυρίου, ἀσαφὲς τὸ λόγιον ἔξηγούμενοι φάσκον, θεὸς κύριος καὶ
» ἐπέφανεν ἡμῖν. σκοπῶ εἰς καὶ ὁ αὐτὸς ὢν ὁ ἐπιφανεὶς ἡμῖν θεὸς κύριος ὁ τοῦ θεοῦ
δηλαδὴ λόγος, ὁ καὶ διὰ τοῦτο εὐλογημένος, ὅτι δὴ ἐν ὀνόματι κυρίου τοῦ πέμ-
ψαντος αὐτὸν παρῆν, τοῖς ἀνθρώποις αὐτοῦ προσοίαν ἐποιήσατο. ἐλέγχων γοῦν
» τοὺς ἀπιστοῦντας αὐτῷ τὴν σκηνοποιΐαν, ἔλεγε πρὸς αὐτούς, ἐγὼ ἦλθον ἐν τῷ
» ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με. ἂν ὅς ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ
» ἰδίῳ, ἐκεῖνον λήψεσθε. εἰκότως οὖν τὸ πνεῦμα τὸ ἅγιον οὐκέτι ἐν Ἰουδαίοις λαῷ,
ἀλλὰ πᾶσι τοῖς ἔθνεσι διὰ τῆς ἀρχῆς τοῦ ψαλμοῦ προεφώνει.

Ἀπὸ ψαλμοῦ ρμη'.

Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κύριος δύναμιν καὶ περιέζω-
σται. καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἑτοιμασία τοῦ θρόνου σου ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Ἐπῆραν οἱ ποταμοί, κύριε, ἐπῆραν οἱ ποταμοὶ τὴν φωνὴν αὐτῶν· ἐπάρουσιν οἱ ποτα-
μοὶ τὰ κύματα αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν θαυμαστὸς ὁ μετεωρισμὸς τῆς θα-
λάσσης, θαυμαστὸς ἐν τοῖς ὑψίστοις ὁ κύριος.

Τὰ μαρτύριά σου πιστὰ σφόδρα· τὸν οἶκόν σου πρέπει ἁγιασμὸς, κύριε, εἰς μακρο-
ημέρευσιν.

Ἀπὸ ψαλμοῦ ρμθ'.

Ἄσατε τῷ κυρίῳ ᾠδὴν καινήν, ὅτι θαυμάσια ἐποίησεν ὁ κύριος.

Ἐγνώρισε τὸ σωτήριον αὐτοῦ, ἐνώπιον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐ-
τοῦ. ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ.

Ἀπὸ ψαλμοῦ ρνε'.

Ἐν τῷ κυρίῳ πεποίθασιν οἱ πατέρες ἡμῶν· ἤλπισαν καὶ ἐρρύσω αὐτούς. πρὸς σὲ
ἔκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ οὐκ ἠσχύνθησαν.

Ἀπὸ ψαλμοῦ ρνϛ'.

Ἐκ τοῦ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἀπὸ ψαλμοῦ ρνζ'.

Ὁ θεὸς λόγος ὅτι γῆς ἀποστελλόμενος, καὶ ἐν βραχεῖ χρόνῳ πάντας ἀνθρώ-
πους διατρέχων.

Ἐ παίνεσις ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου Σιών. εἴτ' ὑπερβὰς φησὶν, ὁ ἀποστέλλων

" τὸν λόγον αὐτῦ τῇ γῇ. ἕως τάχους δραμεῖται ὁ λόγος αὐτῦ. σαφὲς δὲ ὅτι τῦ ἀποστελλομένου ὁ ἀποστέλλων ἕτερος ὢν τυγχάνῳ. ἔχῃς δι' ἑρμηνείων καὶ τὸν μὲν ἀποστέλλοντα, ὃν ὅτι πάντων θεόν· τὸ δὲ ἀποστελλόμενον, τὸν λόγον, ὃς πολυώνυμος ὢν, ὁτὲ μὲν σοφία, ὁτὲ δὲ λόγος, ἀλλοτε δὲ θεός, καὶ πάλιν κύριος ἀπὸ τῶν θείων χρηματισμῶν ἀναγόρευται. ὑπισχνεῖται δὲ ἵνα ἔσται ἐν σφόδρα χρόνῳ βραχεῖ τὸ πᾶσαν οἰκουμένην ἔπλησεν ὁ τῆς διδασκαλίας αὐτῦ λόγος, ὡς οἶδ' ὅτι ὃ ἀποτέλεσμα
" θαυμάσῃς τῆς προῤῥήσεως φασκούσης, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτῦ.

Ἀπὸ τῆς ϛ' τῶν βασιλέων.

Κύριος ἐξ οὐρανοῦ κατιδών, ἀπεῤῥύπωσε τὸν ὄχλον τῶν ἀνομουμένων ἀνθρώπων, ὃ δὲ Ἰουδαίων ἔθνος ἀποστραφησόμενος.

Καὶ ἐλάλησε Δαβὶδ τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης. εἶτ' ἐξῆς φησι, καὶ ὤκλι-
" νεν οὐρανοὺς καὶ κατέβη, ὑπὸ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτῦ. καὶ ἐπέβη ὅτι
" χερουβὶμ, καὶ ἐπετάσθη ὅτι πτερύγων ἀνέμων, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτῦ.
" καὶ ὅτι τέλει τῆς αὐτῆς ᾠδῆς, ῥῦσαί με, φησὶν, ἐξ ἀντιλογιῶν λαοῦ. καὶ καταστήσεις με
" εἰς κεφαλὴν ἐθνῶν. λαός ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ
" μου. υἱοὶ ἀλλότριοι ἀπορριφήσονται. ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς θεός, ὁ ὀπισθὰς ᾧ ἀνείληφεν ἀνθρώπῳ, ὄντινα νῦν χερουβὶμ ὁ λόγος ὀνομάζει, δύο ἐστὶν σημαίνει αὐτῷ τὴν ἄνοδον πεποιημένος μετὰ τῶν δορυφορούντων αὐτὸν θείων πνευμάτων, πτερύγων ἀνέμων καὶ αὐτῶν χερουβὶμ λεγομένων. σκοτεινῶς δὲ ταῦτα καὶ ἐν ᾠδῇ βύσσῳ μεγυπαῖς καὶ διὰ τίνας ἀπορρήτους καὶ λανθάνοντας αἰνίττεται λόγους, φάσκων,
" καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτῦ. τὰ δὲ ἐξῆς ἀκολούθως τῇ τοῦ χριστοῦ ἀναθεωρήσει τῇ κατ' αὐτὸν γλωμένῃ ἀντιλογίᾳ τοῦ Ἰουδαίων λαοῦ σημαίνει, καὶ τὴν τῶν ἐθνῶν ἐπακολούθησιν τῆς τοῦ χριστοῦ διδασκαλίας. αὐτίκα δὲ ῥήμασι τὰ ᾠδῇ πλήσια βύσσῃ αὖ καὶ ἐν ἑπταικαιδεκάτῳ ψαλμῷ, εἰς ἃ τὰ φανέντα προείρηται.

Ἀπὸ τῆς τελίτης τῶν βασιλέων.

Θεὸς οὐρανόθεν καλιὰν, καὶ μετ' ἀναθεωρήσεων ὅπου γῆς καλιάν.

Καὶ νῦν κύριε ὁ θεὸς ἐπιστηρίσθητω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδίσου
" τῷ Δαβὶδ τῷ πατρί μου. ὅτι εἰ ἀληθῶς καθιεῖται θεὸς μετ' ἀναθεωρήσεων ὅπου γῆς,
" εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τῶν οὐρανῶν οὐκ ἀρκέσουσί σοι. κεῖται ταῦτα αὐταῖς λέ-
ξεσιν καὶ ἐν ᾠδῇ πολυάνθρωπος. τῷ μὲν οὖν Δαβὶδ ἐπηγείλατο ὁ θεὸς ἀναστήσειν
ἐκ κοιλίας αὐτῦ βασιλέα, οὗ πατὴρ αὐτὸς ὁ θεὸς ἔσεσθαί φησιν, ὥστε δὴ γινώμενον ἐκ σπέρματος Δαβὶδ, υἱὸν ὀνομασθῆναι θεῦ, θρόνον τε βασιλείας ἔχειν αἰώνιον. ταῦτα δὲ ἐν μὲν τῷ δευτέρῳ τῶν βασιλέων ἔδει νάπαν τῷ προφήτου ἐρρήθη τῷ
" Δαβὶδ τοῦτον ἔσεσθαι, καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν
" πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετά σε. ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοι-
" μάσω τὴν βασιλείαν αὐτοῦ. αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορ-
" θώσω τὸν θρόνον αὐτοῦ, ἕως εἰς τὸν αἰῶνα. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔ-
" σται μοι εἰς υἱόν. τὰ δ' αὐτὰ καὶ ἐν ᾠδῇ πολυάνθρωπος ὁμοίως εἴρηται. ἐν δὲ ψαλμῷ
" ὀγδοηκοστῷ ὀγδόῳ λέλεκται· αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ, θεός μου καὶ
" ἀντιλήπτωρ τῆς σωτηρίας μου. κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν τῶν
" βασιλεῦσι τῆς γῆς. εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου. καὶ ἡ διαθήκη μου

πιστὴ

„ πιστὴ αὐτῷ. καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐ-
„ τοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. καὶ πάλιν, ὤμοσα δαβὶδ τῷ δούλῳ μου, ἕως τοῦ
„ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σοῦ, καὶ οἰκοδομήσω εἰς γενεὰν τὸν θρόνον σοῦ. καὶ αὖθις,
„ ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ δαβὶδ ψεύσομαι. τὸ σπέρμα αὐτοῦ εἰς τὸν
„ αἰῶνα μενεῖ. καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου. καὶ ὡς ἡ σελήνη κατηρτι-
„ σμένη εἰς τὸν αἰῶνα. τούτων δὴ καὶ ὁ ἑκατοστὸς τριακοστὸς πρῶτος ψαλμὸς μνημο-
„ νεύσας, ἐπὶ τὸν χριστὸν ἀναφέρει τὰ δηλούμενα. ἄκουε δ' οὖν καὶ τούτου. μνήσθη-
„ τι κύριε τοῦ δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ· ὡς ὤμοσε τῷ κυρίῳ, ηὔξατο
„ τῷ θεῷ ἰακώβ. οἷς μετ' ἕτερα ἐπιλέγει, ὤμοσε κύριος τῷ δαβὶδ ἀλήθειαν, καὶ οὐ
„ μὴ ἀθετήσῃ αὐτόν. ἐκ καρποῦ τῆς κοιλίας σοῦ θήσομαι ἐπὶ τὸν θρόνον σοῦ. καὶ ὑπο-
„ καταβὰς ἑξῆς τὴν ἐκ καρποῦ τῆς κοιλίας δαβὶδ ἀναστήσομενον, λευκότερον ὀνομά-
„ ζει, λέγων, ἐκ τοῦ ἐξανατελῶ κέρας τῷ δαβὶδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου· τοὺς
„ ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. ταῦ-
τα τοιγαροῦν σολομῶν ὁ σοφώτατος τῷ ἑαυτοῦ πατρὶ χρησθέντα συννοήσας, μὴ
μικρὰ, μείζονα δὲ τῆς κατὰ ἄνθρωπον φύσεως τυγχάνοντα συνιδὼν, καὶ μᾶλλον
ἁρμόζοντα θεῷ ἤπερ αὐτῷ, καίπερ ὄντι υἱῷ δαβὶδ, συνιείς τε τὸν πρὸς τοῦ θεοῦ
προτότοκον ὠνομασμένον, καὶ τὸν σαφῶς προφητευόμενον υἱὸν θεοῦ, ὑπεργέγηθε
ταῖς ἐπαγγελίαις, καὶ συνεύχεται πιστωθῆναι τὰ τῆς προῤῥήσεως, ἐπιδημήσειν τε
„ τὸν προφητευόμενον, προτότοκον καὶ θεοῦ υἱὸν ἀναγορεύων. διόφησι, καὶ νῦν ὁ
„ θεὸς ἰσραὴλ πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου δαβὶδ τῷ πα-
„ τρί μου. ὅτι εἰ ἀληθῶς κατοικήσει θεὸς μετ' ἀνθρώπων ἐπὶ τῆς γῆς, εἰ ὁ οὐρανὸς
„ καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι.

Ἀπὸ τοῦ μιχαία.

Περὶ τῆς ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδου, καὶ περὶ τῆς ἐπὶ τῆς παρουσίας αὐτοῦ γενομένης ἀποβολῆς μὲν τοῦ ἰουδαίων ἔθνους, εἰς ποιήσεως δὲ τῶν λοιπῶν ἁπάντων ἐθνῶν.

Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. καὶ ἔσται κύριος ὁ
„ θεὸς ἡμῶν εἰς μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ· διότι ἰδοὺ κύριος ἐκπορεύε-
„ ται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ
„ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυ-
„ ρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. δι' ἀσέβειαν ἰακὼβ πάντα ταῦτα,
„ καὶ δι' ἁμαρτίαν οἴκου ἰσραήλ. καὶ νῦν ἀκαλύπτως ἐξ οὐρανοῦ κατιὼν κύριος ὁ
θεὸς, ἐκπορευόμενός τε ἐκ τοῦ τόπου αὐτοῦ, διὰ τῶν προκειμένων κηρύττεται. εἴη
δ' ἂν ὁ τοῦ θεοῦ λόγος, ὃν μόνον διὰ ὧν ἔμπροσθεν γεννητὸν ὑπάρχειν θεὸν καὶ κύ-
ριον μετὰ τὸν ἀνωτάτω καὶ ἐπὶ πάντων, ἐπεδείξαμεν. τόπου δ' αὐτοῦ οὐκ ἂν ἁμάρ-
τοις λέγων εἶναι τὴν ἐν οὐρανοῖς βασιλείαν, τόντε ἔνδοξον τῆς θεότητος αὐτοῦ θρό-
„ νον, ὃν θεολογῶν ὁ προφήτης ἔψαλλεν, ὁ θρόνος σου, φάσκων, ὁ θεὸς εἰς τὸν αἰῶνα
„ τοῦ αἰῶνος. ἐφ' ὃν αὐτῷ ὁ πατὴρ, ὡς ἂν υἱῷ μονογενεῖ καθέζεσθαι παρεκελεύσατο
„ εἰπὼν, κάθου ἐκ δεξιῶν μου. ταῦτα γὰρ σαφῶς ἤδη πρότερον ἐπὶ μόνον ἀνα-
φέρεσθαι τὸν ἡμέτερον σωτῆρα τὸν θεὸν λόγον παρεστήσαμεν. αὐτὸν δὴ οὖν τοῦτον ὁ

© Centre d'Études Supérieures de la Renaissance - Tours

παρὼν θεασάμενος λόγος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καταβήσεσθαί τε ὅτι τὰ ὑψηλὰ τῆς γῆς. ποῖα δ' ἂν εἴη ταῦτα; ἢ ῥητῶς μὲν τὰ ὄρη τὰ ἱερὰ, καὶ οἱ βουνοὶ ὡς ἂν μυρίαν περιφέρειαν θεασάμενοι, αὐτή τε Ἱερουσαλήμ, καὶ τὸ σιὼν ὄρος ἐν ᾧ τὰς πλείστας ἐποίησε θαυμασίας ὁ σωτὴρ καὶ κύριος ἡμῶν· τούτων δὲ διαφθορὰν ἔσεσθαι καὶ ἀπώλειαν ὅτι τῇ τοῦ χριστοῦ καθόδῳ θεασάμενος. καὶ περὶ δήλον ὡς μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν πρόοδον, τὰ κατ' αὐτὸν τελεσθέντα, τὰ περιφρονηθέντα πρώτα πεπολιόρκηται καὶ εἰς ἐρήμιαν ἠφάνισται. οὐ μόνον δὲ καὶ οἱ ἄρχοντες τοῦ ἰουδαίων ἔθνους, ἤτε πρὸ αὐτοῦ τὸ πρὶν σεμνοτάτη βασιλεία, ἱερωσύνη τε καὶ διδασκαλῶν περιφέρεια, ὄρη νῦν ἐπικῶς ὀνομαζόμενα, καλεῖσθαι λέγονται ὅτι τῇ τοῦ κυρίου ἐξ οὐρανοῦ πρόοδος. καὶ τοῦτο δὲ ὅπως τέλους ἔτυχε, τίς οὐκ ἂν ὁμολογήσαι, μετὰ τοὺς τοῦ σωτῆρος ἡμῶν ἐν τῷ χριστοῦ χρόνους πάντ' ἐκφανῆ θεωρῶν οὐ μόνον καλὰ φέροντα, ἀλλὰ καὶ ἐκ ποδὼν γεγενημένα; κοιλάδες δὲ εἰσέτι νῦν τηκόμεναι, εἶεν ἂν αἱ ἀντὶ τῆς ἱερουσαλὴμ καὶ τοῦ σιὼν ὄρους κατὰ πᾶσαν πόλιν σωζεσθῶσαι αὐτῶν σωμαγωγαί, ἀποφρίττουσαι καὶ ἀποκλαόμεναι, καὶ ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τηκόμεναι, ἀπὸ λύπην καὶ πένθους ἐκβολῆς, τῆς τε τῶν οἰκείων ἐρημίας, καὶ τῆς μακρᾶς καὶ πολυετοῦς δουλείας ἕνεκεν. καὶ ἀλλως δὲ κατ' ἀφάνειαν ἡ τοῦ λόγου τοῦ θείου βάπτισις, οὐκ ἐν χάσμασι καὶ κοιλώμασιν, ἀλλ' ἐν ταπεινοῖς καὶ χαμαιπετέσι ἀφανείαις, ἀλλ' ἐν ἐπηρμένοις τὸ φέγγημα κατεγίνετο. ταύτη γοῦν ἐπικώτερον αὐτὸς ὁ κύριος καθήσεσθαι ὅτι τὰ ὑψηλὰ τῆς γῆς εἴρηται. ὄρη δὲ σφόδρα ὑποκάτω τῶν αὐτοῦ, αὐτὰ δὴ ἐκεῖνα ἐστὶν, ἐν οἷς ἀνήχθη ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. ὅτι καὶ παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν. καὶ ὡς μετὰ τῶν θείων· ὄρη δ' ἂν εἴη αὖθις ἐπικώτερον ἡ ἐν τοῖς ὄρεσι τὸ πρὶν ὑπιτελουμένη εἰδωλολατρεία, καὶ αἱ ἐν τούτοις ἐνεργήσασαι δόξαι καὶ ἄρχουσαι καὶ δυνάμεις, ἃς οὐ μικρῶς ἡ τοῦ σωτῆρος λιμὼν ἀνέσφε τε καὶ ἀνεκίνει διδασκαλία. τούτων γὰρ δὴ ἕνεκεν, εἴτε θαυμαστοῦ καὶ παλαιᾶς δοξοποιὸς ἰσχύος, λελησθότως τῶν πρὶν τῶν ἀνθρώπων μακρὰν καὶ παλαιὰν διαίρεσιν καὶ διήρει. ὡσαύτως δὲ καὶ κοιλάδες τηκόμεναι ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, δαίμονες ἂν εἶεν χθόνιοι καὶ πρεῖγοι, καθ' ὧν ὁ καυστικὸν τῆς μαθητείας αὐτῶν πῦρ ἠφίει, λέγων, πῦρ ἦλθον βαλεῖν ὅτι τάχιστα, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; ὑφ' οὗ πυρὸς δὴ καιόμενοι, καὶ μὴ οἷοί τε ὄντες τὰς ἀπὸ τῆς ἀοράτου φλογὸς φέρειν βασάνους, ὑπομενεχώρησαν τῶν ἀνθρωπείων σωμάτων. καὶ τὸ συνέχον γε καὶ ζάον αὐτοῖς ἀναμολόγησον βοῶντες, ἔα. τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; οἶδά σε τίς εἶ. ὁ ἅγιος τοῦ θεοῦ. τούτους δὲ μάλιστα ἠκίζετο καὶ τοὺς ὑπὸ τούτων ἀρχομένους καὶ θήρα, ὅτι μὴ ἀχθεσθέντες τῇ τῶν λοιπῶν ἐθνῶν διαφθορᾷ, δι' ἧς τοὺς πρώτας εἰς τὸν πολύθεον πλάνον καταβεβλήκεσαν, καὶ τὰ πάλαι τοῦ θεοῦ λαῶν, αὖτω δὴ τὰ ἐκ περιτομῆς, ὑπιβεβουλεύκεσαν, καὶ ἐπισπάσαντές γε τοῦ θεοῦ καὶ τοῦτον πολυτίμητον περιέβαλον δυσσεβείας. διὸ καὶ μάλιστα τὸν ἐξ οὐρανοῦ πεποίηται ὁ κύριος κάθοδον. ὅθεν ἐξῆς φησι, διὰ τὸν ἀσέβειαν ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου ἰσραήλ. καὶ ἔτι πρὸς τούτοις τῆς ἐξ ὕψους καθόδου τοῦ λόγου τὴν αἰτίαν ἐξῆς διαφαίνει, τὸν μὲν ἐκ περιτομῆς λαὸν τὰς δυσσεβείας ἀπαιθυμούμενος, καὶ τὸν ὑπὲρ ταύτας μετελθόντα ἀνθρώπων ὅλεθρον, τῶν δὲ διὰ

πᾶσαν

πᾶσαν τὴν οἰκουμένην ἐθνῶν προαναφωνῶν τὴν κλῆσιν. Διὰ ταῦτα γὰρ ἐ-
" πεδήμει ὁ τοῦ θεοῦ λόγος ἐξ οὐρανῶν ἐπὶ γῆς. καὶ τῶν γε λέξεων ἄκουε, δι' ἀσέ-
" βειαν οἴκου ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου ἰσραήλ. τίς ἡ ἀσέβεια οἴκου
" ἰακώβ; οὐ σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου ἰούδα, οὐχὶ ἱερουσαλήμ; καὶ θήσομαι σαμά-
" ρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς
" χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω. καὶ ἐπιλέγει, κατέβη κακὰ
" παρὰ κυρίου ἐπὶ πύλας ἱερουσαλήμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων. καὶ αὖθις,
" ἡ δόξα τῆς θυγατρὸς ἱερουσαλήμ, ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου.
" ἐμπλάτυνον τὴν χηρείαν σοῦ, ὡς ἀετὸς, ὅτι ἠχμαλωτεύθησαν ἀπό σου. ἐπὶ τού-
" τοις, σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ
" τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ. σιὼν δὲ καὶ ἱερουσαλὴμ καὶ τὸ καλούμενον ὄρος τοῦ
" οἴκου, ταῦτ' ἦν ἐκεῖνα τὰ πρόσθεν δεδηλωμένα διὰ τοῦ, καὶ σαλευθήσονται τὰ
" ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυ-
" ρὸς, δι' ἀσέβειαν ἰακώβ. Διὰ γὰρ τὰς δρασθείσας κατ' αὐτοῦ δυσσεβείας εὐθὺς καὶ
οὐκ εἰς μακρὸν καὶ τὰ ὄρη καὶ οἱ ἐν τούτοις οἰκοῦντες πεπολιόρκηντο, ἐμπρησμόν
τε καὶ ἐσχάτην ἐρημίαν τὸ σιὼν ὄρος ὑπέμεινε, καὶ γέγονε τὸ ὄρος τοῦ οἴκου τοῦ θεοῦ
εἰς ἄλσος δρυμοῦ. ταῦτα μὲν οὖν ἐπὶ τῇ τοῦ κυρίου ἐξ οὐρανῶν καθόδῳ περὶ ἐκεί-
νους ἔσεσθαι καὶ ἡ παροῦσα προφητεία σημαίνει, ἃ καὶ ἐναργῆ τὴν ἐκβασιν εἴλη-
φε μετὰ τὴν τοῦ σωτηρος ἡμῶν ἰησοῦ χριστοῦ παρουσίαν. εἰ γοῦν τι δύναται καὶ ἡ
ἡμετέρα ἱστορία, καθ' ἡμᾶς αὐτοὺς τὴν πάλαι βοωμένην σιὼν ζεύγεσι βοῶν ὑπὸ
ῥωμαίων ἀνδρῶν ἀρουμένην ὀφθαλμοῖς παρειλήφαμεν, καὶ τήν γε ἱερουσαλήμ,
ὡς αὐτό γέ φησι τὸ λόγιον, ὀπωροφυλακίου δίκην ἀπολειφθέντος, ἐν πάντελει κα-
ταστᾶσαν ἐρημίᾳ. ἃ καὶ δι' οὐδὲν ἕτερον αὐτοῖς, ἢ διὰ τὰς δυσσεβείας αὐτῶν συμ-
βέβηκε. καὶ ὁ λόγος ὁ οὐράνιος ἐκ τοῦ οἰκείου τόπου προσῆλυθε. καὶ δι' ἑτέρας δὲ αἰ-
τίας ὁ τοῦ θεοῦ λόγος οὐρανόθεν κατεληλυθέναι τε καὶ ἐπιβεβηκέναι ἐπὶ τὰ ὕψη τῆς γῆς
ἤδη πρότερον ἐλέγετο, ὅπως τὰ μὲν πάλαι ἐπαιρόμενα καὶ ὑπερυψούμενα κατὰ
τῆς γνώσεως τοῦ θεοῦ ὄρη, σαλευθῇ ὑποκάτωθεν αὐτοῦ, αἱ δυνάμεις δηλονότι αἱ
ἀντικείμεναι, αἳ πρὸ τῆς αὐτοῦ παρουσίας μετὰ τῶν λοιπῶν ἀνθρώπων καὶ τὸ ἑβραί-
ων ἔθνος τοῖς τῆς δυσσεβείας καὶ εἰδωλολατρείας πράγμασι καταδεδούλωντο. οἱ
δὲ πονηροὶ δαίμονες κοιλάδες ἐπικαλούμενοι, διὰ τὸ ἐν χάσμασι σκοτίοις, καὶ τοῖς
τῶν σωμετικοῖς κοιλώμασιν ἐνδιατρίβειν, ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τηκό-
μενοι, τῇ τοῦ θείου λόγου δυνάμει ἐξ ἀνθρώπων ἀπέφυγον. καὶ ἑτέρα δ' ἀν εἴη
παρὰ ταύτας αἰτία οὐχὶ τυχοῦσα τῆς ἐξ οὐρανῶν καθόδου τοῦ κυρίου, ἣν ὁ λόγος
ἐπισημαίνεται, ὅπως πάντα τὰ ἐπὶ γῆς ἔθνη τῶν δαιμόνων ἀπελασθέντων, καὶ τῶν
ἀρχοντικῶν πνευμάτων σεισθέντων, τῆς πάλαι αὐτῶν σκληρᾶς καὶ ἀκινήτου τυ-
ραννίδος ὑπαναπνεύσαντα, τὴν ἐπίγνωσιν τοῦ ἐπὶ πάντων ἀναλάβῃ θεοῦ. καὶ
αὐτὰ ὧδέπως αἱ τῆς αὐτῆς προφητείας φωναὶ ἑξῆς καὶ κατὰ τὸ αὐτὸ ὑπὸ μίαν
" συνάφειαν διανοίας κηρύττουσι· καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος
" κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν
" βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι,
" δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακώβ, καὶ δείξουσιν

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ἐκ γὰρ σιὼν ἐξελεύ-
» σεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. τοιαῦτα
καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως, ἃ καὶ ὁποίας ἔχεται διανοίας, ὅπως τε καὶ αὐτὰ μετὰ
τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν τέλος εἴληφεν, ἐπὶ σχολῆς ἄν τις καταμάθοι. ἀ-
κολούθως γεμὴν τούτοις ἀρχόμενος ὁ τῆς προφητείας λόγος, ὡς ἂν ἐπὶ σωτη-
ρίᾳ οὐ μόνον τοῦ ἰουδαίων ἔθνους, ἀλλὰ καὶ τῶν ἐθνῶν ἁπάντων τῆς τοῦ κυρίου εἰς
ἀνθρώπους καθόδου γενησομένης, τοῖς λαοῖς καὶ τοῖς ἐπὶ γῆς ἅπασιν ἐπιφωνεῖ, λέ-
» γων, ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. καὶ τὸ μαρ-
» τύριον δὲ τοῦ πάθους ἠνίττετο τοῦ κυρίου ἐπιφέρων, καὶ ἔσται κύριος ὁ θεὸς ὑμῶν εἰς
» μαρτύριον. εἶθ' ἑξῆς ὁ αὐτὸς προϊὼν προφήτης, ὡς ἂν ἤδη προπαιδεύσας τὰ
περὶ τῆς ὑπάρξεως τοῦ θεοῦ λόγου, τῆς τε ἐξ οὐρανῶν αὐτοῦ καταβάσεως, καὶ ὡς τὰ
αἰτία τῆς εἰς ἀνθρώπους αὐτοῦ παρουσίας προειπὼν, ἑπομένως τὴν εἰς ἀνθρώπους
αὐτοῦ ἐσομένην γένεσιν, καὶ αὐτὸ δὴ χωρίον ἔνθα τεχθήσεσθαι ἔμελλεν, ὧδέ πως διδά-
» σκει λέγων, καὶ σὺ βηθλεὲμ οἶκος τοῦ ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν ἰούδα. ἐκ
» σοῦμοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ ἰσραὴλ, καὶ αἱ ἔξοδοι
» αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. ἐπιμελῶς δὲ πρόσχες, τίνα τρόπον τοῦ ἐπὶ τὴν
βηθλεὲμ, χωρίον δέ ἐστι τοῦτο τῆς ἰουδαίας, φανησομένου τὰς ἐξόδους ἄνωθεν καὶ ἐξ
αἰῶνος ὑφεστάναι φησὶ, τὴν ἐνθεον δηλῶν προϋπάρξίν τε καὶ οὐσίωσιν τοῦ ἐκ βη-
θλεὲμ προελευσομένου ἄρχοντος. εἰ μὲν οὖν ἔχοι τίς ἐφ' ἕτερον ἀναφέρειν τὸν
χρησμὸν, τίς ἐστι, ἀποδεικνύτω. εἰ δ' οὐκ ἔστιν εὑρεῖν ἕτερον τοῦ σωτῆρος ἡμῶν ἰησοῦ
χριστοῦ, ὃς μόνος μετὰ τὴν προφητείαν ἐνθένδε ὡρμημένος βοᾶται, τί λοιπὸν ἐμ-
ποδὼν μὴ οὐχὶ συνομολογεῖν ἀληθείαν τῇ προφητείᾳ, ἐπὶ μόνῳ αὐτῷ σαλευούσῃ
τὴν πρόῤῥησιν; μόνος γοῦν ἐστι ἐπιφανὴς τῶν πώποτε γεγονὼς, ἐκ τοῦ προειρη-
μένου χωρίου τῆς βηθλεὲμ μετὰ τοὺς τῆς προφητείας χρόνους τὸ ἀνθρώπειον
ὑποδὺς σχῆμα προελήλυθεν, ἅμα τε τῇ αὐτοῦ παρουσίᾳ ἐπληροῦτο τὰ προηγο-
ρευμένα. αὐτίκα γοῦν καὶ οὐκ εἰς μακρὸν τῷ μὲν ἰουδαίων ἔθνει ἕκαστα τῶν
προπεφητευμένων σκυθρωπῶν ἀπήντα, τοῖς δὲ ἔθνεσι πάλιν τὰ ἀκόλουθα τοῖς θε-
σπίσμασιν, αὐτός τε ἐστι ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐκ βηθλεὲμ ὁρμηθεὶς ἡγούμε-
νος ἀνεδείχθη τοῦ κατὰ διάνοιαν ἰσραὴλ, οὕτω πάντος τοῦ διορατικοῦ καὶ θεοσεβοῦς
λαοῦ χρηματίζοντος. καὶ θέα γε ὅπως τὰς ἐξόδους αὐτοῦ τῆς ἐνθέου προϋπάρξεως
ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν αἰῶνος ἔχειν λέγεται. ὅπερ οὐκ ἂν ἁρμόσειεν ἀνθρώπου
φύσει. τούτοις ἑξῆς ὁ προφητικὸς λόγος ὑποβὰς μικρὸν, καὶ νῦν πάλιν τῆς πάλαι
» νομικῆς θρησκείας τὴν περιγραφὴν καὶ καθαίρεσιν ὑποσημαίνει, ἐκ προσώ-
» που τοῦ λαοῦ λέγων, ἐν τίνι καταλάβω τὸν κύριον; ἐπιλήψομαι θεοῦ μου ὑψίστου;
» εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις· εἰ δῶ προτότοκα
» κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου. ἐκ δὲ προσώπου τοῦ θεοῦ τοιάνδε αὐτοῖς
» τὴν ἀπόκρισιν ποιούμενος, εἰ ἀναγγείλῃ σοὶ ἄνθρωπε τί καλὸν καὶ τί κύριος ἐκ ζη-
» τεῖ παρά σου, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι πορεύεσθαι
» ὀπίσω κυρίου τοῦ θεοῦ σου. ἔχεις τοιγαροῦν κἀνταῦθα ἐπὶ τῇ προφητευομένῃ τοῦ κυρίου
ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδῳ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ πλεῖστα ὅσα σημαινόμε-
να, ἰουδαίων ἀποβολὴν, ἐλέγχους τῶν ἀσεβῶν αὐτῶν, καθαίρεσιν τῆς βασιλικῆς αὐτῶν
μητροπόλεως,

© Centre d'Études Supérieures de la Renaissance - Tours

μητροπόλεως, τῆς τε πάλαι ποτὲ τῶν Ἰουδαίων ὑπὸ τελουμένης καὶ μυστικῆς λατρείας πρὸς αὐτὴν ἐμπαλιν ἐπὶ τὴν ἐθνῶν, ἀγαθὰς ἐπαγγελίας, ὑπὲρ γνῶσιν θεοῦ, καινὸν ἔτι τρόπον ἀναπεφάς, νόμον καινὸν ἐκ λόγου, ἐκ μὲν τῆς Ἰουδαίων χώρας ποτὲ ἐλθοῦσαν, εἰς πάντα δὲ τὰ ἔθνη διαδοθησόμενον. ἀπερ ὁποῖόν τέλος ἢ ὁποίαν ἐκβασιν τῶν λόγων μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ προῤῥήσεων ὑπαδέδεκται, σοὶ καταλείπω σκοπεῖν.

Ἀπὸ ἀμβακούμ.

Ὡς ἐρχόμενος ἥξει, καὶ οὐ χρονίσει ὁ τοῦ θεοῦ λόγος ποτὲ φηλούμενος.

Καὶ ἀπεκρίθη κύριος πρός με, καὶ εἶπε, γράψον ὅρασιν σαφῶς ἐν πυξίῳ, ὅπως διώκῃ
" ὁ ἀναγινώσκων αὐτά, διότι ἔτι ὅρασις εἰς καιρόν, καὶ ἀνατελεῖ εἰς πέρας, καὶ οὐκ εἰς
" κενόν. ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ χρονίσῃ. ἐὰν
" ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζή-
" σεται. καὶ ἐν τῷ ἀφαρπάσαι ἐρχόμενον ἥξειν ὃν ποτὲ φηλούμενον θεατίζει. Τίς δ'
" ἐστὶν οὗτος; ἢ ὁ ἀνωτέρω δεδηλωθεὶς καὶ ὃ, ἀλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου,
" θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν; τοῦτον δὲ οἷα φῶς ἰσχύοντα, εἰς πέρας ἀνατεῖλαι
" φησιν, ὑπὲρ σωτηρίας τῶν αἰώνων. ᾧ συνᾴδει καὶ ὁ Ζαχαρίας λέγων, ἰδοὺ ἀνὴρ, ἀνα-
" τολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτω δύναται αὐτῷ ἀνατολή. καὶ τὸν χρόνον ὑποσημαίνων ὁ
" αὐτὸς ὑπολέγει, ὃ ποτὲ ἑαυτέρων ἔσται φῶς. ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν· ἀνθ'
" ὧν ὁ ἀκύλας πεποίηκεν, ἐὰν δὲ μὴνήσῃ ποτὲ δέχου αὐτόν, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ
" βραδυνεῖ. Τούτου δὲ μέμνηται καὶ ἡ ποτὲ ἑβραίους ὑπισχνή, δι' ὧν φησι, μὴ ἀπο-
" βάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. ὑπομο-
" νῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγε-
" λίαν. ἔτι γὰρ μικρὸν ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. ὁ δὲ δίκαιος ἐκ πίστεώς μου
" ζήσεται. καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. καὶ ὅρα γε ὅπως
ἀφ' ἑαυτῶν ἀσαφῶς κείμενον τὸ ποτὲ φηλιχὸν, ἀφ' ὃ καὶ ὑπαβαλὸν εἰρῆκε,
ὑπὲρ τὸ σαφέστερον ἢ ὑπισχνῆ διείληφεν. ἡ μὲν γὰρ τοῦ ποτὲ φηλοῦ λέξις, ὁ ἐρχόμενος,
" φησὶν, ἥξει, καὶ οὐ χρονίσει. καὶ ὑπομένει, ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν
" αὐτῷ, ὅπερ ἐστὶν ἄτοπον. πῶς γὰρ ἐπ' ἐκείνου ἁρμόσει τὸ λέγεσθαι μὴ εὐδοκεῖν
ἐν αὐτῷ τὸν θεόν; ἀλλ' ἡ τῆς ἀμφιβολῆς παραθέσεις ἐνδυάξασα τὴν τοῦ λόγου σωτη-
" ρίαν, τὴν ἀφάνειαν ἐσώζει. μετὰ γὰρ τὸ, ἔτι μικρὸν ὅσον ὁ ἐρχόμενος ἥξει καὶ
" οὐ χρονήσει, ἐξῆς σεσῆφε τὸ, ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. εἶτα τὸ ἐν τῇ ποτε-
" φητείᾳ ποτὲ τὸν κείμενον, ὑπέταξε δεύτερον ἐν τάξει, καὶ ἐὰν ὑποστείληται, οὐκ
" εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ἅπαξ γὰρ θεασάμενος ὁ λόγος ἀφ' ἧς ποτὲ φητείας, ὅτι
δὴ τὸ φῶς τὸ πᾶσι τοῖς ἔθνεσιν ἐπηγγελμένον ἀφ' ἧς χριστοῦ προῤῥήσεως, ὀφὲ πολε-
μῆσαι καὶ ἑαυτέρους ἀφανίσαι, καὶ οὐ διαψεύσεται· οὕτω γὰρ αὐτὸ τὸ, καὶ οὐκ εἰς κενόν, ὁ ἀ-
κύλας ἡρμήνευσεν· ἔπειτα διὰ τὸ μὴ μὴν ὀφὲ καὶ ἑαυτέρους ἔσεσθαι τὴν τοῦ ποτε-
" φηλουμένου προῤῥήσιν, εἰς ὑπομονὴν παρακαλέσας ἀφ' οὗ, ἐὰν ὑστερήσῃ,
" ὑπόμεινον αὐτόν, ἢ ἐὰν μὴνήσῃ ποτὲ δέχου αὐτόν, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ
" χρονίσῃ, ὑπὲρ τὴν πίστιν τοῦ ποτεῤῥήσεως τὸν ἀκροατὴν προῤῥιφῆ λέγων, ὁ δὴ τούτοις

© Centre d'Études Supérieures de la Renaissance - Tours

πιστεύων ἐξ αὐτῆς τῆς πίστεως αὐτοῦ δίκαιος ἀναδειχθεὶς, τὴν κατὰ θεὸν ζήσεται ζωήν· ὡς ἔμπαλιν ὁ ἀπιστῶν, ἐν οἷς ὑποστείληται μὴ θαρσήσας, μηδὲ ἐμπιστεύσας τοῖς εἰρημένοις, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. οὐκοῦν καὶ αὐτοὶ τούτοις ἀκολούθως, ἐναλλάξαντες τὸ πρῶτον ὕστερον, καὶ μεταθέντες τὸ ὕστερον ἐπὶ τὸ πρῶτον, σώσομεν τὴν νοῦν τῆς λέξεως, μετὰ τὸ, ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονίσει, καθ' ὑπερβατὸν συνάπτοντες τὸ, ὁ δὲ δίκαιός μου ἐκ πίστεως ζήσεται. καὶ τούτῳ ἐπιλέγοντες τὸ, ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ταύτῃ δὲ καὶ ὁ ἀκύλας τῇ διανοίᾳ συντρέχει λέγων, ἐὰν μελλήσῃ, προσδέχου αὐτὸν, ὅτι ἐρχόμενος ἥξεσθαι, καὶ οὐ βραδυνεῖ. ἰδοὺ νωχελευομένου, οὐκ εὐθεία ἡ ψυχή μου ἐν αὐτῷ, καὶ δίκαιος ἐν πίστει αὐτοῦ ζήσεται.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς ἐπίφοβος ἡ περὶ τῆς ἐξ οὐρανῶν καθόδου τοῦ κυρίου ἀκοὴ τυγχάνει, καὶ μετὰ ἐκ πλήξεως τὰ ἔργα αὐτοῦ, καὶ θόντος τὲ αὐτοῦ ἡ σύμπασα γῆ τῆς αἰνέσεως αὐτοῦ πλησθήσεται, ὅτε γὲ τῆς καινῆς διαθήκης αὐτοῦ λόγος εἰς πάντας ἀνθρώπους διαδραμεῖται.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ. ἐν τῷ ἐγγίζειν τὰ ἔτη, ἐπιγνωσθήσῃ. ἐν τῷ παρεῖναι τὴν καιρὸν, ἀναδειχθήσῃ. ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἡγέους μνησθήσῃ. ὁ θεὸς ἐκ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος. ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία. ἐπακούσας δὲ αὐτὸς ἑαυτοῦ, μᾶλλον δὲ τοῦ ἐμπνέοντος καὶ ἐνθεσπίζοντος ἐν αὐτῷ θείου πνεύματος ὁ ἱερὸς προφήτης περὶ οὗ προφητευομένου φήσαντος, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσει, πιστεύσας τὲ ὡς δίκαιος ᾧ χρησμῶ, διὰ τῶν μετὰ χεῖρας φησι, κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην. καὶ τὰ ἑξῆς. δι' ὧν σαφῶς θεὸν εἰς ἀνθρώπους ἥξειν καταγγέλλει. τίς δὲ ἂν οὗτος εἴη ὁ πάλαι γνωριζόμενος, ὕστερον δέ ποτε ἐν ᾧ ἐγγίζειν τὰ ἔτη γνωσθησόμενος, καὶ κατὰ τὸν προφητευόμενον χρόνον ἀναδειχθησόμενος; ἢ ὁ αὐτὸς ἐκεῖνος ὁ προδηλωθεὶς δεύτερος τῶν ὅλων κύριος, ὁ καὶ τῇ προῤῥήσει ἀκολούθως ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἐξάκουστον πᾶσιν ἀνθρώποις κηρυχθείς; τούτου δὴ οὖν τὰ ἀνάγραπτα ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔργα, τὴν ἐκ παρθένου δηλονότι οὗ ἀνείληφε σκήνους γένεσιν, καὶ ὡς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, τάς τε ἐπιτελεσθείσας αὐτῷ εἰς ἀνθρώπους παραδοξοποιίας, καὶ τὰ κατ' αὐτοῦ γε τετολμημένα ᾧ ἰουδαίων ἔθνει, τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς προλαβών, τά τε μελλόντα συμβήσεσθαι κεκαθαρμέναις ταῖς διανοίαις παρὰ τοῦ διδάσκοντος αὐτὸν θείου πνεύματος μαθὼν, ἐκστῆναι ὁ προφήτης ἐπὶ τοῖς ἀκουσθεῖσι καὶ πεφοβῆσθαι ὁμολογεῖ φάσκων, κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ὁ σωτὴρ δὲ καὶ κύριος ἡμῶν αὐτὸς οὗτος ὁ τοῦ θεοῦ λόγος, ἐν μέσῳ δύο ζωῶν ἐγνώσθη· πληθυντικῶς ἐνταῦθα καὶ περι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

περισπωμένως τῶν ζωῶν, ἀπὸ ἑνικοῦ τοῦ τῆς ζωῆς ὀνόματος ἐξακουομένων. οὐ γὰρ
παροξυτόνως τῶν ζώων, ἀπὸ οὐδετέρου τοῦ ζώου λέγεται, ἀλλὰ ζωῶν περισπω-
» μένως ἀπὸ πληθυντικῆς εὐθείας τῆς, αἱ ζωαί. δύο οὖν φησι, ζωῶν μέσον γνωσθή-
σῃ. μιᾶς γὰρ οὔσης τῆς κατὰ θεὸν ζωῆς, καὶ θατέρας τῆς κατὰ ἄνθρωπον· καὶ τῆς μὲν θνη-
τῆς, τῆς δὲ ἀϊδίου· ἀμφοτέρων εἰκότως ὁ κύριος διὰ πείρας εἰδὼν, ἐν μέσῳ δύο
ζωῶν γνωσθῆναι λέγεται, κατὰ τὴν τῶν ὁ ἑρμηνείαν. κατὰ γὰρ τὸν ἀκύλαν οὐχ οὕτως,
» ἀλλ' ἐν τῷ ἐπιτίζειν τὰ ἔτη, ζώωσον αὐτὸ, εἴρηται. τί δὲ αὐτὸ, ἢ τὸ * κατεργόν σοῦ φησι;
» καὶ ὁ θεοδοτίων δέ φησιν, ἐν μέσῳ ἐτῶν ζώωσον αὐτόν. καὶ ὁ σύμμαχος, ἐντὸς τῶν ἐνι-
» αυτῶν ἀναζώωσον αὐτὸν, ἐκδέδωκε. πάντες οὖν ζώωσον αὐτὸν εἰπόντες, σαφῶς
ὅτι μὴ περὶ οἷα ἀλόγων τινῶν. ἢ λογικῶν ζώων ὁ λόγος τυγχάνει παρέστησε. διὸ παρὰ
τοῖς ὁ λεγομένου τοῦ, ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ, οὐ κατὰ τοὺς πρὸ ἡμῶν ἐξει-
λήφαμεν, ἀλλὰ δύο ζωὰς τοῦ προφητευομένου δηλοῦσθαι ἔφαμεν· μίαν μὲν
» τὴν ἐνθεον, ἑτέραν δὲ τὴν ἀνθρωπίνην. τούτοις ὁ προφήτης ἐπιλέγει, ἐν τῷ
» ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ. διδάσκων ὅτι τὸν τοῦ πάθους
τοῦ προφητευομένου καιρὸν συνιδὼν τῷ πνεύματι τεθορύβητο. πλὴν ἀλλ' ἐν
αὐτῷ τούτῳ φησὶ τῷ καιρῷ, ἐφ' ᾧ τὴν ψυχὴν ἐταράχθην, ὀργῆς τοῖς ἀνθρώποις
οὐδὲ πώποτε ἀλλότε ἐπαιωρηθείσης, διὰ τὰς τολμηθείσας κατὰ τοῦ κυρίου δυσ-
σεβείας, ἐλέους αὐτὸς ὁ φιλανθρωπότατος κύριος, ἀντὶ ὀργῆς ἐμνήσθη, ὡς ἂν ἀγα-
θοῦ τυγχάνων πατρὸς υἱός. τὸ γοῦν πάθος αὐτοῦ τῷ παντὶ κόσμῳ σωτηρίας τῆς κατὰ
» θεὸν καὶ ἐλέους κατέστη αἴτιον. τούτοις ἐπιλέγεται, ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει. τὸ δὲ θαι-
μὰν μεταλαμβάνεται εἰς τὴν ἑλλάδα φωνὴν, συντέλεια. ὡς μηδὲν διαφέρειν εἰ
σαφῶς ἐλέγετο, ὁ θεὸς ἐπὶ συντελείᾳ ἥξει. ἐπὶ γὰρ συντελείᾳ τοῦ αἰῶνος καὶ ἐν τῇ
ἐσχάταις ταύταις ἡμέραις ἐπέφανεν ἡμῖν ἡ τοῦ θεοῦ τῶν ὅλων διὰ τοῦ σωτῆρος
ἡμῶν εὐεργεσία. τάχα δὲ καὶ τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἐν τούτοις ἄφιξιν
θεσπίζει. ὥστε ἀπὸ ἑτέρας ἀναγινώσκεσθαι ἀρχῆς τὰ ἀπὸ τοῦ, ὁ θεὸς ἀπὸ θαιμὰν
ἥξει, ὡς ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἥξοντος αὐτοῦ, ἀπὸ τῶν κατὰ τὰ νότια μέρη τοῦ οὐρα-
νοῦ. μεταλαμβάνεται γὰρ θαιμὰν εἰς τὸν νότον. διόπερ ὁ θεοδοτίων τοῦτον ἑρμη-
» νεύει τὸν τρόπον, ὁ θεὸς ἀπὸ νοτίου ἥξει. τὸ δὲ ἑξῆς εἰρημένον, καὶ ὁ ἅγιος ἐξ ὄρους κα-
» τασκίου, δασέος, νοήσεις, παραθεὶς τὰς οὕτως ἐχούσας ἐν ᾧ ζαχαρίᾳ φωνὰς,
» ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ ἵππον πυῤῥὸν, καὶ ἑστὼς εἱστήκει
» ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων. τοῦτον γοῦν τὸν ἐπιβεβηκότα ἐπὶ ἵππον πυῤ-
ῥὸν, καὶ ἑστῶτα ἀνὰ μέσον τῶν ὀρέων τῶν κατασκίων, αὐτὸν ἡγοῦμαι εἶναι τὸν ἐν τῇ
μετὰ χεῖρας δηλούμενον προφητείᾳ, φασκούσῃ τὸν ἅγιον ἥξειν ἐξ ὄρους κατασκίου,
δασέος. ἐν ἑκατέροις γοῦν ὄρη κατάσκια λέλεκται. καὶ ἡγοῦμαι τοῦ παραδείσου
τοῦ θεοῦ τυγχάνειν, ὃν ἐφύτευσεν ἐν ἐδὲμ κατὰ ἀνατολὰς, ἢ καὶ τῆς ἐπουρανίου ἱερου-
σαλήμ. ὄρη γὰρ κύκλῳ αὐτῆς, καὶ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. ταῦτα γοῦν διὰ
τὸ πλήρη τυγχάνειν θείων δυνάμεων καὶ πνευμάτων ἁγίων, ὡς ἂν σύμφυτα καὶ
ἀμφιλαφῆ κατάσκια λέγεται. ἀλλ' ἐν μὲν τῷ ζαχαρίᾳ σαφῶς ἀνὴρ ἐποχούμε-
νος ἵππῳ πυῤῥῷ θεωρεῖται αὐτῷ, τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως, καὶ τῆς
σαρκὸς ἣ ἐπωχήσατο δηλουμένης. ἐνταῦθα δὲ κύριος καὶ ἅγιος ὠνόμασται. ὡς γὰρ ἐκ
θεοῦ εἰς ἀνθρώπους τὴν ἄφιξιν πεποιημένος, καὶ ὡς ἂν ἐκ τῶν θειοτέρων χωρίων

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἐπιφοιτήσας, λέγεται ὁ θεὸς ἀπὸ θαιμὰν ἥξειν, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου
» δασέως. εἶτα ἑξῆς ἐπιλέγει, ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ
» πλήρης ἡ γῆ, καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. δι' ὧν ἥ τε εἰς οὐρανοὺς ἐνδόξος αὐτοῦ
βασιλεία παρίσταται, καὶ ἡ μετὰ ταῦτα γενομένη τε καὶ ἐπὶ πλεῖον γενησομένη εἰς
» πᾶσαν τὴν γῆν τῆς περὶ αὐτοῦ διδασκαλίας αἴνεσις. τὸ δὲ, κέρατα ἐν ταῖς χερσὶν
» αὐτοῦ, τῆς βασιλείας αὐτοῦ τὰ σύμβολα δηλοῖ. δι' ὧν κεράτων τὰς ἀοράτους καὶ ἀντι-
κειμένας δυνάμεις ὠθούμενος καὶ κερατίζων ἀπελαύνει. ἀκολούθως τούτοις ἐπιλέ-
» γει, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. καὶ τῆς γε εἰς ἀνθρώπους κραταιᾶς
διαθέσεως αὐτοῦ καὶ ἀγάπης δεῖγμα μέγιστον ἦν τὸ, πρὸ προσώπου αὐτοῦ πο-
ρευθῆναι λόγον, δηλονότι τὸν σωτήριον καὶ εὐαγγελικὸν, ἐξελθόντα τε τοῦτον διαδρα-
μεῖν εἰς πεδία, ὥστε ἐν ὀλίγῳ πᾶσαν πληρῶσαι τὴν οἰκουμένην τῆς ὑπ'
αὐτοῦ προξενηθείσης ἅπασιν ἀνθρώποις σωτηρίας· ἀκολούθως τῇ προφητείᾳ
» φησάσῃ, πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία.
κατὰ τὴν δευτέραν δὲ αὐτοῦ παρουσίαν, ἔτι μᾶλλον καὶ κυριώτερον ὁ λόγος αὐτοῦ πέ-
ρας ἐπιθήσει τοῖς τε εἰρημένοις καὶ τοῖς ἑξῆς ἐπιφερομένοις, ἃ καὶ οὐ νῦν ἐξε-
τάζειν καιρός.

Ἀπὸ τοῦ ζαχαρίου.

Ὡς ὁ κύριος ὁ παντοκράτωρ ὁμολογεῖ ὑφ' ἑτέρου κυρίου παντοκράτορος
ἐπὶ καθαιρέσει τῶν φαύλων ἀπεστάλθαι.

Τάδε λέγει κύριος παντοκράτωρ, ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύ-
» σαντα ὑμᾶς. διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐ-
» τοῦ. διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύ-
» σασιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με. κύριος αὐτὸς
ὁ παντοκράτωρ ἐν τούτοις ἑαυτὸν ἀπεστάλθαι φησὶ, καὶ τὸν ἀποστείλαντα ὅστις εἴη
» διδάσκει, λέγων, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με. οὐκοῦν καὶ
ἐνταῦθα δύο σαφῶς ἔχεις μιᾷ χρωμένους προσηγορίᾳ, τόν τε ἀποστείλαντα κύ-
ριον παντοκράτορα, καὶ τὸν ἀποστελλόμενον ὁμώνυμον τῷ ἀποστείλαντι. τίνα δ'
ἂν ἕτερον εἴποις τὸν ἀποστελλόμενον, ἢ τὸν διὰ πλειόνων ἡμῖν προηγορευμένον θεὸν
» λόγον, πρὸς τοῦ πατρὸς ἀπεστάλθαι ὁμολογοῦντα; σαφῶς δὲ εἰρηκότα, ὀπίσω δόξης
» ἀπέσταλκέ με. δηλῶντα, ὅτι προϋπάρχων ἐν δόξῃ τῇ παρὰ τῷ πατρὶ μετὰ ταῦτα
ἀπέσταλτο ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς. ἐπὶ γὰρ τὰ πρότερον ἐχθρὰ καὶ πο-
λέμια τοῦ λαοῦ τοῦ θεοῦ ἔθνη ἀποσταλεὶς ὁ τοῦ θεοῦ λόγος, ταῦτ' ὑφ' ἑαυτὸν ἠγάγετο,
σκυλεύσας αὐτὰ διὰ τῶν αὐτοῦ μαθητῶν, οἵτινες ἦσαν μέρος τοῦ ἐκ περιτομῆς
λαοῦ. ὅν τινα πάλαι κατὰ δεδούλωντο τὰ ἔθνη σκυλεύσαντα αὐτὸν τῇ οἰκείᾳ εἰδωλο-
λατρείᾳ. τοῦτ' οὖν φησι πείσεσθαι τὰ ἔθνη, ἅπερ διατέθεικεν. ὡς γὰρ τὸν λαὸν τοῦ θεοῦ
τῆς πατρῴας εὐσεβείας μεταστησάμενα, σκῦλα τοῖς ἰδίοις δαίμοσι κατεστήσατο,
οὕτω ποτὲ καὶ αὐτὰ τῆς πατρικῆς εἰδωλολατρείας πρὸς τῶν πάλαι δεδουλευ-
κότων αὐτοῖς σκυλευθήσεται, καὶ ὑπὸ τὸν ζυγὸν τῆς κατὰ ἑβραίους εὐσεβείας με-
ταστήσεται. τοῦτο δὲ ἔσεσθαί φησιν ὁ κύριος δι' ἑαυτοῦ ἐπὶ τῷ τοιῷδε κατορθώμα-
τι πρὸς τοῦ πατρὸς ἀποσταλησομένου. εἴποι δ' ἀντῖς καὶ νοητάς τινας καὶ ἀοράτους
δυνάμεις

© Centre d'Études Supérieures de la Renaissance - Tours

δωνάμεις ἔθνη νεῦω ὀνομάζεσθαι τὰ σκυλδύσοντα καὶ αἰχμαλωϐύσοντα τὰς τῶν δυθεόντων ψυχάς, ὧν ψυχῶν οὕτω φησὶ κήδεται ὁ φιλάνθεοπος τοῦ θεοῦ λόγος ὡσεί τις ἰδίας ὀφθαλμοῦ κόρης. καὶ δεῖγμα τ διαῤῥεύσεως τοῦ τῶν ἀνθεόντων ϐλάϐος κηδεμονίας, τὸ μηδ' ὑποστείλασθαι αὐτὸν, θεοῦ λόγον ὄντα καὶ ἐν δόξῃ τῇ πατρικῇ τυγχάνοντα, τεῦ εἰς ἀνθεόπους ἐπιδημίαν τε καὶ οἰκονομίαν ἀναδέξασθαι.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς αὐτὸς ὁ κύριος ἤξειν οὐρανόθεν καὶ ἐν ἀνθεόποις καταοικιωσόμενον, ταῦτα ἔθνη εἰς αὐτὸν καταφεύξεσθαι θεσπίζει, ἐς ὡς ἀπεσάλθαι ὑπὸ ἁγίου πνεύματος κυρίου πανυπερόρους ὁμολογεῖ.

Τέρπου καὶ εὐφραίνου θύγατερ σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν
» μέσῳ σου λέγει κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ
» ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν. καὶ κατασκηνώσω ἐν μέσῳ σου, καὶ γνώσῃ ὅτι κύ
» ριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σε. ἐπεὶ προέκειτο νῦν τὸ δεύτερον αἴτιον ἐκ τ προφητῶν ἀποδεῖξαι, δυθεόποις μόνον ὅτι γῆς συμπολιτεύεται, οἶμαι τούτου χάριτος ἕνεκεν καὶ τεῦ προεῖπεν προφητεῖαι, ὡς δηλ' ὃ προέδηλον μηδὲ πλείονος διεργασίας δεῖται. τηρήσῃς δὲ ὅτι καὶ τεῦ αἰτίου αὖθις τῆς
» ἀφίξεως αὐτοῦ δηλοῖ, ἐν οἷς φησι, καὶ καταφεύξονται ἔθνη πολλὰ ὅτι τὸν κύριον τῇ
» ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν. ταῦτα δὲ ὁ λόγος, τεῦ θυγατέρα σιὼν διαπελίζεται· οὕτω τεῦ ἐκκλησίαν τοῦ θεοῦ προσαγορεύων, διὰ τῆς ἐπουρανίου ἱερουσαλὴμ θυγατέρα εἴπερ δοκεῖν, μηδεὶς οὔσης ἐκείνης τῶν ἁγίων κτισμάτων ἱερὸν ἀπόστολον. ἢ καὶ διὰ τοῦτο θυγατέρα σιὼν ἡ ἐκκλησία χρεισοῦ λεχθεῖη διά, ὡς ἂν ἐκ τῆς προτέρας συναγωγῆς τῶν ἐκ περιτομῆς, διά τε ἀποστόλων καὶ διαπελιστῶν ἐπισκοπάς, οἳ καὶ γλυκήματα ἐτύγχανον μηδεὶς τῆς ἀπορρίψεως διὰ τὰς οἰκείας δυσεβείας, καὶ χήρας γεγονυίας διὰ τὸ ἀπελάσαι τὸν ἀνδρα διὰ τῶν προφη-
» τῶν ὅτι μεμιαμμένον αὐτῇ καὶ φησάντα, οὐχ ὡς ἀνδρα μὲ ἐκάλεσας, καὶ πατέ-
» ρα καὶ ἀρχηγὸν τ πρεσθυνίας σου. ὃς καὶ τοῖς ἐξ αὐτῆς γεγονόσιν ὃν τρόπον τ μη-
» δεὶς διδασκάλων φησί, ποῖον ἔδωκε τὸ βιβλίον τ ἀποστασίου τ μητρὸς ὑμῶν, ᾧ ἐξαπέ-
» στειλα αὐτήν; καὶ πάλιν, κρίνεσθε πρὸς τ μητέρα ὑμῶν, κρίνεσθε, ὅτι αὕτη οὐ
» γυνή μου. κἀγὼ οὐκ ἀνὴρ αὐτῆς. εἰκότως δῆτα ὡς ἀν τεῦ μητέρα ἀπρονοησα-
μένου τ κυρίου, πρὸς τ θυγατέρα ἡ προοῦσα προφητεία διαπελίζεται τ αὐτοῦ τ κυρίου προοιδήν. εἰπὲ δ' ἀν αὕτη ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἐν χώρᾳ θυγατρὸς τῆς προτέρας διὰ τοὺς ἀποστόλους τ σωτῆρος ἡμῶν λελογισμένη.

Ἀπὸ τοῦ αὐτοῦ.

Περὶ τῆς τοῦ κυρίου προοισίας, καὶ τῶν κτ' ὃ πάθος αὐτοῦ συμβησομένων.

Ἰδοὺ ἡμέραι ἔρχονται τ κυρίου, ἐς διαμεισθήσονται τὰ σκῦλά σου ἐν σοὶ, καὶ ἐπι-
» συνάξω πάντα τὰ ἔθνη ὅτι ἱερουσηλὴμ εἰς πόλεμον. καὶ δαισθήσεται ἡ πόλις, καὶ
» διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ
» τῆς πόλεως ἐν αἰχμαλωσίᾳ. οἱ δὲ καταλοιποὶ τ λαοῦ μου τ μὴ ἐξολοθρευθῶσι.

© Centre d'Études Supérieures de la Renaissance - Tours

» καὶ ἐξελεύσε) κύριος, ὃ πολεμήσεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρᾳ πα
» ρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκεί-
» νῃ, ὅπι ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι ἱερουσαλὴμ ἐξ ἀνατολῶν. καὶ σχισθήσεται
» τὸ ὄρος ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολάς, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασ-
» σαν. χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸ βορρᾶν, καὶ τὸ ἥμισυ
» αὐτοῦ πρὸς νότον. καὶ ἐμφραγήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, ὅτι ἐγκολληθήσε)
» ται φάραγξ ὀρέων ἕως ἀσαήλ, ὃ ἐμφραγήσε) ται ὃν τρόπον ἐνεφράγη ἀπὸ προ-
» σώπου τοῦ σεισμοῦ ἐν ἡμέραις ὀζίου βασιλέως ἰούδα. καὶ ἥξει ὁ θεός μου, καὶ πάντες
» οἱ ἅγιοι μετ' αὐτοῦ. καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς, ἀλλὰ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν. καὶ ἡ ἡμέρα ἐκεί-
» νη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχὶ ἡμέρα καὶ οὐχὶ νύξ, καὶ πρωὶ οὐκ ἔσται φῶς. καὶ
» ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσεται ὕδωρ ζῶν ἐξ ἱερουσαλήμ. τὸ ἥμισυ αὐτοῦ
» εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην.
» ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. καὶ ἔσται κύριος εἰς βασιλέα ὅπι πᾶσι τῇ γῇ, ἐν
» τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦται πᾶσα τὴ γῆ
» καὶ τὸ ἔρημον. μετὰ τὴν πρώτην πολιορκίαν τὴν ἱερουσαλήμ, καὶ τὴν πρωτελῆ καθαίρε-
σιν αὐτῆς, καὶ ἐρήμωσιν τῶν ὑπὸ βαβυλωνίων, καὶ μετὰ τὴν ἀπὸ τῆς πολεμίας γῆς ὅπι
τὴν οἰκείαν ἐπάνοδον, τῶν ὅπι κύρου τοῦ πρώτου βασιλέως γνωμένου, ἀφ' οὗ τὴν ἱε-
ρουσαλὴμ ἀνεγηρμένης, ἀνανεωθέντος δὲ τοῦ ἀγιάσματος, καὶ τοῦ περὶ αὐτὴν θυ-
σιαστηρίου ὅπι δαρείου τοῦ περσοῦ, ὁ πρὸ ὧν προφήτης θεσπίζει, τῶν μετὰ ταῦτα
δευτέραν πολιορκίαν τῆς ἱερουσαλὴμ σημαίνων, ὧν πέπονθεν ὑπὸ ῥωμαίων οὐκ
ἄμοτε, ἢ μετὰ καὶ τὴν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ τοῖς οἰκήτορσιν αὐτῆς τελ-
μηθέντα. ἀναρχέσασα τοιγαροῦν καὶ ἀνωθεν τοῦ σωτῆρος ἡμῶν θεοῦ λόγου ἡ πα
ρουσία, καὶ τὰ ὅπι ταύτῃ συμβεβηκότα δηλοῦται. ταῦτα δὲ ἴσως ὁμοῦ τὰ περὶ ὧν
καιρὸν τοῦ πάθους αὐτοῦ πεπροφημένα, καὶ ἡ πρὸ αὐλίκα τῶν ἑβραίων ἐθνῶν ἐπελ-
θοῦσα πολιορκία, καὶ ἡ τῆς ἱερουσαλὴμ ἁλώσεις, καὶ ἡ πρὸς τούτοις κλῆσις τῶν ἐθνῶν,
τοῦτ' ἐνὸς καὶ μόνου θεοῦ εἰς πᾶν γένος ἀνθρώπων ὅπιγνωσις. ὁ μεμιμημένος πάν-
τα φόβερος προφήτης προεπαθέστερον ὡς αὐτὸς ἐπ' οἰκείοις ὀλοφυρόμενος τοῖς ἐκ πε-
ριτομῆς, ἐκ τῆς κατ' αὐτῶν ἐκφωνήσεως τὸν καταρχὸν πεποίηται τῆς προ-
φητείας. ἡμέρας δὴ οὖν τοῦ κυρίου, ὡς προῖὼν καὶ ἐν ἑτέροις, καὶ νῦν τοῦτο ὀνομάζει,
οὕτως ὃν χρόνον τῆς εἰς αὐθρώπους θ' χριστοῦ προρήσεως σημαίνων, καὶ σαφῶς δη-
λοῖ, ὡς ἀρεῖ ὁ κύριος αὐτὸς οἷα φῶς ἀγηθινὸν τυγχάνων, ἰδίων ποιητὴς ποτε γενη-
σεται ἡμερῶν. τοῖς γὰρ ὅπι γῆς ἅπασιν αὐθρώποις ὅπιλάμπει τὰ ἐθνῶν ἀπόντων,
αὐτόντε καὶ τὰς ἀκτῖνας τοῦ φωτὸς αὐτοῦ καταδεξαμένων· ὅτε τῶν ἐθνῶν ἀπόν-
» των φωτιζομένων, κτίσ' ὃ, τέθνηκά σε εἰς φῶς ἁγιότητος γένους, ὃ ἰουδαίων ἔθνος
ἀφ' τοῦ εἰς αὖθις ἀπιστεῖν τοῖς ἐσχάτοις προπεσεῖται δεινῶν. τοιοῦτον γάρ ὅστι ὃ,
» ἰδοὺ ἡμέρα ἔρχεται θ' κυρίου, καὶ διαμεμερισθήσονται τὰ σκῦλά σου ἐν σοί, καὶ ὅπι-
» σω ἀξω πάντα τὰ ἔθνη ὅπι ἱερουσαλὴμ εἰς πόλεμον, καὶ δαμασθήσεται ἡ πόλις καὶ διαρ
» παγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται ὃ ἥμισυ τῆς
» πόλεως ἐν αἰχμαλωσίᾳ. μετὰ δὲ τὴν τῆς ἱερουσαλὴμ πολιορκίαν, καὶ τὴν μετ'
αὐτὴν αἰχμαλωσίαν τῶν ἰουδαίων ἔθνους, ὅπιλέγει ἑξῆς, ἀγαθὰ τοῖς πᾶσι θεσπίζων,
» καὶ ἔσται κύριος εἰς βασιλέα ὅπι πάσης τῆς γῆς. καὶ πάλιν, ἔσται κύριος εἷς, καὶ
τὸ ὄνο-

» ὃ ὄνομα αὐτοῦ ἐν, κυκλοῦσι πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον. ἀλλὰ γὰρ καὶ ὁ ἰουδαίων ἔθνος διαῦτα πείσεται ἐν ταῖς δ κυρίου ἡμέραις τ ἀποῤῥήσεως ἀποφηναμένης, τίς οὐκ ἂν θαυμάσαιτε τ ἀποῤῥήσεως τὸ ἀποτέλεσμα; ἅμα γὰρ ἐκεῖσε ὁ σωτὴρ καὶ κύριος ἡμῶν πρὸς, ἠσέβουν τε εἰς αὐτὸν οἱ ἐκ περιτομῆς, καὶ πόλεις αὐτοῖς ἀθεόφως καὶ ἀποπληρουμένας μῡ πεντακοσιοστὸν ἔτος τ ἀποῤῥήσεως τέλους ἐτύγχανεν, ἐξ αὐτῆς πηλοῦ, καὶ μέχρι τῆς νῦν ἐρῶνα, καὶ λίθον, καὶ οὐδεπαισιανὸν πολιορκίας, ὑφ ἁλόντων πότων αὐτοῖς πόλεων καὶ ἐπαλλήλων συμφορῶν, ὡς πρέσειν ἐκ τῆς φλαυίου ἰωσήπου χαρακτῆρος ἱστορίας ἀκριβέστερον. τότε μὲν οὖν εἰκὸς ὃ ἥμισυ τῆς πόλεως ἀπολωλέναι τῇ πολιορκίᾳ, ὡς φησιν ἡ ἀποφητεία. μετὰ δὲ πολὺν δὲ χρόνον κατ ἀδριανὸν αὖθις ἐκ δευτέρου κινήσεως αὖθις ἰουδαϊκῆς γενομένης, ὃ λοιπὸν τ πόλεως μέρος ἥμισυ πολιορκηθὲν αὖθις ἐξελαύνεται· ὡς ἐξ ἐκείνης καὶ εἰς δεῦρο πάμπαν ἄβατον αὐτοῖς γενέσθαι τὸν τόπον. εἰ δὲ λέγοι τις κατ ἀλλήλων τ ὑπὸ φωνὴν ταῦτα πεπληρῶσθαι, σκεψάσθω εἰ οἷός τε ἐστὶν ἀποδιδόναι καὶ τὰ λοιπὰ τῆς ἀποφητείας κατ ἐκείνους χρόνους, οἳ δ αἰχμαλωσίαν πεπονθέναι δν λαόν, καὶ τὸ ξῆναι ἐκείς πόδας κυρίου ὅτι ὃ τῶν ἁγίων ὄρος, καὶ εἰ γέγονε κύριος εἰς βασιλέα ὅτι πᾶς τ γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἰ ὃ ὄνομα κυρίου ἐκύκλωσε τ γῆν πᾶς, καὶ τὴν ἔρημον, ὅτε τῆς συρίας αὐλίοις ἐκράτει. καὶ τὰ λοιπὰ δὲ τῆς ἀποῤῥήσεως ὁποίου τέλους ἔτυχεν αὐλίοις βασιλεύοντος, πῶς τις ἀποδώσει; καθ ἡμᾶς δὲ ταῦτα, ἐν ἀποδέδοται, καὶ καθ ἑτέραν δὲ ἀφάνοιαν. μῡ γὰρ τὴν τῶν σωτῆρος ἡμῶν ἰησοῦ προῦσίαν ἡ πόλις αὐτῶν, αὕτη γε ἡ ἱερουσαλὴμ καὶ ὃ πᾶν σύστημα, καὶ πολίτευμα τῆς κατ τὸν νόμον μωϋσέως θρησκείας καθηρῆτο. αὐτίκα γὰρ τὴν καθ ἡδονὴν αἰχμαλωσίαν ἀπὸ τῆς σωματικῆς πεπόνθασι, τὸν σωτῆρα καὶ λυτρωτὴν τῶν ἀθανάτων ψυχῶν μὴ παραδεξάμενοι, τὸν ἁγόντα κηρύξαι τοῖς ὑπὸ δαιμόνων πονηρῶν αἰχμαλώτοις ἄφεσιν, καὶ τοῖς τῆς ἀφανοίας τυφλοῖς, ἀνάβλεψιν. ταῦτα γὰρ πεπονθότων ἐκείνων ἀφ᾽ ἡς τὴν ἀπιστίαν αὐτῶν, οἱ τὸν σφῶν λυτρωτὴν ὑπηγόνες, οἰκεῖοί τε αὐτῷ γενόμενοι μαθηταί, καὶ ἀπόστολοι, καὶ διαλεκτικαί, πλεῖστοί τε ἀνῶν τῶν ἐκ περιτομῆς εἰς αὐτὸν
» πεπιστευκότων, περὶ ὧν φησιν ὁ ἀπόστολος, οὕτω καὶ νῦν λεῖμμα κατ᾽ ἐκλογὴν
» χάριτος γέγονε. καὶ ὅ, εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν· τινες οὖν ἡμῖν τ ἀφάνειαν πολιορκίας ἀπείρῳ διεφυλάχθησαν οὐ μόνον, ἀλλὰ καὶ τῆς περὶ λέξιν ἀποδοθείσης. οἱ γὰρ ἀπόστολοι καὶ μαθηταὶ τοῦ σωτῆρος ἡμῶν, ἐκ πολῖται οἱ ἐξ ἰουδαίων εἰς αὐτὸν πεπιστευκότες, μακρὰν τ ἰουδαίας γῆς γενόμενοι, καὶ τοῖς λοιποῖς ἔθνεσιν ὑπαποστάντες, τὸν κατ τὴν οἰκουμένην τ πόλιν ὅλεθρον ἀφανῆναι τότε ἠδυνήθησαν. καὶ τοῦτο δὲ ἡ ἀποφητεία περιλαβοῦσα ἐδήλωσεν, δι᾽ ὧν ἔφησεν, οἱ δὲ καταλοιποι τοῦ λαοῦ μου ἐκ μὴ ἐξολοθρευθῶσιν. οἷς ἐξῆς ὑπολέγει, ἐκ ἐξελεύσεται κύριος ἐκ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρᾳ πολέμου παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. ἐν ποίοις δὲ ἔθνεσι κύριος παρατάξεται, ἢ ἐν τοῖς τῶν ἱεροσυλημάτων πολιορκήσασι; δηλοῖ δὲ ὁ λόγος αὐτὸν τὸν κύριον συμμαχήσειν τοῖς πολιορκοῦσιν ἐν αὐτοῖς ὄντα, καὶ συναυτοῖς παρατιθέμενον, ὥσπερ ἂν στρατηγὸν, καὶ ἐπάρχον αὐτῶν κατ τῶν ἱεροσυλημάτων στρατευομένων. οὐ γὰρ φησιν ὁ λόγος ὃν

κύριον κατὰ τῶν ἐθνῶν παρατάξεσθαι. τίσιν δὲ καὶ κατὰ τίνων; κατὰ τῆς ἱερουσαλὴμ, καὶ
» τῶν οἰκητόρων αὐτῆς, περὶ ὧν ἦν ὁ λόγος. ὃ δὲ, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡ-
» μέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι ἱερουσαλὴμ, ἐξ ἀνατολῶν, τί ἕτε-
τερον δηλοῖ, ἢ κυρίου τοῦ θεοῦ, αὐτοῦ δὴ τοῦ θεοῦ λόγου τὴν ἐπὶ τῆς ἐκκλησίας αὐτοῦ στά-
σιν τε καὶ βεβαίωσιν, ἣν ὄρος ἐλαιῶν ἐπὶ τοῦ παρόντος κατὰ τρόπον ἀλληγορίας ὀνομά-
ζει; ὡς γὰρ ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, καὶ ἦν ἀμπελὼν κυρίου σαβαὼθ ἀλλη-
γορικῶς ὁ οἶκος τοῦ ἰσραὴλ, καὶ ἄμπελος τοῦ ἰούδα νεόφυτος ἠγαπημένη· οὕτω δὴ
κατὰ τὴν αὐτὴν θεωρίαν εἴποις ἂν ὅτι δὴ καὶ ἐλαιὼν ἐγενήθη τῷ δεσπότῃ ἡ ἐξ ἐθνῶν
ἐκκλησία αὐτοῦ, ἣν πάλαι ἀγριέλαιον οὖσαν κατεφύτευσεν, ἐγκεντρίσας ἐπὶ τὰς
ἀποστολικὰς τῆς καλλιελαίου ῥίζας μετὰ τὴν τῶν προτέρων κλάδων ἐκτομὴν, ὡς-
» περοῦν ὁ ἀπόστολος παιδεύει, καὶ κατεφύτευσέ γε αὐτὴν ὁ κύριος ἑαυτῷ, μονονουχὶ
» διὰ τῆς προφητείας λέγων, ἐλαίαν ὡραίαν, εὔσκιον ἐκάλεσε κύριος τὸ ὄνομά σου.
ἐπεὶ γὰρ ὁ πρῶτος ἀμπελὼν, δέον ποιῆσαι σταφυλὴν, ἐποίησεν ἀκάνθας, καὶ οὐ δι-
καιοσύνην, ἀλλὰ κραυγὴν, εἰκότως ὡς ἂν ἀκάρπου αὐτοῦ καθελὼν ὁ θεὸς τὸν
φραγμὸν αὐτοῦ καὶ τὸν τοῖχον αὐτοῦ, παραδοὺς τε αὐτὸν τοῖς ἐχθροῖς εἰς διαρπα-
γὴν, καὶ καταπάτησιν, κατὰ τὴν τοῦ ἡσαΐου προφητείαν, ἕτερον αὐτὸν ἑαυτῷ ἀ-
γρὸν συνεστήσατο, τὸν ἐπὶ τοῦ παρόντος ἐλαιῶνα ὀνομαζόμενον, ἅτε τοῦ ἐκ θεοῦ ἐλέους
τετυχηκότα, καὶ πρὸς τοῦ χριστοῦ καταφυτευθέντα ἀειθαλέσι φυτοῖς, τοῦτ' ἔστι ψυ-
» χαῖς ἁγίαις καὶ φωτὸς θρεπτικαῖς, οἵαις τὲ λέγει, ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος
» ἐν τῷ οἴκῳ τοῦ θεοῦ. τοῦτο δὲ τὸ τῶν ἐλαιῶν ὄρος κατέναντι τῆς ἱερουσαλὴμ εἴη λέλε-
κται· ἐπειδήπερ ἀντὶ τῆς παλαιᾶς ἐπιγείου ἱερουσαλὴμ, καὶ τῆς ἐν αὐτῇ θρησκείας,
συνέστη τῷ θεῷ μετὰ τὴν τῆς ἱερουσαλὴμ καθαίρεσιν. φήσας γοῦν ἀνωτέρω ὁ λόγος
» περὶ τῆς ἱερουσαλὴμ, ὡς ἀλώσεται ἡ πόλις, καὶ τὰ ἐχθρὰ καὶ πολέμια ἔθνη συναχθή-
» σεται ἐπ' αὐτὴν, καὶ διαμερισθήσεται τὰ σκῦλα αὐτῆς, εἰκότως οὐκ ἐπὶ τῆς ἱερου-
σαλὴμ τοὺς πόδας τοῦ κυρίου στήσεσθαί φησι. πῶς γὰρ καὶ οἷόν τε ἦν, ἅπαξ καθῃρη-
μένης; μεταβάντων δὲ ἐξ αὐτῆς ἐπὶ τὸ ἀντίκρυς τῆς ἱερουσαλὴμ ὄρος τὸ καλού-
μενον ἐλαιῶν, ἐνταῦθα στήσεσθαι διδάσκει. τοῦτο δὲ καὶ ὁ προφήτης ἰεζεκιὴλ τῷ θείῳ
» πνεύματι προλαβὼν θεωρεῖ. λέγει δὲ οὖν, καὶ ἐξῆρε τὰ χερουβὶμ, καὶ οἱ τροχοὶ ἐ-
» χόμενοι αὐτῶν. καὶ ἡ δόξα θεοῦ ἰσραὴλ ἦν ἐπ' αὐτοῖς, ὑπεράνω αὐτῶν, καὶ ἀνέβη ἡ
» δόξα κυρίου ἐκ μέσου τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς πόλεως.
ὅπερ ἐστὶ καὶ ἀλλῶς πρὸς λέξιν ὁρᾷν πεπληρωμένον εἰσέτι καὶ σήμερον, τῶν εἰς χρι-
στὸν πεπιστευκότων ἁπάντων πανταχόθεν γῆς συντρεχόντων, οὐχ ὡς πάλαι τῆς κατὰ
τὴν ἱερουσαλὴμ ἀγλαΐας ἕνεκα, οὐδ' ὥστε προσκυνῆσαι ἐν ᾧ πάλαι συνεστῶτι
ἐπὶ τῆς ἱερουσαλὴμ ἁγιάσματι, καταλύειν δὲ ἕνεκεν ἱστορίας τε ὁμοῦ τῆς κατὰ τὴν προ-
φητείαν ἀλώσεως καὶ ἐρημίας τῆς ἱερουσαλὴμ, καὶ τῆς ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναν-
τι ἱερουσαλὴμ προσκυνήσεως. ἐνθα ἡ δόξα κυρίου μετέστη καταλείψασα τὴν προ-
τέραν πόλιν. ἔστησε δὲ ἀληθῶς καὶ κατὰ τὴν πρόχειρον καὶ ῥητὴν διήγησιν οἱ πόδες τοῦ κυ-
ρίου, καὶ σωτῆρος ἡμῶν, αὐτοῦ δὴ τοῦ λόγου, δι' οὗ ἀνείληφεν ἀνθρωπείου σκήνους ἐπὶ
τοῦ ὄρους τῶν ἐλαιῶν, πρὸς ᾧ αὐτόθι δεικνυμένῳ σπηλαίῳ, εὐξαμένου τε καὶ τοῖς ἑαυ-
τοῦ μαθηταῖς ἐπὶ τῆς ἀκρωρείας τοῦ τῶν ἐλαιῶν ὄρους τὰ περὶ τῆς συντελείας μυστήρια
παραδεδωκότος, ἐν τεῦθέν τε τὴν εἰς οὐρανοὺς ἄνοδον πεποιημένου, ὡς ὁ λουκᾶς ἐν ταῖς
πράξεσι

© Centre d'Études Supérieures de la Renaissance - Tours

» πράξεσι τῶν ἀποστόλων διδάσκει φάσκων, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑ-
» πέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρα-
» νὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρεστήκεισαν αὐτοῖς ἐν ἐσθῆσι λευ-
» καῖς, οἳ καὶ εἶπον, ἄνδρες γαλιλαῖοι τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ ἰησοῦς
» ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐ-
» τὸν πορευόμενον εἰς τὸν οὐρανόν. οἷς ἐπιφέρει λέγων, τότε ὑπέστρεψαν εἰς ἱερουσα-
» λὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστι κατέναντι ἱερουσαλήμ. ἔστι μὲν οὖν
καὶ πρὸς λέξιν κατέναντι ἱερουσαλήμ, καὶ ἐξ ἀνατολῶν αὐτῆς τὸ δηλούμενον τῶν
ἐλαιῶν ὄρος. πλὴν ἀλλὰ κατὰ τὴν διάνοιαν τὴν ἁγία χριστοῦ ἐκκλησία, καὶ τὸ ὄρος
» ἐφ' ᾧ τεθεμελίωται, περὶ οὗ διδάσκει λέγων ὁ σωτὴρ, οὐ δύναται πόλις κρυβῆναι
» ἐπάνω ὄρους κειμένη, ἀντὶ τῆς πεσούσης καὶ μὴ ἐγερθείσης ἱερουσαλὴμ ἀνεγερθεῖσα,
καὶ τῶν ποδῶν τοῦ κυρίου καταξιωθεῖσα, οὐμόνον κατέναντι ἐστὶν ἱερουσαλήμ, ἀλλὰ καὶ
ἐξ ἀνατολῶν αὐτῆς, προσλαβοῦσα τὰς αὐγὰς τοῦ τῆς θεοσεβείας φωτὸς, καὶ πολὺ
προτέρα τῆς ἱερουσαλὴμ γενομένη, αὐτῷ τε πλησιάσασα τῷ τῆς δικαιοσύνης
» ἡλίῳ, περὶ οὗ λέλεκται, τοῖς δὲ φοβουμένοις μὲ ἀνατελεῖ ἥλιος δικαιοσύνης. ὃ δὲ
» λέγει τὸ ἑξῆς, ὅτι σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς
» καὶ θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ αὐτοῦ πρὸς τὸν βορρᾶν, καὶ τὸ
» ἥμισυ αὐτοῦ πρὸς νότον, δύναται μὲν τὴν καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης
ἐξάπλωσιν τῆς ἐκκλησίας σημαίνειν, ἐπὶ καὶ ἀνατολὰς ἡλίου, αὐτά τε τὰ ἑῶα καὶ
ἀνατολικὰ ἔθνη πεπληρωμένην. διατείνει δὲ καὶ ἐπὶ τὴν δυτικὴν θάλασσαν, τάς τε
ἐν αὐτῇ νήσους. οὐ μὴν ἀλλ' ἔφθακε κατά τε νότον καὶ μεσημβρίαν, κατά τε βορρᾶν,
καὶ ἄρκτον. πάντη γὰρ καὶ πανταχοῦ ὁ σημαινόμενος τροπικῶς τοῦ κυρίου ἐλαιὼν τὴν
ἐκκλησία αὐτοῦ καταπεφύτευται. δύναται δὲ καὶ κατὰ διάνοιαν τὰ ἐπὶ τῆς τοῦ χρι-
στοῦ ἐκκλησίας γενόμενά τε, καὶ εἰσέτι νῦν γινόμενα σχίσματα καὶ τὰς αἱρέσεις,
τάς τε ἠθικὰς κατὰ τὸν βίον ἀποπτώσεις αἰνίττεσθαι. σχισθὲν γάρ φησι τὸ ὄρος διαστ-
ήσεσθαι, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος
μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς
νότον. ὡς εἰς τέσσαρα μέρη διαιρεῖσθαι, δύο μὲν τὰ σεμνότερα καὶ κρείττω· δύο δὲ τὰ
ἐναντία. καὶ ὅρα μή ποτε διὰ τούτων τὸ μὲν πρὸς ἀνατολὰς καὶ πρὸς νότον δύο
τάγματα σημαίνει τῶν τῆς κατὰ θεὸν προκοπῆς ἐπειλημμένων. ἓν μὲν τῶν ἐν γνώ-
σει καὶ λόγῳ, καὶ τοῖς λοιποῖς τοῦ θείου πνεύματος χαρίσμασι τελειουμένων· θάτερον
δὲ, τῶν διὰ βίου κατορθούντων, ἐν ἐκλογαῖς γεμὴν διατριβόντων. τὰ δὲ λοι-
πὰ δύο μέρη τῶν προτέρων διῃρημένα εἴη ἂν, τὸ κατὰ θάλασσαν καὶ πρὸς βορρᾶν,
» ἀμφότερα πρὸς τῇ κακίᾳ σημαινόμενα. ἀπὸ προσώπου γάρ, φησὶ, βορρᾶ ἐκ-
» καυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν· ὅ, τε δράκων ἐπὶ τῆς θα-
λάσσης ποιεῖσθαι τὰς διατριβὰς λέγεται· ὥς τε εἰκότως κἀνταῦθα τῶν ἀπὸ τῆς ἐκκλησίας
ἀποπιπτόντων δύο πάλιν δηλοῦσθαι τρόπους, τόν τε κατὰ τὴν γνῶσιν, καὶ τὸν κατὰ τὸ ἦ-
θος ἁμαρτάνοντα, ὡς εἶναι ταύτας τοῦ δηλουμένου ἐλαιῶνος ὄρους τὰς ὑπὸ τῆς προ-
» φητείας αἰνιττομένας διαστάσεις. τούτοις ἑξῆς ἐπιλέγεται, καὶ ἐμφραχθήσεται τὴν
» κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως ἀσαήλ. καὶ ἐμφραχ-
» θήσεται ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν τὴν μέραις ὀζίου βασι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» λέως ἰούδα. κυκλᾷς δὲ ἐν τούτοις τῶν ὀρέων ὃ θεοῦ τίς ἂν εἴη, ἢ διὰ χ̄ῡ τ̄ μωϋσέως
νόμον ἐν τῇ ἱερουσαλὴμ πάλαι ποτὲ τετε λουμένη Ῥωμαϊκὴ καὶ ἰουδαϊ-
κὴ θρησκεία; διὰ ἀποκλᾳσθήσεται ὡς ὑπὸ φερεδείσθω ὁ πρῶν λόγος θεσπι-
» ζόμενος φάσκων, καὶ ἐμφερεδήσεται διὰ κυκλᾷς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ
» ὀρέων ἕως ἀσαήλ, καὶ ἐμφερεδήσεται. αὐτὸς ὧν ὁ σύμμαχος πεποίηκε, καὶ ἐμφερε-
» δήσεται διὰ φάραγξ τῶν ὀρέων μου, καὶ ἔτι ἐπὶς διὰ φάραγξ τῶν ὀρέων ποτὲς ὃ
» τοδαχείμενον, καὶ ἐμφερεδήσεται. δι' ὧν πρίσησι τὸ αἴτιον τ̄ ἐμφερεδείσης
φάραγγος. διὰ δὲ διὰ τοῦτο, φησὶν, ἡ ὃ εἴρηκεν αὐτοῖς καὶ πλησιάσας τῷ τοδαχειμέ-
νῳ αὐτῇ; τοῦτο δὲ διὰ ὃ τῆ κυρίου ὄρος τὸ τῶν ἁγίων ποτεωνομασμένον, ὅσπερ ἀ-
ραὴλ ὠνόμασεν τοὺς ἑβδομήκοντα. δηλοῖ δὲ τοῦτο χ̄ῡ τοῖς ἑβραίων φωνοῖς,
ποίησιν θεοῦ. οὕτω δὲ, φησὶν, διὰ παλαιὰ φάραγξ πλησιάσασα τῷ ὄρει, καὶ τῇ χερ-
σοῦ ἐκκλησίᾳ, ὅτε ποιήσαι θεοῦ, ἐμφερεδήσεται καὶ ἀποκλᾳσθήσεται, ὃν τρόπον
ἐνεφάγη ἀπὸ ποτεσώπου τῆ σφοδροῦ, ἐν διὰ μέρᾳς ὀζίου βασιλέως ἰούδα. ζητῶν
δὲ πῶς ἐμαυτῷ, καὶ ταῖς θείαις ποτειῶν γραφαῖς, εἴ ποτε ἐν ταῖς διὰ μέραις ὀζίου διὰ
ἐνταῦθα δηλουμένη φάραγξ ἐνεφάγη ἀπὸ ποτεσώπου τῆ σφοδροῦ, ἐν μηδὲ ταῖς
τῶν βασιλέων ἱστορίαις εὑρὲν ἠύρισκον, οὐδὲ Ῥωμαϊκῶς τε καὶ αὐθὶς σφοδρὸς γε-
νόμενος, οὔτε τι τοιοῦτο ποτὲ φάραγγος ἐν αὐταῖς εἰρημένον ἀναγέγραπται. ἱστορῆται
γεμὴν ὀζίας ἐν ἀρχαῖς δίκαιος γεγονέναι, εἶτα ἁλαζόνευται ὡς ἐπαρθεὶς τῇ δι-
ανοίᾳ, καὶ δι' αὐτὸ θῦσαι τῷ θεῷ τολμήσας. διὸ καὶ λέποσαν αὐτῷ χ̄ῡ τὸ ποτε-
σώπου μὴ θῆσαι. τοῦτο μὲν οὖν διὰ βίβλος τῶν βασιλέων πρίσησιν. ὁ δὲ γε ἰώσηπος
καὶ ταῖς ἔξωθεν ἰουδαϊκαῖς δόξαις ἀπηκριβωκὼς, ἅτε ἑβραῖος ὢν ἑβραίων ἱερο-
» χόων, ἐπάκουσον οἷα γλυκέως χ̄ῡ τοῖς αὐτοῦ δηλοῖ χρόνοις, λέγων, ὡς ἄρα κατε-
» πειγόντων τὸν ὀζίαν τῶν ἱερέων ὀξιέναι τὸ ἱεροῦ, καὶ μὴ νομοθετεῖν εἰς τὸν θεὸν,
» ὁρμηθεὶς ὑπείληπεν αὐτοῖς θανάτου, εἰ μὴ τῶν διὰ ἡσυχίαν ἄξοιεν. μεταξὺ ὁ σφοδρὸς
» ἐκλόνησε τῶν γῶν. καὶ διαπάντος τὸ ναοῦ, φέγγος λαμπρὸν ἐξέλαμψεν, καὶ τῇ
» τοῦ βασιλέως ὀφθῇ ποτεσέπεσεν, ὡς τοῦ μὲν θείου λέποσαν ὑπισθραμεῖν. ποτὸ
» δὲ τ̄ πόλεως ποτὸς τῇ καλουμένῃ ἐρωγῇ, τὸ ὄρους ἀπορῥαγὲν ὅ ἥμισυ τοῦ χ̄ῡ
» τῶν δύσιν, καὶ κυλισθὲν τέσσαρας σταδίους ὅπου ὁ ἀνατολικὸν ὄρος ἔστηκεν, ὡς ταῖς τε
» πρόοδοις ἐμφερεδῆσαι, καὶ τοῖς ποτοδεδεῖσθαι τοῖς βασιλικοῖς. ταῦτά μοι ἀπὸ τοῦ συγ-
γράμματος τ̄ ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας κείσθω. καὶ ἐν τῷ ποτοφήτῃ ὃ
ἀμὼς λέγει κατ' ἀρχὰς τ̄ ποτοφητείας αὐτοῦ, ὡς ὅτι ἤρξατο ποτοφητεύειν ἐν ἡμέ
ραις ὀζίου βασιλέως ἰούδα ποτὸ δύο ἐτῶν σφοδροῦ. ποίου δὲ σφοδροῦ, οὐκέτι σα-
φῶς ὑπιλέγει. οἶμαι δὲ τ̄ αὐτὸν ποτοφήτην ποτοίοντα τὸν σφοδρὸν ἐπισυγκρό-
» φειν ἐν οἷς φησιν, εἶδον τὸν κύριον ἑστῶτα ὑπὸ τὸ θυσιαστηρίου, καὶ εἶπε, πάταξον
» ὑπὸ τὸ θυσιαστήριον, καὶ σαλευθήσεται τὰ ποτέρυλα. καὶ διακόψον εἰς κεφαλὰς πάν-
» των, καὶ τοὺς καταλοίπους αὐτῆς ἐν ῥομφαίᾳ ἀποκτενῶ. δι' ὧν διέρχεσθαι
θεσπίζεσθαι τὸν σφοδρὸν, καὶ τὴν καθαίρεσιν τῶν πάλαι σεμνῶν τοῦ ἰουδαίων ἐθνους, καὶ
τῆς ὑπιτελουμένης ἐπ' αὐτῶν ἐν τῇ ἱερουσαλὴμ θρησκείας, τὴν τε ἀπώλειαν
τὴν μετελθοῦσαν αὐτοῖς μ̄χ̄ τὴν τ̄ σωτῆρος διμῶν ποτοσίαν, ὅτε ποτραγματευ-
σάμενοι αὐτῶν τὸν χριστὸν τοῦ θεοῦ ὃν ἀγνοῆ ἀρχιερέα, λέποσαν χ̄ῡ τῶν ψυχῶν ὀζη-
μιῶσθαι, ὡς ποτοῦ τοῦ ὀζίου, ὅτε καὶ ἀοράτῳ δυνάμει αὐτὸς ὁ κύριος ὑπιτα-

ξας

" ϛὰς τῷ θυσιαϛηρίῳ αὐτῶν, τὴν ἐξουσίαν ἔδωκε τῷ πατάσσοντι, φήσας, πά-
" ταξον τὸ θυσιαϛήριον. δυνάμει γοῦν τοῦτο ἐδήλου λέγων, ἀφίεται ὑμῖν ὁ οἶκος
" ὑμῶν ἔρημος. αὐτίκα γοῦν ἐπὶ τῷ πάθει αὐτοῦ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη
ἀπὸ ἄνωθεν, ἕως κάτω, ὡς προῦν ὁ ἰώσηπος ἱστορεῖ γεγονέναι κατὰ τοὺς ὀζίου χρόνους.
εἶτα πρότερον μὲν ἐσείσθη τὰ πρόπυλα, ὅτε ἡ γῆ ἐσείσθη κατὰ τὸν τοῦ πάθους αὐτοῦ
καιρόν· μετ' οὐ πολὺ δὲ καὶ τὴν ἐσχάτην ὑπέμεινε πτῶσιν. λαβὼν τε τὴν ἐξουσίαν
ὁ πατάσσων, διέκοψεν εἰς κεφαλὰς ἁπάντων. κατὰ τοῦτο δὴ οὖν τοῦ καιροῦ καὶ ἡ
κοιλὰς τῶν τοῦ θεοῦ ὀρέων ἐνεφράγη, ὡς προῦν γέγονεν ἐπὶ ὀζίου· πρὸς μὲν ῥη-
τὸν καὶ λέξιν, κατὰ τὴν ῥωμαίων πολιορκίαν, καθ' ἣν οἶμαι συμβῆναί τινα τοιαῦτα·
πρὸς δὲ διάνοιαν, ὅτε ἡ σωματικὴ καὶ ταπεινοτέρα τοῦ μωσέως νόμου λα-
τρεία ἀπεκλείσθη, εἰς τὸ μηκέτι ἐνεργεῖσθαι, διὰ τὸν σεισμὸν τὸν ἐπελθόντα προ-
φητικῶς ἐξ ἐκείνου τῷ ἰουδαίων ἔθνει, καὶ διὰ τὰ λοιπὰ τὰ ἀναγεγραμμένα. μετὰ
ταῦτα ἐπαναλαβὼν ὁ λόγος τὴν τοῦ κυρίου παρουσίαν σαφέστερον ἀνακηρύττει,
" λέγων, καὶ παρέσται κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. εἴτε τοὺς
ἀποστόλους αὐτοῦ καὶ μαθητὰς ὀνομάζων ἁγίους αὐτοῦ, εἴτε δυνάμεις τινὰς ἀορά-
" τους καὶ πνεύματα λειτουργικά, περὶ ὧν εἴρηται, προσῆλθον ἄγγελοι, καὶ διηκόνουν
" αὐτῷ. εἶτα ἐπὶ τῆς παρουσίας τοῦ κυρίου, ἔσται φησὶν, ἡμέρα, καὶ οὐκ ἔσται φῶς, καὶ
" ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν. ἀνθ' οὗ ὁ σύμμαχος ἡρμήνευσε, καὶ ἐν τῇ
" ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς, ἀλλὰ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν, ἥτις ἔ-
" γνωσται τῷ κυρίῳ, οὐχ ἡμέρα οὐδὲ νύξ, ἀλλ' ἔσται τὸ πρὸς ἑσπέραν φῶς. καὶ
ὅρα εἰ μὴ διὰ τούτων λευκότατα τὴν ἡμέραν τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν δη-
λοῖ, ἐν ᾗ ἡμέρᾳ τὸ μὲν, οὐκ ἔσται φῶς, ἐπληροῦτο, ἡνίκα ἀπὸ ἕκτης ὥρας σκότος
ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης. τὸ δὲ, ἀλλὰ ψύχος καὶ πάγος, ὅτε
κατὰ τὴν λουκᾶν, παραλαβόντες τὸν ἰησοῦν ἤγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. ὁ δὲ
πέτρος ἠκολούθει μακρόθεν. περιαψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, ἐκάθητο κατὰ τὴν
μέρκον μετὰ τῶν λοιπῶν θερμαινόμενος. ὁ δὲ ἰωάννης ἀντίκρυς καὶ τοῦ ψύχους
" ἐμνημόνευσεν, εἰπὼν, εἱστήκεισαν οἱ δοῦλοι, καὶ οἱ ὑπηρέται ἀνθρακίας πεποιηκό-
" τες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο. γνωστὴ δέ φησιν, ἦν αὕτη ἡ ἡμέρα τῷ κυρίῳ,
" καὶ οὐκ ἦν ἡμέρα, καὶ οὐκ ἦν νύξ· οὐχ ἡμέρα μὲν, διὰ τὸ προκεῖσθαι, οὐκ ἔσται
φῶς. ὃ καὶ ἐπληροῦτο, ὅτε ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν,
ἕως ὥρας ἐννάτης· οὐδὲ νὺξ δὲ, διὰ τὸ ἐπιλέγεσθαι, πρὸς ἑσπέραν ἔσται φῶς. ὃ
καὶ αὐτὸ τέλους ἐτύγχανεν, ὅτε μετὰ τὴν ἐννάτην ὥραν αὖθις τὸ συνήθες φῶς ἀπε-
λάμβανεν ἡ ἡμέρα. καὶ κατὰ διάνοιαν δὲ ταῦτα ἐπληροῦτο. καθόλου μὲν ἐπὶ
τὸ ἰουδαίων ἔθνος, μετὰ τὴν κατὰ τοῦ χριστοῦ τόλμαν, σκότους καὶ πάγου καὶ ψύχους
γεγενημένου, σκοτισθείσης αὐτῶν τῆς διανοίας εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ
εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν, ψυγείσης τε τῆς πρὸς τὸν θεὸν ἀγάπης, ἔμπα-
λιν δὲ πρὸς τῇ ἑσπέρᾳ τὸ φῶς τῆς γνώσεως τοῦ χριστοῦ ἀνατέταλκεν, ὡς τοὺς πάλαι
καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου τὸ μέγα φῶς ἰδεῖν, κατὰ τὰς τοῦ ἡσαΐου φω
" νάς· ἐν αὐτῇ δὴ οὖν τῇ τοιαύτῃ ἡμέρᾳ τοῦ κυρίου, ἐξελεύσεται φησὶν, ὕδωρ ζῶν
" ἐξ ἱερουσαλήμ. τοῦτο δὲ ἦν τὸ λογικὸν καὶ πότιμον, ζωτικόν τε καὶ σωτήριον· τῆς τοῦ
χριστοῦ διδασκαλίας ποτὸν, περὶ οὗ καὶ αὐτὸς ἐν ᾧ κατὰ ἰωάννην εὐαγγελίῳ τὰ σα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» μαρξτὶν παιδδύων ἐλεγλν, εἰ ἠδγς τίς ἐστὶν ὁ λέγων σοὶ, δός μοι πῖν, σὺ ἂν ἠτησας
» αὐτὸν, κὴ ἔδωκεν ἂν σοι ὕδωρ ζῶν. αὐτὸ οὖν τοῦτο τὸ φρεάτιον ποτὲν ἐξ αὐτῆς τῆς
ἱερουσαλὴμ προῆλθεν. ἐν ἥνδε χρεῶ ὥρμητο αὐτὸ διαπέλιον, καὶ οἱ τούτου κή-
» ρυκες πᾶσαν κατέπλησαν τὴν οἰκουμένην. ὁ καὶ δηλοῦται διὰ τῶ λέγειν, εἰς
» τὴν θάλασσαν τὴν προτίαν, καὶ εἰς τὴν θάλασσαν τὴν ἑκάτιον τὸ ζῶν ὕδωρ ἐξε-
» λύσεται. δι' ὧν τὰ τῆς συμπάσης γῆς πέρατα δηλοῦται, ἅτε προὸς τὴν διαπε-
λικῶν ὠκεανῶν προτίαν θάλατταν ὀνομαζόμενα, καὶ τὰ κατ' δύσιν τὴν ἥλιον διὰ τῆ θα-
λάττης τὴ ἑκάτιος σημαινόμενα, ἃ καὶ πεπλήρωκε τὸ ζῶν ὕδωρ τὸ σωτηρίου καὶ
» διαπελικῆς διδασκαλίας. προὶ οὖ πάλιν ἐπαιδδυε, λέγων, ὃς δ' ἂν πίη τοῦ ὕδατος, οὗ
» ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. καὶ πάλιν, ποταμοὶ, φησὶν, ἐκ τῆς
» κοιλίας αὐτῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἀλληθοῦς εἰς ζωὴν αἰώνιον. καὶ αὖθις, εἴτίς
» διψᾷ, ἐρχέσθω προὸς με, καὶ πινέτω. μὴ χρεῶ δ' ὁμοίως ἐκ τῆ ἱερουσαλὴμ
ὅτι πολὺ γένος δι' ἀθέων σωτήριον καὶ λογικὸν νᾶμα, ὅπερ ἀφέστεργεν ἐν ἑτέ-
» ρῳ δηλοῦται διὰ τοῦ, ἐκ γὰρ σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερου-
» σαλὴμ, καὶ κρινεῖ μεταξὺ μέσον τῶν ἐθνῶν· ἔσαι, φησὶ, κύριος εἰς βασιλέα. οὐκ ἔσαι δ'
» ἐν ἱερουσαλὴμ, οὐδὲ ὅτι τὸ ἰουδαίων ἔθνος, ἀλλ' ὅτι πᾶσαν τὴν γῆν ἐν τῇ ἡ-
» μέρᾳ ἐκείνῃ. καὶ ἔσαι κύριος εἷς, καὶ τὸ ὄνομα αὐτῦ ἕν, κυκλοῦ πᾶσαν τὴν γῆν.
» ἃ δὲ αὐτὰ σημαίνεται τοῖς ἀπὸ τῶν ψαλμῶν προτετρεῖσιν, δι' ὧν φέγγετο, ἐβα-
» σίλευσεν ὁ θεὸς ὅτι τὰ ἔθνη. καὶ πάλιν, εἴπατε ἐν τοῖς ἔθνεσιν, ὁ κύριος ἐβασί-
» λευσε. ταῦτα δὲ ὁμοῦ πάντα ἐν ταῖς τοῦ κυρίου ἡμέραις ἔσεται προφήτευ-
» ται. ἐν ἀρχῇ γοῦν τῆς ὅλης προφητείας, ἰδοὺ ἡμέραι, φησὶν, ἔρχονται τοῦ κυρίου,
» καὶ ἔσαι τάδε. τίνα δὴ ταῦτα, ἀλλ' ἢ ἡ πολιορκία τ ἱερουσαλὴμ, καὶ ἡ τοῦ κυ-
ρίου μετάσασις ὅτι τὸ τῶν ἁγίων ὄρος, καὶ ὃ, πρέσαι κύριος, καὶ τὰ συμβεβηκότα
προὶ τὴν ἡμέραν τοῦ πάθους αὐτῦ; καὶ τὸ ζῶν ὕδωρ, ὃ ὅτι πᾶσαν ῥοῦσαν τὴν οἰ-
κουμένην· καὶ ὅτι πᾶσι τούτοις, ἡ βασιλεία πάντων τῶν ἐθνῶν ἀρχουσα, ἓν ὄνομα
αὐτῦ ἕν, πληροῦ πᾶσαν τὴν γῆν; ἃ πρὸ ὁποίου τέλους ἔτυχεν, ὡς ἐν ὀπτομένῃ
διηλήφαμεν. προδηλον δ' ἐστὶ πῶς ἀπὸ τῆς τοῦ χριστοῦ θεοῦ προσηγορίας, ὃ χρι-
στιανῶν ὄνομα κατέπλησε τὴν πᾶσαν οἰκουμένην· ὃ καὶ αὐτὸ πρόῤῥησιν ὁ φά-
» σκων λόγος, καὶ ὃ ὄνομα αὐτῦ ἕν, κυκλοῦ πᾶσαν τὴν γῆν, καὶ ἕρημον. καὶ ὅτι δ' ὅτι
χολῆς πρέσαι ἐκάστην βασανίσαντι λέξιν ὅτι πλάτους θεωρῆσαι τὰ νενοημένα.

Ἀπὸ τοῦ βαεθύχ.

Ὡς αὐτὸς ὁ τῶν προφητῶν θεὸς πᾶσαν ὁδὸν ὑπερήμενος διὰ τῆ κτίσεως νομοθεσίας ἐν προελθούσης διαπαξάμενος, ὕστερον πολεμήσας τῆς γῆς
ἐφθήσεσθαι, καὶ ἐν τοῖς ἀθέοις σωσανασταφήσεσθαι προφήτευε.

Τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ ἔλαβεν αὐτὸν; δηλοῖ δὲ τὴν σοφίαν. καὶ κατεβίβασεν αὐ-
» τὴν ἐκ τῶν νεφελῶν; τίς διέβη πέραν τῆς θαλάσσης, καὶ εὗρεν αὐτὴν, καὶ οἴσει αὐτὴν χρυ-
» σίου ἐκλεκτοῦ; οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδ' ὁ ἐνθυμούμενος τὸν
» τρίβον αὐτῆς· ἀλλὰ ὁ εἰδὼς τὰ πάντα, γινώσκει αὐτὸν, ἐξεῦρεν αὐτὸν τῇ
» συνέσει ἑαυτῦ. ὁ καταστοιβάσας αὐτὸν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτὸν
» κτηνῶν τετραπόδων. ὁ ἀποστέλλων τὸ φῶς, καὶ πορεύεται. ἐκάλεσεν αὐτὸν, καὶ
» ὑπήκουσεν αὐτῷ τρόμῳ, καὶ οἱ ἀστέρες ἔλαμψαν ἐν τῇ φυλακῇ αὐτῶν, καὶ ηὐφράν-
θησαν,

© Centre d'Études Supérieures de la Renaissance - Tours

» τησθμ, ἐκάλεσεν αὐτοὺς, καὶ εἶπον, πρέσμον. ἔλαμψθν μετ' ἀφεσσιώνης τῶ
» ποιήσθντι αὐτοὺς. ἔστ ὁ θεὸς λίμνη, οὐ λογισθήσεται ἕτερος ποὸς αὐτὸν, ἀξιῶρε
» πᾶσθμ ὁδὸν βπτισήμης, καὶ ἔδωκεν αὐτῶ ἰακὼβ τῶ παιδὶ αὐτ, καὶ ἰσραὴλ τῶ ἠγα-
» πημθνῳ ὑπ' αὐτ. μετ' ταῦτα βπτὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναν-
» στράφη. ὡδὲν βπιλέγν δεῖ ταῖς θείαις φωναῖς, ἀναργῶς τῶ ποιβλήματι
παρισαμένας.

Απὸ τ̃ ἁγίου.

Ως ὁ χριστὸς εἰς αἴγυπτον ἦξν ποιεφηλύετο, καὶ ὅσα βπὶ τῇ προρισίᾳ αὐτ
γνήσεσθαι ἔμελλον. Οεφσις αἰγύπτου.

I δοὺ κύριος καθηται βπὶ νεφέλης κούφης, καὶ ἥξ εἰς αἴγυπτον, καὶ σαθήσεται τὰ χε-
» ροποίητα αἰγύπτου ἀπὸ ποοσώπου αὐτ, καὶ ἡ καρδία αὐτῶν ἠγνοθήσεται ἐν
» αὐτοῖς, καὶ ἐπροφήτευται αἰγύπτιοι βπὶ αἰγυπτίους, καὶ πολεμήσ ἄνθρωπος τὸν ἀ-
» δελφὸν αὐτ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτ. πόλις βπὶ πόλιν, καὶ νόμος βπὶ νόμον. καὶ
» ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐτοῖς. καὶ τὴ βουλὴ αὐτῶν ἀφανι-
» σθήσω. καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τ γῆς
» φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους, καὶ παραδώσω αἰγυπτον εἰς χεῖρας ἀνθρώ-
» πων κυείων σκληρῶν, καὶ βασιλῆς σκληροὶ κυριεύσουσιν αὐτῶν. καὶ τὰ τοῦτοις
ἐξῆς. καὶ νῦν τὸν δεύτερον μετ' τὸν τῶν ὅλων θεὸν καὶ κύριον αὐτὸν δ θεῖος λόγον ἦξν εἰς
αἴγυπτον ἡ πρᾶξις ποιεφητεία σημαίνθ, καὶ ἦξν οὐκ ἀφανῶς, οὐδ' ἀοράτως, οὐδ'
ἀνὰ μίνος ἐνθουσιαστικῆς ποιεβολῆς, ἀλλ' βπὶ νεφέλης κούφης ὀχούμενον, μᾶλλον δὲ
βπὶ πάχυος ἁγαφρᾶ. ὅτω γὰ ἔχν φασὶ τ̃ ἑβραίων φωνίν. λεγέτω ἡ δῆτα ἑβραίων
παῖδες, πότε μετ' τοὺς ἡσαΐου χρόνους, ὁ κύριος αἰγυπτίοις βπιδεδήμηκεν, καὶ ποῖος
κύριος. εἷς γὰ ὁ βπὶ πάντων θεός. καὶ πῶς βπὶ πάχος ἁγαφρᾶ ἔστ ἐποχεῖσθαι λέ-
γεται, καὶ ἐπικῶς βπιβαίνθν μέρος τινὶ τ γῆς. ἑρμηνθέτωσθν δὲ καὶ ὃ πάχος ἁγα-
φὲς τί ποτὲ ἄρα ἐστί, καὶ διατί μὴ αὐτοῦ τούτου λέγεται ὁ κύριος βπιδημεῖν τῇ αἰ-
γύπτῳ. πότε δὲ καὶ ἰσορρᾶται τὰ ἐν τῇ ποιφητείᾳ εἰρημένα τέλοις τελυχικέναι, ὃ
σαθιῶσαι λέγω τὰ εἴδωλα τὰ χεροποίητα αἰγύπτου, καὶ τὸ αἰγυπτίοις αἰγυπτίοις
πολεμῆσαι, διὰ τὴν τ κυείου εἰς ἀνθρώπους προρισίαν. καὶ τοὺς θεοὺς αὐτῶν, δη-
λαδὴ τοὺς δαίμονας, πολλὰ τὸ παλαιὸν δωαμένους, μηκέτι ἰσχύν μηδὲ ἀποκρί-
νασθαι τοῖς ἐπερωτῶσι, διὰ τὸ τ̃ κυείου δέος. εἰς χεῖρας δὲ ποίων κυείων σκλη
ρῶν, ποίων δὲ βασιλέων μετ' τὴν θαυμαζομένην τ̃ κυείου προρισίαν παραδόθη
αἴγυπτος, καὶ διατί κυείου πρόνοις σκληροῖς ἐξουσιασθήσεται. καὶ τὰ λοι-
πὰ δὲ τούτοις ποδαπλησίως ὁ βουλόμενος ἑρμενευσάτω. ἡμεῖς γὰ οὐκ ἀνῶς
ταῦτα φαμὲν συνίσασθαι, ἢ διὰ μόνης τ̃ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ εἰς ἀν-
θρώπους βπιφανείας. ἔστ γὰ θεοῦ λόγος ὢν καὶ θεοῦ δύναμις καὶ σοφίαν, καὶ
ποὸς λέξιν βπιδημήσας τῇ αἰγυπτίων χώρᾳ, διὰ νεφέλης κούφης ἐπλήσθη τὰ
ποοφητευθέντα. νεφέλην δὲ κούφην ἀνιγμαϊκῶς ὀνομάζθ τὴν δι' οὗ ἀνείληφε
σώματος ἐκ παρθένου καὶ ἁγίου πνεύματος βπιδημίαν αὐτ, ὡς σαφοῖ ἡ ἑβραί-
» ων γραφή. καὶ ὁ ἀκύλας σαφέστερον ἠνίξατο εἰπών, ἰδοὺ κύριος βπιβαίνθ βπὶ πά-
» χος ἁγαφὲς, καὶ ἔρχεται ἐπ' αἴγυπτον. πάχος ἁγαφὲς τὸ ἐξ ἁγίου πνεύματος σῶ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

μα προφητεύσας. καὶ τοῦτο διηγεῖται ὁ τῆς προφητείας μέρος προσλέξιν
» τέλους ἐτύγχανεν, ὅτε ἄγγελος κυρίου ὄναρ ἐπιφανεὶς εἶπε τῷ Ἰωσὴφ, ἐγερθεὶς
» παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ
» ἕως ἂν εἴπω σοί. τότε γοῦν αὐτοῖς ὁ κύριος ὁ θεὸς λόγος ἐπιπρὸν τῆς τοῦ παι-
δὸς ἡλικίας, καὶ ἐν τῇ συστάσει αὐτοῦ ἐξ ἁγίας παρθένου, σαρκὶ παχείᾳ μὲν οὔσῃ διὰ
τὸ τῆς σωματικῆς ὕλης ἀνάπτυπον· ἐλαφρᾷ δὲ πάλιν, διὰ τὸ κρεῖττον ἢ καθ' ἡμᾶς εἶ-
ναι· καὶ νεφέλῃ κούφῃ ὀνομαζομένῃ, διὰ δὲ μὴ ἐξ ἠδυπαθοῦς φθορᾶς, ἀλλὰ ἐξ
ἁγίου πνεύματος συφῆναι, τῇ τῶν Αἰγυπτίων ἐπιδημεῖ χώρᾳ. ἡ δ' αἰτία τῆς ἐκεῖ-
σε ἐπιδημίας αὐτοῦ, τοῦτον ἔσχε τὸν λόγον. ἐπεὶ γὰρ ἐν αὐτῇ προφητῃ καθάρξαι τὰ τῆ
εἰδωλολατρείᾳ πλανᾶσθαι μεμηνυκέναι, ἐδόκουν τε πρώτων δαιμονίων μάλιστα
δεισιδαιμονέσταται τυγχάνειν, ἐχθροί τε εἶεν καὶ πολέμιοι τοῦ λαοῦ τοῦ θεοῦ, τῶν προφη-
τῶν κατ' πλῆθος ὅσον ἀφεστῶτες, εἰκότως αὐτοῖς προφητικὴ τοῦ θεοῦ ἐφίζη δυνά-
μις. διὸ καὶ πρώτων δαιμόνων μᾶλλον πρὸς Αἰγυπτίοις ἴσχυεν ὁ τῆς ἀγγελικῆς
αὐτοῦ διδασκαλίας λόγος. ὅθεν ἡ πρῶτον προφητεία αὐτὸν αὐτοῖς ἐπιδημήσειν τε
κύριον προεῖπε, μὴ οὐχὶ τοῖς Αἰγυπτίοις ἥξειν εἰς τὴν Ἰουδαίων χώραν, οὐδέ γε εἰς
τὰ ἱεροσόλυμα προσκυνήσειν αὐτόν, οὐδ' ἐν ναῷ, καὶ τὰ μὲν δὴ μυστικῶς προσλεπα-
γμένα, προσηλυθόσιν Ἰουδαίοις, οὐδὲ θύσειν θυσίας ἐν ᾧ τοῖς τῆ ἱεροσυλήσει
θυσιαστηρίῳ· ἀλλὰ τούτων μὲν ἔσεσθαί φησιν οὐδέν, τὸν δὲ κύριον αὐτὸν ἐπιδημή-
σειν τοῖς Αἰγυπτίοις, καὶ τῆς αὐτοῦ προσοισίας καταξιώσειν τοὺς ἄνδρας, μεγάλων τε
ἀγαθῶν καταστήσεσθαι ἄξιον αὐτοῖς. κατορθώσειν γοῦν αὐτὸν τὴν ἐπιδημίαν ταύ-
την, ἅτε καὶ αὐτοῖς ἔργοις μὴν τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ χριστοῦ ἐπιφάνειαν
πεπληρωμένα. ἵνα δὲ εἴπω, θεασώμεθα. οἱ γὰρ τὸ Αἰγυπτίων οἰκοῦντες
φαῦλοι καὶ μοχθηροὶ δαίμονες, ἐξ αἰῶνος μακροῦ τοῖς ξοάνοις ἐμφωλεύοντες, καὶ
ταῖς τῶν Αἰγυπτίων ψυχαῖς πάσῃ δεισιδαιμονίας πλάνῃ καταδουλούμενοι, στυγαθρώ-
πους ξένης ἁγνείας καὶ ἀνθρώπου θεωρίας αὐτοῖς, αὐτίκα συνεκινοῦντο
σάλον καὶ κλόνον ἐν ἑαυτοῖς πάσχοντες, ἥτε καρδία αὐτῶν καὶ δεισιδαιμονικὴ δύναμις
ἤτε ἄρα ἐν δόξῃ ἐν ἑαυτοῖς, ἐκχωρεῖσα καὶ νικωμένη ὑπὸ τῆς ἀφθάρτου σωφρο-
νούσης, καὶ πρὸς δίκην ἀῤῥήτῳ λόγῳ φλεγούσης αὐτοῖς δυνάμεως. ἀλλ' ὁπότε μὲν
ἀφθάρτως οἱ δαίμονες ταῦτα ἔπασχον ὑπὸ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ εἰς
τὸ Αἰγυπτίων ἐπιφάνειαν· ὅπου δὲ μὴ ταῦτα γυμνῶς ἤδη λοιπὸν ὁ πρὸς
αὐτοῦ διάβολον τοῖς Αἰγυπτίοις, ὡσαύτως καὶ τοῖς λοιποῖς ἔθνεσιν, ἐκηρύττετο, ἥτε ἀφ-
θαρσία αὐτοῦ δυνάμις συνὼν τοῖς ἀποστόλοις αὐτοῦ πρέπων ἀφθόνως συμπροφήτευε αὐ-
τοῖς, καὶ συνεργοῦσα, καὶ καταγέλουσα δι' αὐτῶν τὴν δυσσεβῆ διδασκαλίαν αὐτοῦ,
μόνον τὸν ἕνα, καὶ μόνον ἀγαθὸν θεὸν δυσσεβῶν πάντα κελευομένην, τῶν δαιμόνων τοὺς
πάλαι πεπλανημένους ἀφιστᾶσα· ἐνταῦθα λοιπὸν ἤδη αἰγυπτίοις, ὡσαύτως καὶ τοῖς
λοιποῖς ἔθνεσι φάσις καὶ πόλεμος ἐμφύλιος συνίστατο, τῶν μὲν, δυναχωρούντων τοῦ
πολυθέου πλάνης, καὶ τοῦ θεοῦ χριστοῦ λόγῳ προστρεχόντων· τῶν δὲ ἐξ ἐναντίας
τούτοις πολεμούντων, καὶ ὑπὸ τῶν οἰκείων δαιμόνων ἐξοιστρουμένων, ὡς καὶ ἀδελ-
φοὺς ἀγνήλων διΐστασθαι, καὶ τοὺς φιλτάτους διὰ ξιφῶν χωρεῖν τῆς τοῦ χριστοῦ διδα-
» σκαλίας ἕνεκε, φησὶν ὁ χρησμός, καὶ ἐπερήσθησαν αἰγύπτιοι ἐπ' αἰγυπτίοις, καὶ
πολεμήσει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀνὴρ τὸν πλησίον αὐτοῦ. πισοῦ-

ται

ται δὲ τὴν προφητικὴν πρόῤῥησιν καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν, φάσκων ἐν τοῖς εὐαγγε-
" λίοις, παραδώσει ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται
" τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ αὖθις, μὴ νομίσητε ὅτι ἦλθον εἰρή-
" νην δοῦναι ἐν τῇ γῇ, οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. ἔσονται γὰρ ἀπὸ τοῦ νῦν
" πέντε ἐν οἴκῳ ἑνὶ διαμεμερισμένοι· τρεῖς ἐπὶ δυσίν, καὶ δύο ἐπὶ τρισὶ διαμε-
" ρισθήσονται· πατὴρ ἐπὶ υἱῷ, καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ τὴν θυγατέρα, καὶ θυ-
" γάτηρ ἐπὶ τὴν μητέρα, πενθερὰ ἐπὶ τὴν νύμφην, καὶ νύμφη ἐπὶ τὴν πενθεράν. τί γὰρ
ταῦτα τῆς προφητικῆς διαφέροι ἂν φωνῆς, ἐπὶ τῇ τοῦ κυρίου εἰς αἴγυπτον παρου-
σίᾳ λεγούσης ἐπεγερθήσεσθαι αἰγυπτίους κατ' αἰγυπτίων, καὶ πολεμήσειν ἄνθρωπον
τὸν ἀδελφὸν ἑαυτοῦ; καὶ νόμος δὲ ὁ τῆς καινῆς διαθήκης τοῦ χριστοῦ ἐπὶ νόμον τὸν τῆς πολυθέου
δεισιδαιμονίας ἠγείρετο, ὅτε τῶν εἰδωλολατρῶν ἐθνῶν νόμος τὴν χριστοῦ πολεμῶν
διδασκαλίαν, πόλις τε καὶ πολιτεία τῆς ἐν χριστῷ ἐκκλησίας τοῖς τῶν ἀπίστων ἐθνῶν
" πολιτεύμασιν ἐπανίστατο. διὸ λέλεκται, πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον. ἔστι δὲ
ἐπὶ τούτοις τοὺς αἰγυπτίους πάντας τοὺς εἰδωλολάτρας, τό, τε ἐνεργοῦν ἐν αὐτοῖς τῆς
εἰδωλολατρείας πνεῦμα, συνιδεῖν ταραττομένους εἰσέτι νῦν, καὶ πολλὰ μὲν βου-
λευομένους κατὰ τῆς τοῦ χριστοῦ διδασκαλίας, ὡς ἂν σβέσοιεν αὐτὴν καὶ ἐξ ἀνθρώπων ἀ-
φανίσοιεν· διασκεδαννυμένους δὲ ὑπὸ τοῦ θεοῦ, φήσαντος ἐν τῇ προφητείᾳ,
" καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν
" διασκεδάσω. μυρία δὲ ὅσα πυνθανόμενοι καὶ ἐπερωτῶντες καθ' ἡμῶν ἔν τε
χρησμοῖς καὶ μαντείαις τοὺς θεοὺς αὐτῶν, καὶ τοὺς ἐν τοῖς ἀγάλμασιν ἐμφωλεύον-
τας δαίμονας, τούς τε πάλαι ἐν αὐτοῖς πολλὰ δυναμένους ἐγγαστριμύθους, οὐδέν τι
" πλέον ἐξ αὐτῶν ἔχουσι. διόφησιν ὁ λόγος. καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν,
" καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐγγαστριμύθους. ἀλλ' οὐδεμιᾶς γάρ φησι, τεύξον-
ται βοηθείας οἱ ἐπὶ τοὺς πεπλανημένως δοκοῦντας αὐτῶν εἶναι θεοὺς καταφεύγον-
τες, τότε μάλιστα αὐτοὺς τοῦ θεοῦ κυρίοις σκληροῖς καὶ βασιλεῦσι παραδιδόντος,
ὅτε τοῖς δαίμοσιν αὐτῶν πειθόμενοι, καὶ ὑπ' αὐτῶν ἐνεργούμενοι, τοὺς κατὰ τῆς ἐκ-
κλησίας τοῦ θεοῦ διωγμοὺς ἐπεγείρουσιν. ἔνθα μοὶ τὸν νοῦν ἐπιστήσεις, τίνα τρόπον,
μέχρι μὲν τῆς τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ἐπιφανείας, οἰκείοις βασιλεῦσιν ἰδίως,
καὶ καθ' ἑαυτὴν πᾶσα αἴγυπτος κέχρητο, ἐν αὐτονομίᾳ τε καὶ ἐν ἐλευθερίᾳ διῆ-
γον οἱ αἰγύπτιοι, δυναστεία δὲ αὐτῶν ἐξ αἰῶνος μακρὰ τις καὶ πολλὴ βεβόητο, ἐξ ἐκεί-
νου τε πρώτου ῥωμαίων αὐγούστου, καθ' ὃν ὁ κύριος ἡμῶν γεγένητο, χειρωσαμέ-
νου τὴν αἴγυπτον, ὑστάτης τε τῶν πτολεμαίων κλεοπάτρας ἀλούσης, ὑπὸ τὴν ῥω-
μαίων γεγόνασιν ἐξουσίαν, ὑπό τε τοὺς αὐτῶν νόμους, καὶ ἐπιτάγματα, τῆς προ-
τέρας αὐτονομίας καὶ ἐλευθερίας ἀφῃρημένοι· ὡς καὶ ἐν τούτῳ τὸ προφητικὸν
ἐπαληθεύειν λόγιον, περὶ μὲν τῶν εἰς τοὺς τόπους ἐκπεμπομένων ἐπιτρόπων τε καὶ
" ἡγουμένων, καὶ περὶ τῶν λοιπῶν ἐν μέρει ἀρχόντων φάσκον, καὶ παραδώσω αἰγυ-
" πτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν. περὶ δὲ τῶν τὴν καθ' ὅλου διεπόν-
" των ἀρχὴν, τὸ ἑξῆς. ἀνθ' οὗ ὁ ἀκύλας φησί, καὶ βασιλεὺς κεκραταιωμένος ἐξου-
" σιάσει ἐν αὐτοῖς. ὁ δὲ σύμμαχος, καὶ βασιλεὺς ἰσχυρὸς ἐξουσιάσει αὐτῶν. οὕτω δὴ
τὴν ῥωμαίων ἡγοῦμαι κεκλῆσθαι βασιλείαν, ὑφ' ἧς, ὥσπερ χαλινῷ καὶ δεσμῷ, πεπε-
δημένους, οὐ μόνον τοὺς πάντων ἀνθρώπων δεισιδαιμονεστάτους αἰγυπτίους, ἀλλὰ καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τοὺς λοιποὺς πάντας ἀνθρώπους μηδὲν διώκεσθαι τολμᾶν τ' τῆς τοῦ σωτῆρος ἡμῶν ἐκκλησίας δυσφημεῖν. μᾶλλον δὲ τούτοις ἐξῆς σκοτεινότερά τινα, καὶ δι' αἰνιγμάτων μακροτέρας καὶ βαθυτέρας τ' ἐν Ἑβραίοις δεόμενα ἑρμηνείας, ἃ δὴ ὅτε σχολῆς τ' τὸν προσήκοντα καιρὸν τῆς προσηκούσης τύχοιμι διηγήσεως, ἐπανορθώσεσθαι τῷ λόγῳ.

Ἀπὸ τοῦ αὐτοῦ.

Ἀγαθῶν ἐπαγγελία τῇ πρὸ ἐρήμῳ ἐξ ἐθνῶν ἐκκλησίᾳ, καὶ ταῖς κεκακωμέναις ψυχαῖς ἐμφανὴς θεοῦ πρόνοια, σωτήριοί τε παραδόξοποιΐαι.

Εὐφραίνηται ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον. καὶ ἐξανθήσει ἀγαλλιάσεται δὲ ἔρημα τοῦ Ἰορδάνου. καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου, καὶ τὸ ὕψος τοῦ θεοῦ. ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα παράκλησιν ποιήσατε. οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε, ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς. τότε ἀνοιγήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τραυλὴ ἔσται γλῶσσα μογιλάλων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. καὶ ἔσται εἰς ἀνύδρους εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται. καὶ ἐν τῷ διαῤῥήδην θεοῦ ἀφιξις θεσπίζεται σωτήριος, καὶ πολλῶν ἀγαθῶν αἰτία. καὶ τοῖς μὲν ἐν ἰάσεις, καὶ τυφλοῖς ἀνάβλεψις, τοσούτοις δὲ τοῖς χωλοῖς, καὶ τὴν γλῶτταν σαφῆ δεδεμένοις θεραπεία ἔσεσθαι προφητεύεται. ἃ καὶ τέλους ἔτυχεν οὐκ ἀμόρως ἡ διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ χρεισοῦ πρόνοια, ὑφ' οὗ καὶ τυφλῶν ἀνέῳγησαν οἱ ὀφθαλμοί, καὶ κωφοὶ τὴν ἀκοὴν ἀπεκτήσαντο. τί δεῖ λέγειν, ὅσοι καὶ διὰ τῶν αὐτοῦ μαθητῶν πρὸς ἀνθρώπων, καὶ κωφοί, καὶ χωλοὶ παρὰ τὴν φύσιν βάσεις ἀπελάμβανον; ἀνθρώπων τε μυρίοι ποικίλαις νόσοις καὶ μαλακίαις τετυχωμένοι τῆς παρ' αὐτοῦ θεραπείας τε καὶ σωτηρίας ἠξιώθησαν, καθά τε τὴν ὄντων τ' προφητείας προῤῥήσεις, καὶ τ' τῶν ἀνθρώπων διὰ ἱερῶν διαγγελίων μαρτυρίαν. ἔρημον ἦ ἐν τούτοις ὁ λόγος αἰνίττεται τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἣν πάλαι θεοῦ ἔρημον οὖσαν διὰ τὴν ἐν χερσὶν διαγγελίζεται. καὶ ταῦτα δὲ πρὸς τοῖς ἀνθρώποις τῇ ἐρήμῳ φησὶν ὁ λόγος δοθήσεσθαι τὴν δόξαν τοῦ Λιβάνου. λίβανον δὲ τὴν ἱερουσαλὴμ ἀνηρημένως σωμήτης ὄντα καλεῖ, ὡς ὅτε καιρὸν διὰ τῆς ἀποκαλύψεως ἀποδείξεων παραστήσομεν. ἐν δὲ οὖν τῇ τοῦ θεοῦ εἰς ἀνθρώπους προνοίᾳ, τῇ δηλωθείσῃ ἐρήμῳ, λέγω δὴ τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ, τὴν δόξαν τοῦ Λιβάνου δοθήσεσθαι ἡ προκειμένη διδάσκει προῤῥήσις. ἀντὶ δὲ τοῦ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, ὁ μὲν Ἀκύλας φησὶ, διὰ τρέπεια τοῦ Καρμήλου, καὶ τοῦ Σαρών, αὐτὶ τοῦ ὄψινται δόξαν κυρίου. ὁ δὲ Σύμμαχος, διὰ τρέπεια τοῦ Καρμήλου καὶ τοῦ πεδίου, αὐτὶ τοῦ ὄψινται τὴν δόξαν κυρίου. καὶ ὁ Θεοδοτίων δέ, ὡραιότης, φησὶ, τοῦ Καρμήλου καὶ τοῦ Σαρών, αὐτὶ τοῦ ὄψονται τὴν δόξαν κυρίου. δι' ὧν αἰνίττεται μὲν τὴν εὐμοιρίαν τὴν προφητείαν οὐ τὴν ἱερουσαλὴμ, οὐδὲ τὴν Ἰουδαίαν, ἀλλὰ τὴν τῶν ἐθνῶν χώραν καταξιωθήσεσθαι τ' ἐν θεοῦ γνώσεως. ὁ μὲν οὖν Καρμήλος, καὶ ὁ καλούμενος Σαρών, τόποι τῶν ἀμοφύλων ὑπῆρχον ἐθνῶν. ταῦτα μὲν οὖν πρὸς λέξιν. καὶ τ' διάνοιαν δὲ εἰσέτι σημεῖον οἱ πρὸ τὰς ψυχὰς πεπτρωμένοι, ὡς ξύλα καὶ λίθοις καὶ τὰ λοιπὰ

λοιπὴν ἄψυχον ὕλην, δαίμονάς τε περιγείους, καὶ πνεύματα πονηρὰ, ἀντὶ τοῦ θεοῦ τῶν ὅλων προσκυνεῖν, οἵτε τὰ ὦτα τῆς διανοίας κεκωφωμένοι καὶ σκάζοντες, καὶ παρειμένοι τὸν πάντα ἑαυτῶν βίον, τούτων ἁπάντων καὶ τῶν ἄλλων παθῶν τε καὶ ἀῤῥωστημάτων διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἰητοῦ χριστοῦ διδασκαλίας εἰσέτι καὶ νῦν ἀπαλλάττονται, πολὺ κρείττονος ἢ κατὰ σῶμα ἰάσεως καὶ ὠφελείας ἀξιούμενοι, καὶ τῆς εἰς ἀνθρώπους τοῦ θεοῦ λόγου παρουσίας ἐναργῆ τὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον δύναμιν ἐπιδεικνύμενοι.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς ὁ πρῶτος καὶ εἰς τὸν αἰῶνα τοῦ θεοῦ λόγος, ὁ τῶν ὅλων δημιουργὸς, ὑπὸ κυρίου τοῦ πατρὸς καὶ νῦν ἀπεστάλθαι ἑαυτὸν ὁμολογεῖ.

Ἀκουέ μου ἰακὼβ, καὶ ἰσραὴλ ὃν ἐγὼ καλῶ. ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν. ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. καὶ ἐπιφέρει λέγων, καὶ νῦν κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. ἔχεις κἀνταῦθα καὶ τὸν ἀποστελλόμενον, καὶ τὸν ἀποστέλλοντα δηλαδὴ τὸν πατέρα καὶ θεὸν τῶν ὅλων, συνήθως δὶς κύριον ὀνομαζόμενον.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς αὐτὸς ὁ κύριος τὸ ἰουδαίων ἔθνος ἀπελέγχει, ὅτι δὴ ἠθόντα αὐτὸν οὐ παραδέξονται, οὐδὲ καλοῦντι ὑπακούονται, ὁποῖά τε πείσεται πρὸς αὐτῶν.

Οὕτω λέγει κύριος, ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεω πέπρακα ὑμᾶς; ἰδοὺ τῶν ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος. ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων. μὴ οὐχὶ ἰσχύει ἡ χείρμου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; εἶτ' ἐπὶ τῆς αὐτῆς προφητείας ὑποβὰς, ἐγὼ δέ φησιν οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω. τὸ νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. αὐτὸς ὁ κύριος διὰ τούτων τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν σαφῶς ὁμολογῶν, ἀπελέγχει τὸν ἰουδαίων λαὸν, ὅτι μὴ ἠθόντα αὐτὸν καταδέξονται, μηδὲ καλοῦντι ὑπακούονται. καὶ τοῦτο ὥσπερ ἀπολογούμενος, αἴτιον τῆς αὐτῶν ἐκείνου ἀποβολῆς γεγονέναι διδάσκει, ἐπεὶ γὰρ ἦλθον, φησὶν, καὶ οὐκ ἦν ἐν ὑμῖν ἄνθρωπος· ἐκάλεσά τε, καὶ οὐδεὶς ἦν ὁ ὑπακούων, διὰ τοῦτο, φησὶ, ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, ἅτε αὐτοὶ ἀφ' ἑαυτῶν ἀποστάται τῆς ἐμῆς κλήσεως καταστάντες, ἀλλ' οὐκ ἐμοῦ βιβλίον ὑμῖν ἀποστασίου δεδωκότος. σαφῶς δὲ ταῦτα πρὸς τὸν ἐκ περιτομῆς λαὸν ἀποτείνεται. ὁμοῦ δὲ τὰ περὶ τὸ πάθος τετολμημένα αὐτοῖς δηλοῖ λέγων, τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. καὶ τὰ τούτοις ἑξῆς. καὶ ταῦτα ἐπὶ σχολῆς, τῆς προσηκούσης τεύξεται ἑρμηνείας.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς αὐτὸς ὁ ἐν τοῖς προφήταις πάλαι θεσπίζων κύριος ἥξειν εἰς ἀνθρώπους, καὶ αὐτοῖς ὀφθαλμοῖς θεαθήσεσθαι, καὶ τοῖς ἔθνεσι γνωσθήσεσθαι μαλλήσει.

Τάδε λέγει κύριος, δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. διὰ τοῦτο γνώσεται ὁ λαός μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν παρείμι. ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» γελιζόμενος ἀγαθὰ, ὅτι ἀκουστὴν ποιήσει τὴν σωτηρίαν σου, λέγων, σιὼν βασιλεύσει
» σου ὁ θεός. φωνὴ τῶν φυλασσόντων σὲ ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθήσονται.
» ὅτι ὀφθαλμοῖς πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ κύριος τὴν σιών. ῥηξά-
» τω εὐφροσύνην ἅμα τὰ ἔρημα ἱερουσαλὴμ, ὅτι ἠλέησε κύριος αὐτὴν, καὶ ἐρρύ-
» σατο ἱερουσαλὴμ, καὶ ἀποκαλύψει τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων
» τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν.
τούτοις ἑξῆς ἐπισυνῆπται ὑφ' ἕνα καὶ τὸν αὐτὸν εἱρμὸν ἡ περὶ τοῦ πάθους χριστοῦ
προφητεία, ἣν καὶ ἐπὶ σχολῆς ἐκθήσομαι. εἷς δὲ ὢν καὶ ὁ αὐτὸς κύριος ὁ φήσας ἐν τῇ
» πρὸ ταύτης περικοπῇ πρὸς τὸν ἰουδαίων λαὸν, ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθη-
» τε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν, διότι ἦλθον, καὶ οὐκ ἦν
» ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων· διὰ τῶν ἐν χερσὶ πρὸς τοὺς αὐτοὺς φη-
» σι, δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. εἶτ' ὡς ἔχων ἕτερον πρὸς
» αὐτοὺς λαὸν, ἐπιφέρει, διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου. διδάσκει τὲ
» ὅτι μὴ ἕτερος, ἀλλ' αὐτὸς ὁ ἐν τοῖς προφήταις λαλήσας κύριος ἐπιδημήσει ποτὲ
» τῷ βίῳ, λέγων, ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν πάρειμι. τὸ δὲ, ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς
» πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθὰ, ἀκουστὴν ποι-
» ήσω τὴν σωτηρίαν σου λέγων, σιὼν βασιλεύσει σου ὁ θεὸς, σαφέστερον οἱ λοιποὶ ἐκδε-
» δώκασιν ἑρμηνευταί. ὁ μὲν ἀκύλας εἰπὼν, τί ὡραιώθη ἐπὶ τὰ ὄρη πόδες εὐαγ-
» γελιζομένου, ἀκουτίζοντος εἰρήνην, εὐαγγελιζομένου ἀγαθὸν, ἀκουτίζοντος σωτη-
» ρίαν, λέγοντος τῇ σιὼν, ἐβασίλευσεν ὁ θεός σου; καὶ ὁ σύμμαχος φήσας, τί εὐπρε-
» πεῖς ἐπὶ τῶν ὀρέων πόδες εὐαγγελιζομένου, ἀκουστὴν ποιοῦντος εἰρήνην, εὐαγγελι-
» ζομένου ἀγαθὰ, ἀκουστὴν ποιοῦντος σωτηρίαν, λέγοντος τῇ σιὼν, ἐβασίλευσεν ὁ
» θεός σου; αὐτὶ δὲ τοῦ, φωνὴ τῶν φυλασσόντων σὲ ὑψώθη, καὶ τῇ φωνῇ ἅμα εὐφρανθή-
» σονται, ὅτι ὀφθαλμοῖς πρὸς ὀφθαλμοὺς ὄψονται. ὁ μὲν σύμμαχος οὕτως ἡρμήνευσεν,
» φωνὴ τῶν σκοπῶν σου, ἐπῆραν φωνὴν, ἐπὶ τὸ αὐτὸ αἰνέσουσιν. ὀφθαλμοφανῶς γὰρ
» ὄψονται. λέγοιντο δ' ἂν ἐν τούτοις σκοποὶ, οἱ ἱεροὶ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι, οἳ καὶ
ὀφθαλμοφανῶς ἰδόντες τὸν προφητευόμενον, ὕψωσε αὐτῶν τὴν φωνὴν εἰς πᾶ-
σαν τὴν οἰκουμένην κηρύξαντες. σιὼν δὲ καὶ ἱερουσαλὴμ τὴν ἐν τοῖς τόποις εὐαγγε-
» λιζομένην οἶδεν ἐπουρανίους ὁ ἀπόστολος, δι' ὧν φησιν, ἡ δὲ ἄνω ἱερουσαλὴμ ἐλευ-
» θέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. καὶ, προσεληλύθατε σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος
» ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει. λέγοιτο δ' ἂν σιὼν καὶ
ἡ εἰς πάντα τὸν ἐπὶ γῆς τόπον διὰ χριστὸν συστᾶσα ἐκκλησία, ὡς καὶ ἱερουσα-
λὴμ πᾶν τὸ θεοσεβὲς τόπισμα, ὃ καὶ παρὰ μόνοις ἰουδαίων τοῖς πάλαι τὸ πρὶν συνε-
στὸς, εἰς ἐρημίαν διὰ τὰς δυσσεβείας αὐτῶν περιτέτραπται· εἶτ' αὖ πάλιν τῆς ἐπὶ τὸ
κρεῖττον ἀνανεώσεως ἔτευχε, διὰ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας. διόφησιν ἡ
» προφητεία, ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα ἱερουσαλὴμ, ὅτι ἠλέησε κύριος
» αὐτὴν, καὶ ἐρρύσατο ἱερουσαλὴμ. οὐκ ἂν δὲ ἁμάρτοις τὴν πάντος ἁγίου καὶ θεοφιλοῦς
ψυχὴν, καθὸ μὲν ἐπῆρται τῷ βίῳ, τὸ πολίτευμα ἔχουσα ἐν οὐρανοῖς σκοποῦσα τὰ
ὑπερκόσμια, σιὼν ὀνομάζων. ἑρμηνεύεται γὰρ σκοπευτήριον. καθὸ δὲ ἐν εὐστα-
θείᾳ καὶ γαλήνῃ παθῶν καθέστηκεν, ἱερουσαλὴμ αὐτὴν ἀποκαλῶν. ὅρασιν γὰρ εἰρήνης
μεταληφθὲν τοὔνομα σημαίνει. τούτοις ἀκολούθως, ἡ τῶν ἐθνῶν ἐπὶ τὴν εὐσέβειαν

τοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» τοῦ θεοῦ κλῆσις ἐναργέστατα δηλοῦται διὰ τοῦ, καὶ ἀποκαλύψει κύριος ὁ θεὸς τὸν
» βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν. καὶ ὄψονται πάντα τὰ ἄ-
» κρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡμῶν. βραχίονα δὲ τοῦ θεοῦ μὴ
ἄλλον εἶναι τοῦ λόγου, καὶ τῆς σοφίας, καὶ αὐτοῦ τοῦ κυρίου, ὅς ἐστιν ὁ χριστὸς τοῦ θεοῦ, νόμιζε.
τοῦτο γοῦν ἐκ πολλῶν παραστῆσαι ῥᾴδιον. ἔχεις δὲ καὶ ἐν ἐξόδῳ τὸν ἰσραὴλ βρα-
χίονι θεοῦ ῥυσθέντα τῆς ὑπ' αἰγυπτίοις δουλείας. αὐτὸν δὴ ἐκεῖνον τὸν βραχίονα
τοῦ θεοῦ τὸν ἀναφανέντα σωτῆρα τοῦ πάλαι λαοῦ, πᾶσι τοῖς ἔθνεσιν ἀποκαλυφθή-
σεσθαι, ὡς ἂν τὸ πρὶν ἐπικεκρυμμένον, ἡ παροῦσα σημαίνει προφητεία. τὴν δὲ σωτη-
» ρίαν, ἣν φησιν ὄψεσθαι πάντα τὰ ἄκρα τῆς γῆς, καὶ ἣν ἀνώτερον ἐδήλου λέγων,
» ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σοῦ, ἴσθι τῇ ἑβραίων φωνῇ ᾧ τοῦ ἰησοῦ ὀνόματι
προσαγορεύεσθαι.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς αὖθις κύριος ὁ τοῦ θεοῦ λόγος, ἐρχόμενος, καὶ τὰ ἔθνη συνάξειν θεσπίζεται.

Ι δοὺ κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ. καὶ ἑξῆς, εἶπε κύριος,
» κἀγὼ τὰ ἔργα αὐτοῦ, καὶ τὸν λογισμὸν αὐτοῦ ἐπίσταμαι, καὶ ἔρχομαι συναγαγεῖν πάντα
» τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου. καὶ καταλείψω ἐπ'
» αὐτῶν σημεῖον, καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη, εἰς θαρσὴς καὶ
» φοῦδι, καὶ λοῦδι, καὶ μοσὸχ, καὶ θοβὲλ, καὶ εἰς τὴν ἡγάδα καὶ εἰς τὰς νήσους τὰς πόῤῥω. οἳ
» οὐκ ἤκουσάν μου τὸ ὄνομα, οὐδ' ἑωράκασί μου τὴν δόξαν, καὶ εὐαγγελιοῦσί μου
» τὰ ἔργα ἐν τοῖς ἔθνεσιν. ἀντίκρυς καὶ ἐν τούτοις ἡ τοῦ κυρίου εἰς ἀνθρώπους πα-
» ρουσία δηλοῦται. καὶ ἐπειδήπερ εἴρηται ὡς πῦρ ἥξειν, εἰκότως φησὶν ὁ σωτὴρ ἡμῶν, πῦρ
» ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; ἅρματα δὲ αὐτοῦ τὰς δο-
ρυφορούσας αὐτὸν θείας δυνάμεις καὶ τοὺς ἐξυπηρετουμένους αὐτῷ ἱεροὺς ἀγγέλους
» εἴποις ἄν, περὶ ὧν εἴρηται, καὶ προσῆλθον ἄγγελοι, καὶ διηκόνουν αὐτῷ. καὶ τοὺς ἱε-
ροὺς ἀποστόλους αὐτοῦ καὶ μαθητὰς, οἷς ἐποχούμενος ἐνθέῳ καὶ ἀοράτῳ δυνάμει ὁ
τοῦ θεοῦ λόγος τὴν πᾶσαν διέδραμεν οἰκουμένην. λέγοιτο δ' ἂν καὶ ἀλλῶς πρὸς λέξιν
πῦρ καὶ ἅρματα καταγγέλλεσθαι σὺν τῇ αὐτοῦ παρουσίᾳ, διὰ τὴν καταλαβοῦσαν πο-
λιορκίαν τὴν ἱερουσαλὴμ, μετὰ τὴν ἐς ἡμᾶς ἄφιξιν, μεθ' ἣν οὐκ εἰς μακρὰν ὁ μὲν
νεὼς αὐτὸς ἐπυρπολεῖτο, καὶ τὴν ἐσχάτην ὑπέμεινεν ἐρημίαν, ἡ δὲ πόλις ἐκυκλώθη
ὑπὸ ἁρμάτων, καὶ στρατοπέδων πολεμικῶν, μεθ' ἃ καὶ περὶ τῶν ἐθνῶν ἁπάντων
προηγγελμένα συμφώνως τῇ προφητείᾳ τέλους ἔτυχεν. τίς δ' οὐκ ἂν θαυμά-
» σειεν ἀκούων τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος, ἔρχομαι συναγαγεῖν πάν-
» τα τὰ ἔθνη, καὶ τὰς γλώσσας, ὁρῶν καθ' ὅλης τῆς τῶν ἀνθρώπων γῆς διὰ τῆς τοῦ σωτῆ-
ρος ἡμῶν ἰησοῦ τοῦ χριστοῦ παρουσίας τὲ καὶ κλήσεως τὰς τῶν ἐθνῶν συναγωγὰς
ἐπ' ὀνόματος τοῦ χριστοῦ συγκροτουμένας; τάς τε γλώσσας ἁπάντων τῶν ἐθνῶν
ἐν πανταίαις διαλέκτοις ἀνθρώπων τὸν ἕνα θεὸν, καὶ κύριον ἐπικαλουμένας; καὶ ἐπὶ
πᾶσι δὲ τούτοις, τίς θεώμενος τῷ σωτηριώδει σημείῳ πάντας τοὺς εἰς χριστὸν πεπι-
στευκότας σφραγῖδι χρωμένους, οὐκ ἂν εὐλόγως καταπλαγείη ἀκούων πρόπαλαι
» τοῦ κυρίου εἰρηκότος, καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν ση-
» μεῖον. ἐν μέρει μὲν οὖν ἐντεῦθεν, ἤδη κατὰ τὴν προτέραν τοῦ σωτῆρος ἡμῶν εἰς ἀν-

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεόπνους ἐπιφανῆναι αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν τὴν θείων χρησμῶν τὰ ἀποτελέσματα. γνοίη δ' ἂν ἐντελῆ ταῦτα ἐκ τῆς δευτέρας καὶ εἰδόξου αὐτοῦ παρουσίας, ὅτε πρῶτα τὰ ἔθνη ὁμόνοια τὴν δόξαν αὐτοῦ, ἐρχόμενόν τε αὐτὸν ἐξ οὐρανῶν μετὰ δυνάμεως καὶ δόξης πολλῆς. ἀναληπτέον δ' ἂν εἰς ἐκφανὲς καὶ τὰ λοιπὰ τῶν ἐν τῇ παρρήσῃ δηλουμένων, ὡς ἂν οἷόν τε συνῆγμένην καὶ τὴν οἰκείαν ἐκτίθεσιν. τούτων ἡμῖν ὑπὸ χεῖρα προκειμένων, πρέπει καὶ εἰς ἂν θεόπνους θεσπιζομένης ἕστασις παρουσίας θεοῦ, ἐξῆς ἂν εἴη ὑποθέσθαι ἀρχὰς ὁποίας τίς ὁ σκοπὸς καὶ τῆς παρούσης εἰς ὃν ἀνθρώπινον βίον πρόοδου γνησίας παραφωνήσῃ.

Τάδε ἔνεστιν ἐν τῷ ἑβδόμῳ συγγράμματι τοῦ παρὰ τῶν ἑβδομήκοντα ἡμῶν διαγελικῆς ἀποδείξεως.

α' Τίς ὁ σκοπὸς τῆς τοῦ θεοῦ εἰς ἀνθρώπους ὑπερβολῆς. ἐκ τῶν ἐκκειμένων
α' μειωμένων γραφῶν. ἀπὸ τοῦ ἡσαΐου.
β' ἀπὸ τοῦ αὐτοῦ.
γ' ἀπὸ τοῦ ἀμώς.
β' Ποῦ γῆς ὁ χριστὸς γίνηται παραφθέγγεται.
δ' ἀπὸ τοῦ μιχαίου.
ε' ἀπὸ ψαλμοῦ ρλα'.
γ' Ἀφ' οἵου γένους παραγέγραπται ἑκάστου.
ς' ἀπὸ τῆς β' τῶν παραλειπομένων.
ζ' ἀπὸ ψαλμοῦ οα'.
η' ἀπὸ τοῦ ἡσαΐου.
θ' ἀπὸ τοῦ ἱερεμίου.
ι' ἀπὸ τῆς γενέσεως.

Προοίμιον.

Ἐὰν εἰς ἂν θεόπνους ἀφίξεσθαι, καὶ σὺν ἀνθρώποις ὑπὸ γῆς πολιτεύσεσθαι, δύο τε ταῦτα μέγιστα τεκμήρια τῆς αὐτοῦ παρουσίας ἕστασις· κλῆσιν, ἐπ' ἀναίτιον καὶ τῶν ἀγνοούντων θεογνωσίας τῶν ἀνὰ τὸ οἰκουμένου ἐθνῶν, ἀποστασίαν τε καὶ ἐρημίαν ἀφ' ἧς εἰς αὐτὸν ἀπιστίαν τῶν ἰουδαίων ἐθνους, ἐν τῷ παρὰ τούτου συγγράμματι ἀφ' ὧν παραφθεγγόμενα φωνῶν μεμαθηκότες, ὑπομενοῦμέν τε καὶ ὃ αὐτὸ ὁποίου τέλους ἐτύχε τὰ παρηγορούμενα, ἐξῆς ἂν ἀκολούθως ἐν ἑβδόμῳ τούτῳ συγγράμματι τοῦ διαγελικῆς ἀποδείξεως τὸν σκοπὸν ὑπολαβόντες πειρασόμεθα, καθ' ὃν φησιν αὐτὸν εἰς ἀνθρώπους ποιήσασθαι πάροδον. φέρε οὖν ἐντεῦθεν ἤδη σκοπήσωμεν, ὁποῖός τις ὁ σκοπὸς ἕστασθαι τῆς τοῦ θεοῦ εἰς ἀνθρώπους ὑπερβολῆς

ὑπιδημίας ἐθεασάμεθα, καὶ ποῦ γῆς γλυκυθήσεται προσεκρύπτετο, ἀπὸ ποίου τε γένους προελθεῖν ἐδοκεῖτο.

Τίς ὁ τύπος τῶν τοῦ κυρίου εἰς δύο ἔθνη ὑπιδημίας. ἀπὸ τοῦ ἡσαΐου.

Π ερρήσεις τῆς εἰς χερσὶν ἀπιστίας τῶν ἰουδαίων ἐθνους, καὶ σημεῖον αὐτοῖς ἀπὸ κυρίου
» δοθήσεται. ἰδοὺ δὲ τοῦτο, παρθένος ἐν γαστρὶ λήμψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ
» ὄνομα αὐτοῦ Ἐμμανουήλ. βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἀπειθεῖν τῷ
» πονηρῷ καὶ ἐκλέξασθαι τὸ ἀγαθόν. ὅτι πρὸ τοῦ γνῶναι τὸ παιδίον τὸ κακὸν ἀπειθεῖν καὶ
» ἐκλέξασθαι τὸ ἀγαθόν, ἐγκαταλειφθήσεται ἡ γῆ ἀφ' ἧς σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο
» βασιλέων αὐτῆς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῇ ἐπιβλέψει κύριος τῇ μυίᾳ τῇ ἐν τοῖς
» πέρασι τοῦ ποταμοῦ τῆς Αἰγύπτου, καὶ τῇ μελίσσῃ τῇ ἐν τῇ γῇ τῶν Ἀσσυρίων. καὶ ἥξουσι
» καὶ ἀναπαύσονται πάντες ἐν τοῖς χειμάρροις τοῖς ἐρήμοις καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν
» καὶ ἐν πάσῃ τῇ μανδρᾷ καὶ ἐν πάσῃ τῇ νομῇ. ἐν τῷ καιρῷ ἐκείνῳ ξυρήσει κύριος ἐν τῷ
» ξυρῷ τῷ μισθωτῷ τοῖς ἐν τῷ πέραν τοῦ ποταμοῦ, ἐν τῷ βασιλεῖ τῶν Ἀσσυρίων, τὴν κεφαλὴν
» καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ καὶ τὰ γένεια. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
» ἐκείνῃ ζήσεται ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα. καὶ ἔσται ἀπὸ τοῦ πλήθους τῆς
» προσφορᾶς τοῦ γάλακτος ἃ δώσουσι φαγεῖν βούτυρον· πᾶς γὰρ ὁ καταλειφθεὶς ἐν τῇ γῇ
» βούτυρον καὶ μέλι φάγεται. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν οἷς ἔσται ἐκεῖ χίλιαι ἄμπελοι
» ἐπὶ χιλίων ἀργυρίου, ἔσται εἰς βάτους καὶ τριβόλους. μετὰ τοξευμάτων καὶ μετὰ τόξου
» πορεύσεται ἐκεῖ, ὅτι βάτος καὶ τρίβολος ἔσται πᾶσα ἡ γῆ. καὶ πρὸς πάντα τὰ ὄρη τὰ ἐκλε-
» λεγμένα, ἃ ἐγὼ σκάπτω ἐν τῇ σκαπάνῃ, οὐ μὴ πορεύσεται ἐκεῖ ἀπὸ τοῦ φόβου τῶν βάτων
» καὶ τῶν τριβόλων· καὶ ἔσται εἰς ἀποστολὴν βοῶν καὶ εἰς καταπάτημα προβάτων. καὶ ἔσται
» ἡ ἔξοδος τοῦ οἴκου τοῦ κυρίου εἰς τὸν χειμάρρουν τῶν ἀκανθῶν. καὶ εἶπε κύριος πρὸς μέ,
» λαβὲ σεαυτῷ βιβλίον καινὸν μέγα, καὶ γράψον ἐν αὐτῷ γραφίδι ἀνθρώπου ἐπὶ τὸ ὄνομα
» τοῦ σκύλακος τοῦ ταχέως σκυλεύσαντος, σπεύσαντος προνομεύσαι. καὶ ἐμαρτυράμην ἐμαυτῷ
» μάρτυρας πιστοὺς τὸν Οὐρίαν τὸν ἱερέα καὶ τὸν Ζαχαρίαν τὸν τοῦ Βαραχίου. καὶ ἐπορεύθην
» πρὸς τὴν προφῆτιν, καὶ ἔλαβεν ἐν γαστρὶ καὶ ἔτεκεν υἱόν. καὶ εἶπε κύριος πρός με, κάλεσον
» τὸ ὄνομα αὐτοῦ Μαὴρ σαλὰλ ἀσβὰς βάζ· ὅτι πρὸ τοῦ γνῶναι τὸ παιδίον λαβεῖν τὴν ἰσχὺν
» τῆς δυνάμεως αὐτοῦ, λήμψεται τὴν δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι τοῦ
» βασιλέως τῶν Ἀσσυρίων. καὶ προσέθετο κύριος λαλῆσαι πρός με ἔτι λέγων, ἀνθ' ὧν ἀπώσατο
» ὁ λαὸς οὗτος τὰ ὕδατα τὰ πορευόμενα μετὰ ἡσυχίας, καὶ ἐν τῷ Ῥασὼν καὶ τῷ υἱῷ Ῥομελίου
» ἀγαλλιᾶται, διὰ τοῦτο ἰδοὺ κύριος ἀνάγει ἐπ' αὐτοὺς τὸ ὕδωρ τὸ ἰσχυρὸν καὶ πολὺ τὸν
» βασιλέα τῶν Ἀσσυρίων καὶ πᾶσαν τὴν δόξαν αὐτοῦ, καὶ ἀναβήσεται ἐπὶ πάντας τοὺς χεί-
» μαρρους αὐτοῦ καὶ ὑπερβήσεται πάντα τὰ χώματα αὐτοῦ, καὶ εἰσελεύσεται εἰς τὴν Ἰούδαν
» καὶ κατακλύσει καὶ διελεύσεται ἕως τοῦ τραχήλου, καὶ ἔσται τὸ ἔκτασμα τῶν πτερύγων
» αὐτοῦ τὸ πλῆρες τῆς γῆς σου, Ἐμμανουήλ. γνῶτε ἔθνη καὶ ἡττᾶσθε, καὶ ἐνωτίσασθε πᾶσαι
» αἱ ἀπὸ τῶν περάτων τῆς γῆς· ἐνισχύσατε καὶ ἡττᾶσθε, ἐνισχύσατε καὶ ἡττᾶσθε· διαβουλεύ-
» σασθε βουλὴν καὶ διασκεδασθήσεται, λαλήσατε ῥῆμα καὶ οὐ μὴ στήσεται· μεθ' ἡμῶν γὰρ ὁ
» θεός. ἕως γήρους ἐγὼ εἰμί, καὶ ἕως πολιᾶς ἐγὼ βαστάσω· ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀναλήμψομαι,
» καὶ ἐγὼ βαστάσω καὶ ῥύσομαι. τίνι ὡμοιώσατέ με καὶ ἐξισώσετε καὶ συγκρίνετε καὶ ἐγὼ
» ὁμοιωθήσομαι; μὴ ἐπιλάθεσθε τοῦ θεοῦ ὑμῶν, μὴ ἐπιλάθεσθε τοῦ ἐλεήσαντος ὑμᾶς, μὴ
» ἐπιλάθεσθε τοῦ ἐκτίσαντος ὑμᾶς, μὴ ἐπιλάθεσθε τοῦ ἐκθρέψαντος ὑμᾶς ἐκ κοιλίας μητρός.
» ἐγὼ ἐποίησα καὶ ἐγὼ ἀναλήμψομαι, καὶ ἐγὼ βαστάσω καὶ ῥύσομαι. τίνι ὡμοιώσατέ με καὶ
» ἐξισώσετε καὶ συγκρίνετε καὶ ἐγὼ ὁμοιωθήσομαι; ἐγὼ ἐποίησα τὸν οὐρανὸν καὶ τὴν γῆν,
» καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα καὶ τὰ ὕδατα τὰ ὑπὲρ τὸν οὐρανὸν καὶ τὰ ὄρη
» καὶ τὰ ὄρη καὶ τὰ ὄρη καὶ τὰ ὄρη καὶ τὰ ὄρη καὶ τὰ ὄρη καὶ τὰ ὄρη καὶ τὰ ὄρη

» νας τοῦ ἡσαΐου φωνὰς ἐν αἷς εἴρητο, ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς
» ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσε, ἐπιφέρει περὶ
» τοῦ χριστοῦ λέγων, ταῦτα εἶπεν ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐμαρτύρησε
» περὶ αὐτοῦ. ἰδὼν δὴ οὖν ὁ προφήτης τὴν ἐπὶ τοῦ πατρικοῦ θρόνου τῆς ἐνθέου δό-
ξης τε καὶ βασιλείας ἵδρυσιν τῶν σωτῆρος ἡμῶν, τῷ τε ἁγίῳ ἐπιθειάσας πνεύματι,
καὶ μέλλων ἑξῆς τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον, καὶ τὴν ἐκ παρθένου γέννησιν ὑπο-
γράφειν, προμαρτύρεται τὴν εἰς πᾶσαν τὴν γῆν μέλλουσαν ἔσεσθαι γνῶσίν τε καὶ δο-
» ξολογίαν, τὰ σεραφὶμ εἰσάγων κυκλοῦντα αὐτὸν καὶ φάσκοντα, ἅγιος, ἅγιος, ἅγιος
» κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. τίνα δ' ἂν εἴη τὰ σεραφὶμ τὰ
τὸν χριστὸν τοῦ θεοῦ δορυφοροῦντα, ἢ τάχα ἴσως ἀγγέλων καὶ θείων δυνάμεων χο-
ροὶ, ἢ καὶ προφητῶν καὶ ἀποστόλων; ἑρμηνεύεται γὰρ τὰ σεραφὶμ ἀρχὴ στόματος
αὐτῶν. τοιοῦτοι δὲ οἱ προφῆται καὶ ἀπόστολοι, ὧν διὰ τοῦ στόματος ἡ ἀπαρχὴ γέγο-
νε τοῦ σωτηρίου κηρύγματος. διὸ ταύτης ἔτυχον τῆς προσηγορίας. ὧν καὶ τοῦ ἁγίου
πνεύματος αἱ δυνάμεις, πτέρυγες ὠνομασμέναι, τὰ μὲν πρῶτα καὶ τὰ ὕστατα
τῆς τοῦ θεοῦ λόγου γνώσεως ἐπικρύπτουσιν, ὡς ἄῤῥητα καὶ ἀκατάληπτα ὄντα τὴν φύ-
σιν, τὰ δὲ μέσα τῆς περὶ αὐτοῦ οἰκονομίας ἐκφαίνουσιν, ὅτι δὴ μόνα γνωστὰ ταῦτα
ἀνθρώπων φύσει, τῶν ἐπέκεινα καὶ τῶν μετὰ ταῦτα ἐν ἀπορρήτοις σεσιγημένων. καὶ
δυνάμεις δὲ θεῖαι καὶ οὐράνιοι εἶεν ἂν, διὰ τὸ σεραφὶμ ἑρμηνεύεσθαι ἐμπρη-
» σμοί. διὸ εἴρηται, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυ-
» ρὸς φλόγα. κεκράγασι δὲ οὗτοι καὶ βοῶσιν ἕτερος τῷ ἑτέρῳ κατὰ τὴν οἰκείαν δυνά-
μιν, τὴν ἁγιότητα τοῦ θεολογουμένου παριστῶντες, καὶ τόγε πάντων παρὰ δοξότα-
τον, θεολογοῦντες ὅτι μὴ μόνος οὐρανὸς καὶ τὰ ἐν οὐρανῷ πάντα πλήρη τυγχάνει τῆς
δοξολογίας αὐτοῦ, ἀλλὰ καὶ πᾶσα ἡ γῆ τῆς αὐτῆς μετέσχε δυνάμεως, διὰ τὴν ἐξ οὐ-
ρανῶν εἰς ἀνθρώπους αὐτοῦ θεσπιζομένην κάθοδον, ἣν προϊὼν ἑξῆς ὁ λόγος προ-
φητεύει, τὴν ἐκ παρθένου γένεσιν καὶ τὴν διὰ ταύτης εἰς πᾶσαν τὴν γῆν ἐφαπλω-
θεῖσαν δοξολογίαν αὐτοῦ κηρύττων. κύριος δὲ σαβαὼθ ἑρμηνεύεται, κύριος τῶν
δυνάμεων. αὐτὸς δ' ἂν εἴη ὁ ἀρχιστράτηγος δυνάμεως κυρίου, ὃν καὶ ἐν κγ^ῳ
ψαλμῷ κύριον σαβαὼθ αἱ θεῖαι πάλιν ἀποκαλοῦσι δυνάμεις, τὴν ἀπὸ γῆς εἰς οὐ-
» ρανοὺς ἄνοδον αὐτοῦ θεσπίζουσαι, δι' ὧν φασιν, ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ
» ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. τίς ἐστιν οὗτος ὁ βασι-
» λεὺς τῆς δόξης; κύριος τῆς δυνάμεως αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. τὸ γοῦν ἑ-
βραϊκὸν πάλιν ἐνταῦθα κύριον σαβαὼθ αὐτὸν καλεῖ. καὶ ἐπειδήπερ αὐτός ἐστιν ὁ βα-
σιλεὺς τῆς δόξης, διά τε τὴν ἐπιδημίαν αὐτοῦ ἔμελλε πᾶσα ἡ γῆ πληροῦσθαι τῆς δό-
ξης αὐτοῦ, εἰκότως τὸ μέλλον ἔσεσθαι ἐν τε τῷ προφήτῃ λέλεκται, καὶ ἐν τῷ ψαλ-
μῷ· ἐν μὲν τῷ προφήτῃ, διὰ τοῦ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· ἐν δὲ τῷ
» ψαλμῷ, διὰ τῆς ἀρχῆς φασκούσης, τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἡ οἰ-
» κουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. τούτων τε θεσπισμένων, ἑξῆς ὑπο-
» βὰς ὁ προφήτης μαρτύρεται, ὅτι δὴ εἰ καὶ πλήρης ἔσται πᾶσα ἡ γῆ τῆς δόξης αὐ-
τοῦ, ἀλλά γε τὸ ἰουδαίων ἔθνος οὐ προσήσεται, διό φησιν, καὶ εἶπε κύριος, αὐτὸς δη-
» λαδὴ ὁ τεθεωρημένος κύριος σαβαὼθ, τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς
» τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδού εἰμι ἐγὼ, ἀπόστειλόν με. καὶ εἶπε, πορεύθητι, καὶ εἶπον
τῷ λαῷ

© Centre d'Études Supérieures de la Renaissance - Tours

" τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ
" μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤ-
" κουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς
" αὐτῶν, καὶ τοῖς ὠσὶν αὐτῶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰά-
" σομαι αὐτούς. δι' ὧν αὐτίχρις θεσπίζει τὸν ἐσομένον εἰς αὐτὸν αὐτίλογίαν τοῦ ἰου-
δαίων λαοῦ, καὶ ὡς ὄψονται μὲν αὐτὸν, οὐ μὴν προσέξουσιν τις εἰη· λέγοντός γε ἐν
αὐτοῖς καὶ διδάσκοντος ἀκούσονται, οὐ μὴν καὶ συνήσουσιν οὐδ' ὅσις ὢν αὐτοῖς
διαλέξοιτο, οὐδ' ἅτερ αὐτοῖς τὰ καινῆς διδασκαλίας ἐπιδείξασθαι μεθήμαλα. μάρ-
τυρας δὲ τοῖς τῶν λόγων ἀποτελέσμασιν ὁ βαπτιστὴς ἰωάννης προβάλλεται τὸ σωτῆρος ἡ-
" μῶν λέγων, προῶν δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπί-
" στευσαν εἰς αὐτὸν, ἵνα ὁ λόγος ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε, κύριε τίς
" ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ
" ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν ἡσαΐας, τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ
" πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρ-
" δίᾳ, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. ταῦτα εἶπεν ἡσαΐας ὅτε εἶδε τὴν δόξαν
αὐτοῦ, καὶ ἐμαρτύρησε περὶ αὐτοῦ. ἀναμφιλόγως οὖν ὑπὸ τὸν χειμῶνα ἀνέγκε τὴν ἐν
τῷ ἡσαΐᾳ θεοφανείαν ὁ βαπτιστὴς, ὑπὸ τὸν ἰουδαίων λαὸν οὐ πεπαιδευμένον ὃν ἐναρμόνιον τῷ προφήτῃ κύριον, καὶ τὰ περὶ αὐτοῦ προφήσιν. τῷ γοῦν προφήτῃ ἐναρμόττει ὃν κύριον βαπτιστὴν ὁ χρησμὸς εἰπεῖν τοῦ ἰουδαίων ἔθνους, ὅτι δὴ καὶ αὐτοὶ ὀφονται ποτε τὸν αὐτὸν, φησὶ δὲ συνήσουσιν ὅστις εἴη, καὶ ἀκούσονται αὐτοῦ λέγοντος ἐν αὐτοῖς καὶ διδάσκοντος, φησὶ δὲ νοήσουσι, διὰ τὸ πεπωρῶσθαι αὐτῶν τὴν καρδίαν. ταῦτ' οὖν ὁ ἡσαΐας δι' ὧν προεθέμεθα λέξεων θεασάμενος, ἐν ἰσοδείᾳ ἀφηγήσατο πολεμίων ἔφοδον κατὰ τῆς ἁγίας, ὃς ἐπεῖχε τότε τὰ τῆς βασιλείας τοῦ ἰουδαίων λαοῦ, ἐπαναχάραξιν, καὶ τῶν μὲν ἀληθινῶν πολεμίων καθαίρεσιν αὐτίκα καὶ οὐκ εἰς μακρὰν γενήσεσθαι σημαίνει· ὧν δὲ σύμβολα ἐφερενοητῶν καὶ ἀοράτων ἐχθρῶν, δαιμόνων τινῶν, καὶ ἀφανῶν δυνάμεων, περὶ ὧν ἐξ ὁμήρου τῆς ὅλης γραμματείας διεληλύθαμεν, ὡς ὁ μόνον τὸ ἰουδαίων ἔθνος, ἀλλὰ καὶ πᾶν τὸ ἀνθρώπειον γένος ὑπὸ πᾶν εἶδος κακίας, καὶ ἐπ' αὐτῷ γε τῷ ἄθεον εἰδωλολατρείαν καταβεβληκότων, οὐκ ἄνευ τοῦ ἧττον ἔσεσθαι δηλοῖ, ἢ διὰ μόνης τῆς θεασαμένης εἰς ἀνθρώπους ἐπιδημίας τοῦ θεοῦ λόγου, ἐξ ἀπειρογάμου πρὸς θείου σκιοῦς ἀνθρώπειον ἀναπλασαμένου. τίς δὲ αὐτοῦ ἡ τούτου χρεία ἐστὶν, καιρὸς ἂν εἴη διαλαβεῖν.

Τὰ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας.

Ἐπειδὴ δι' ἀνθρώπου θανάτου εἰσῆλθεν εἰς τὸν κόσμον, φησὶν ὁ ἀπόστολος, χρεῶν δήπου διὰ τοῦ αὐτοῦ ἀνθρώπου τὴν τοῦ θανάτου βεβαίαν νίκην, καὶ τὸ σῶμα τοῦ θανάτου σῶμα ζωῆς ἀναδεῖξαι, καὶ τῆς ἁμαρτίας τὴν βασιλείαν ἐν τῷ θνητῷ σώματι τὸ πρὶν ἐνεργοῦσαν καταλυθῆναι, μηκέτι ἁμαρτίας αὐτὸ ἀλλὰ δικαιοσύνης κατοῦσης. καὶ ὅπως διὰ τῆς σαρκὸς ἁμαρτημάτων πάλαι ποτὲ ἡ πλῶσις ἐγένετο πᾶσιν ἀνθρώποις, εἰκότως πάλιν δι' ἀναμαρτήτου, καὶ πάσης ἀρχαίου κακίας κρείττονος ἐξαίρετο βάπτισμα. τίνων δὲ ἐχθρῶν, ἢ τῶν πάλαι διὰ τῶν σαρκὸς ἡδονῶν κατακρατούντων τὸ ἀνθρώπειον γένος; καὶ ὅπως

δὲ ἐχρῆν ἀνθρώποις θεοῦ λόγον ὁμιλεῖν μέλλοντα, καὶ σαρκὸς ἀκοαῖς τὰ τῆς εὐσεβείας μαθήματα παραδώσοντα, τεραστείας τε καὶ παραδοξοποιΐας ἀνθρώπων ὀφθαλμοῖς, θεοῦ τε δύναμιν ἐναργῆ παραστήσοντα, μὴ ἄλλως, ἢ διὰ τοῦ συνήθους ἡμῖν ὀργάνου τοῦτο πράξαι, ὅτι οὐδὲ πλέον οὐδὲν σωμάτων ὁρᾶν ἀνθρώπων δυνατὸν ἦν ὀφθαλμοῖς, οὐδ' ἀκούειν ἀκοὴν πλέον τι οὗ διὰ γλώττης προφερομένου ἤχου. ἵν' οὖν καὶ διὰ σωμάτων αἰσθήσεως τῆς τῶν νοητῶν καὶ ἀσωμάτων ἐννοίας ἐπιλαβώμεθα, τὴν ἡμῖν συγγενῆ καὶ γνώριμον λόγον αὐτὸς ὁ θεὸς λόγος ἀνελάμβανε, καὶ πάντα γε δι' αὐτοῦ τὰ σωτήρια τοῖς αὐτηκόοις καὶ αὐτόπταις τῶν ἐνθέων αὐτοῦ λόγων τε καὶ ἔργων προεβαλλέτο. καὶ ταῦτ' ἔπραττε ταῖς τοῦ σώματος ἀνάγκαις ὁμοίως ἡμῖν οὐδαμῶς καταδεσμούμενος, οὐδέ τι χεῖρον ἢ μεῖζον αὐτὸς ἑαυτοῦ τῆς θεότητος ὑπομένων, οὐδ' οὕτως ὥσθ' οἷα ἀνθρώπου ψυχὴ, ᾧ σώματι παρεῖναι θεοῦ λόγον ὄντα, καὶ τὰ πάντα πληροῦντα, καὶ διὰ πάντων ἥκοντα· ἀλλ' οὐδὲ ῥύπον ἢ φθορὰν ἢ μίασμα ἐξ ἧς ἀνείληφε σαρκὸς ἐπενηνεγμένος, ὅτι δὴ ἀσώματος ὢν τὴν φύσιν, καὶ ἄϋλος καὶ ἄσαρκος, οἷα θεοῦ λόγος, ἐνθέῳ δυνάμει καὶ λόγοις ἡμῖν ἀρρήτοις πᾶσαν ὑπῄει τὴν οἰκονομίαν, τῶν οἰκείων μεταδιδούς, ἀλλ' οὐκ ἀντεπαγόμενος τῶν ἀλλοτρίων. οὐκοῦν τι φοβεῖσθαι χρὴ τὴν ἐνσάρκον οἰκονομίαν, ἐπεὶ μὴ ἐμολύνετο ὁ ἀμόλυντος, μηδὲ ἐκ τῆς σαρκὸς ὁ ἀμίαντος ἐμιαίνετο, μηδὲ συνεφθείρετο τῇ τοῦ σώματος οἰκείᾳ φύσει ὁ ἀπαθὴς τοῦ θεοῦ λόγος; ἐπεὶ μηδὲ ἡλίου πάθοιεν ἄν τι ἀκτῖνες νεκρῶν καὶ πανταίων σωμάτων ἐπαφώμεναι. τῷ δὲ θείῳ λόγῳ τοὔμπαλιν τὸ φθαρτὸν μετεσκευάζετο, καὶ ἅγιόν τε καὶ ἀθάνατον, ἅτε καὶ ἦν αὐτῷ βουλητὸν, ἀπετελεῖτο. καὶ μὴν καὶ ταῖς ἐνθέοις τοῦ πνεύματος βουλαῖς τε καὶ πράξεσι διηκονεῖτο. τοῦτο οὖν ὅλον ᾧ φιλανθρωποτάτῳ θεῷ τε καὶ θεοῦ λόγῳ ὑπὲρ τῆς πάντων ἀνθρώπων θεραπείας τε καὶ σωτηρίας, ταῖς τῶν προφητῶν ἀκολούθως ἐνηργεῖτο φωναῖς, ἄνωθεν ἐκ παλαιῶν χρόνων τὴν θαυμασίαν ἐκ παρθένου γέννησιν αὐτοῦ προμαρτυρομέναις. σφόδρα δὲ ἀναγκαίως ὁ προφήτης προτάττει τῆς ἐκ παρθένου γενέσεως τοῦ χριστοῦ τὸ ἐπιστρεφὲς, ἐπιφωνῶν ἀντίκρυς τοῖς τούτων ἀκροωμένοις τὸ, ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. ᾧ ἐπιφέρει ἑξῆς τὰ τοῦτον ἔχοντα τὴν τρόπον, ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. καὶ προσέθετο κύριος λαλῆσαι ᾧ ἄχαζ, λέγων, αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου, εἰς βάθος, ἢ εἰς ὕψος. καὶ εἶπεν ἄχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον. καὶ εἶπεν, ἀκούσατε δὴ οἶκος δαβίδ, μὴ μικρὸν ὑμῖν ἀνθρώποις παρέχειν ἀγῶνα, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ. βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ καταλειφθήσεται ἡ γῆ ἦν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων. καὶ τὰ μὲν τῆς προφητείας ὧδέ πη εἶχε. ἐπιστῆσαι δὲ ἄξιον ᾧ τοῦ λόγου προοιμίῳ μαρτυραμένῳ τοῖς ἐντυγχάνουσιν, ὅτι ἐὰν μὴ πιστεύσωσιν, οὐδὲ μὴ συνῶσι. καὶ ἀναγκαίως χρῆν ἐπισημήνασθαι, δεικνύντας ὅτι μὴ μόνον συνέσεως, ἀλλὰ καὶ πίστεως δεῖ τοῖς ἐντευξομένοις. καὶ οὐ μόνον πίστεως, ἀλλὰ καὶ συνέσεως. ὅθεν οἱ ἐκ περιτομῆς μὴ πιστεύσαντες εἰς τὴν χριστὸν τοῦ θεοῦ, εἰσέτι καὶ νῦν τούτων ἀκροώμενοι, οὔπω καὶ εἰς δεῦρο συνῆκαν τὴν προφη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

προφητευόμενον, ὥστε ἐπ' αὐτοῖς πρώτοις ἐπαληθεῦσαι τὴν προῤῥήσιν. ἀκοῇ γὰρ τῶν περὶ τοῦ χριστοῦ προφητειῶν διὰ πάσης ἡμέρας ἀκούοντες, ὠσὶ διανοίας οὐκ ἀκούουσιν. τῆς τε ἀγνοίας αὐτῶν αἰτίον οὐδὲν ἕτερον ἢ ἀπιστία τυγχάνει, καὶ τοῦτο τῆς προῤῥήσεως ἀψευδῶς περὶ αὐτῶν καὶ πρὸς αὐτοὺς ἀποφηναμένης. ἐὰν γὰρ, φησὶ, μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. ἀλλ' εἰ φαῖεν μὴ παρθένον, νεᾶνιν δὲ ὠνομάσθαι ἐν τῇ γραφῇ· οὕτω γὰρ φασι φέρεσθαι παρ' αὐτοῖς· καὶ ποῖον ἂν γένοιτο, φήσομεν, σημεῖον ἐπαγγελίας θεοῦ ἄξιον, εἰ συνήθως τίκτειν, οἷα καὶ πᾶσαι γυναῖκες, ἐξ ὁμιλίας ἀνδρὸς ἐν γαστρὶ λαβοῦσα νεανίς τις ἔμεμψε; πῶς δὲ καὶ θεὸς ἦν ὁ ἐξ αὐτῆς γεννώμενος; καὶ οὐχ ἁπλῶς θεὸς, ἀλλ' ὁ μεθ' ἡμῶν; τοῦτο γὰρ σημαίνειν βούλεται τὸ ἐμμανουὴλ, ὅπερ φησὶ δεῖν ὀνομάζειν τὸν γεννώμενον. ἰδοὺ γὰρ ἡ παρθένος, φησὶν, ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. ποῖος δὲ καὶ ἀγὼν θεῷ, ἢ ποῖος ἂν εἴη κόπος καὶ μόχθος ἐπὶ συνήθει τρόπῳ γυναικὸς τικτούσης; ἐν μὲν γὰρ τοῖς ἡμετέροις ἀντιγράφοις, ὑφ' ἑβδομήκοντα ἀνδρῶν ἄνωθεν μὲν ἑβραίων τὸ γένος, ἐπ' ἀκριβείᾳ δὲ τῆς πατρίου παιδείας δεδοκιμασμένων ἑρμηνευμένοις ὧδέ πως φέρεται, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, ὃς κεκλήσεται ὁ μεθ' ἡμῶν θεός. τοῦτο γὰρ, ὡς ἔφην, δηλοῦν βούλεται τὸ ἐμμανουὴλ ὄνομα. ἐν δὲ τοῖς αὐτῶν ἰουδαίων ἀντιγράφοις, κατὰ τὴν ἀκύλου μεταβολὴν φερομένοις· προσήλυτος δὲ ὁ ἀκύλας ἦν, οὐ φύσει ἰουδαῖος, ὅμως δ' οὖν καὶ κατ' αὐτὸν τοῦτον εἴρηται τὴν τρόπον· ἀκούσατε δὴ οἶκος δαβίδ, μήτι ὀλίγον ἀπὸ ὑμῶν μοχθοῦν ἄνδρας, ὅτι μοχθοῦτέτε καὶ τὸν κύριον θεόν μου; διὰ τοῦτο δώσει αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ νεανὶς ἐν γαστρὶ συλλαμβάνει, καὶ τίκτει υἱὸν, καὶ καλέσεις ὄνομα αὐτοῦ, ἐμμανουήλ. παρὰ δὲ τῷ συμμάχῳ ταῦτα οὕτως ἔχει· λέγεται δὲ ὁ σύμμαχος ἑβιωναῖος εἶναι· αἵρεσις δὲ ἦν οὕτω καλουμένων τινῶν ἰουδαίων εἰς χριστὸν πιστεύειν λεγομένων, ἐξ ὧν ὁ σύμμαχος ἦν, παρ' ᾧ καὶ αὐτῷ ταῦτα οὕτως ἔχει, ἀκούσατε οἶκος δαβίδ, μὴ οὐκ αὔταρκες ὑμῖν κοπουῦ ἀνθρώποις, ὅτι κοποῦτε τὸν θεόν μου; διὰ τοῦτο δώσει αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ νεανὶς συλλαμβάνει καὶ τίκτει υἱὸν, καὶ καλέσεις ὄνομα αὐτοῦ ἐμμανουήλ. ἐπεὶ γὰρ τοῦ ἰουδαίων ἔθνους τὸ σκληρὸν τοῦ τρόπου, καὶ πρὸς εὐσέβειαν δυσένδοτον, ἱδρῶτα καὶ κόπον, μόχθον τε οὐ τὴν τυχόντα καὶ ἀγῶνα παρεῖχε τοῖς πάλαι θεοφιλέσι προφήταις, τούτου χάριν οὐκ αὔταρκες ὑμῖν, φησὶ, τοὺς προφήτας τοῦ θεοῦ μοχθοῦν, καὶ ἀγῶνα παρέχειν ἀνθρώποις; ἀλλ' ἤδη καὶ τὸν θεόν μου κοποῦτε, καὶ ἀγῶνα παρέχετε καί γε τῷ θεῷ μου; οὕτω γὰρ καὶ θεοδοτίων ἐξέδωκεν. ὁ γοῦν προφήτης ἰδίως ἑαυτοῦ θεὸν, ἀλλ' οὐχὶ καὶ τῶν πρὸς οὓς ὁ λόγος, τὴν κοπούμενον καὶ ἐπὶ τὸν ἀγῶνα ἀποδυόμενον προσεῖπεν, οὐκ ἂν φήσας, θεόν μου τὸν ἐπὶ πάντων θεὸν ἐν ἰουδαίοις, παρ' οἷς ἐκ πατέρων τὸ περὶ τὸν τῶν πάντων δημιουργὸν θεὸν σέβας ἐφυλάττετο. τίς δ' ἂν εἴη ὁ ἀγὼν καὶ μόχθος, ἢ ὁ κόπος τοῦ προφητευομένου θεοῦ, ἢ τὸ εἰς ἀνθρώπων γένεσιν ἐλθεῖν, κατὰ μὲν ἡμᾶς, καὶ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν, ἐκ παρθένου γεννώμενον· κατὰ δὲ τὴν νῦν παρὰ ἰουδαίοις φερομένην, ἐκ νεανίδος. εὕροις δ' ἂν παρὰ μωσεῖ καὶ τὴν ὁμολογουμένως παρθένον, νεᾶνιν προσηγορευμένην. τὴν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρωῖ ἑτέρῳ μεμηχευμθίω, ὑφ' ἑτέρου δὲ ὀκ βεβιασμένῳ τούτῳ κέκληκε ὦ
τοσοῦτον μεγάλα. ἀμ' ἀ καὶ ὁ ὀκ τῆς ἀληθουμθίης τεμθησόμθιος ἐμμθουνὴλ μείζονα
ἢ κτ' τὸν κοινὸν ἄνθρωπον ὑπιφέρεται δωάμιν, ὀκλεγόμθιος ὃ ἀγαθὸν τοῖν
ἢ γνῶναι πονηρά, καὶ ἀπειθῶν πονηρία τῦ ὀκλέξασθαι ὃ ἀγαθόν· καὶ ταῦτα ὀκ
» ὢν τῇ τῦ ὠδρὸς ἡλικία, ἀμ' ὀν τῇ τῦ παιδίου. διὸ εἴρηται, τοῖν ἢ γνῶναι ὃ παιδίον
» ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρία τῦ ὀκλέξασθαι ὃ ἀγαθόν. δι' ὧν πρωτελῶς
ὃ τῆς κακίας ἄπειρον τῦ ἀληθουμθίου παίσαται. ἀλλὰ καὶ κρείττονα ἢ κτ' ἀνθρωπον ἐπάγεται τιὼ ἐπωνυμίαν, ὁ μθ' ἡμῶν ὑπάρχων θεός. διὸ κ ὃ τοῖ ὠμοῦ σημεῖον βάθος ἤγεγε τοῖ ἐχθρῶν, ὁμοῦ ὄ κ ὕψος· βάθος μθὼ, διὰ τ εἰς ἀνθρώπους καθοδον, ἢ καὶ τιὼ μέχρι θανάτου πρόθεσιν· ὕψος δὲ, διὰ τιὼ ὀνθεον ὀκ τῦ βάθους ἀποκαίσασιν, ἢ διὰ τ τ ὀνθέου τοσοῦτον ὑπάρξεως αὐτῦ θεολογίαν. τίς δ' ἂν εἴη ὁ μθ' ἡμῶν θεός, ἢ ὁ διὰ τῶν τοσόνδε ἀποδεδειγμένος θεὸς κύριος, ὁ κ τῶν ἀβραὰμ ὀκ μόνος, ἢ δι' ἀνθρώπου μορφῆς τεθεαμθίος; εἰ δ' ἀναφέροιεν ὅτι ὃν ἐζεκίαν οἱ ὀκ τοσοῦτοι ταῦτα, τ τῦ ἁγαζ παῖδα, τοῦτον εἰ φάσκοντες τὸν τῶν πατέρων τοσοῦτον μεγαλόμθιον, ἀμ' οὔτε ὁ μθ' ἡμῶν θεὸς ἐζεκίας ἰῶ, οὔτε σημεῖον θεοπρεπὲς πέπρακταί τι ἐπ' αὐτῷ· ἀμ' οὐδὲ ἀγὼν ἢ μόχθος τῶν θεῶν ἰῶ τοσοῦτοι τιὼ ὀκείνου μόνον. κ μόνος τοῖνδε ταῦτα δείκνυται ὁ ἐζεκίας ἀποκλόμθιος τῶν χρόνων τῆς τοσοῦτείας. ταῦτα μθὼ γὰρ βασιλεύοντος αὐτῦ δὴ τῦ παῖδος ἁγαζ, τοῖ μθὴ ὄντων ἐθεατίζετο· ὁ δὲ ἐζεκίας τοσοῦτον βασιλεῦσαι τ ἁγαζ σωίσαται μεγίστης μθίους. εἰ δὲ μὴ ὅτι τοῦτον ἀναβεβήκασι τῆς τοσοῦτείας χρόνους γνωμθίους. ὅτι μεμθὼ τῆς τῦ ἀληθοῦς ἐμμθουνὴλ, τοῦτ' ἔστι τῦ γεγονότος μθ' ἡμῶν θεοῦ γνώσεως, καὶ ὅτι μόνης τῆς τῦ σωτῆρος ἡμῶν τοῦ θεοῦ λόγου εἰς ἀνθρώπους ὅτι δημίας. τῶν γὰρ δυσὶν βασιλέων καθηρημθίων κατελείφθη ἔρημος ἡ τῶν ἰουδαίων γῆ, ὡς ἂν ἔσεσθαί φησιν ὁ χρησμὸς εἰπών, καταλειφθήσεται ἡ
» γῆ ἀπὸ τοσοῦτου τ δύο βασιλέων. ὃ κ αὐτὸ ῥητῶς ὁ κτ' λέξιν ὕστερος δὴ ἀποδοθείη. κτ' γὰρ βασιλέα ἁγαζ, καὶ ἡζεκίαν ὑὸν ἀμώς, καὶ τοὺς τῆς τοσοῦτείας χρόνους, βασιλεὺς συρίας ὁ ὢν δαμασκῷ, κ βασιλεὺς ἰσραὴλ ὁ ὢν σαμαρείᾳ, οὐχ ὁ ὢν ἱερουσαλὴμ, ἀλλ' ὁ τῦ πλήθους τῶν ἰουδαίων τῶν ἀποστάντων τῦ θείου νόμου, στωθήκας τοσοῦτοις ἀνθρώποις θέμθιοι, τοὺς ὑπὸ τοῖς ἁγαθοῖς δοκίμοις δαβὶδ βασιλευομένους ἐπολιόρκουν. τούτων οὖν ἀμφοῖν τιὼ καθαίρεσιν ἡ τοσοῦτεία θεασίζουσα, αὐτοὺς μθὼ τοὺς κατ' ὀκεῖνο καιροῦ ἰουδαίους τὲ κ ἀνθρώπους κτ' τῦ λαοῦ τῦ θεῦ δόξιας ἀνθρώποις δεδωκότας, αὐθίκα μάλα ἀφελυθήσεσθαι καὶ ἀποχωρήσειν τῦ πολέμου φησί· τιὼ γεμθὴν βασιλείαν αὐτῶν ὑπ' τ ἀγαθοχιὼ εἰς ὃ πρωτελὲς καταλυθήσεσθαι, κ ἀποδεεσθήσεσθαι ὅτι τῆς τῦ τοσοῦτοφιλουμθίου μθ' ἡμῶν θεοῦ γνώσεως. ὅτι ἐγένετο τοίνυν πότε ἡ δαμασκὸς ὁμοῦ καὶ ἰουδαίων κατελύθη βασιλεία, καὶ κτ' ποίους χρόνους κατελείφθη ἡ γῆ τῶν ἰουδαίων ἀβασίλευτος, κ αὐτή γε ἡ τῶν πολλὰ δυναμθίη δαμασκηνῶν χώρα μεγάλη χρεὼ ὃ παλαιὸν τ συρίας ἁπάσης βασιλεύουσα. ὅτι γὰρ τῆς τούτων καθαιρέσεως τ ἐμμθουνὴλ πρώτως που γενησθήσεσθαι εἰκὸς, καὶ τ τοσοῦτοφιλουμθίου ὑπηλυθέναι. εἰ μθὼ οὖν τῶν δηλουμθίων πρὸ ὀφθαλμῶν ὁρᾷν σωεστῶσας τὰς βασιλείας, τοῦδεν χρὴ περαιτέρω ζητεῖν· μόνον δὲ ἔτι

ὑπὲρ τοῦ

καὶ νῦν εἰς μέλλοντα χρόνον ἀναρτᾷν τὰς ἐλπίδας. εἰ δὲ ἔργῳ προφανὴς ἡ καθαί-
ρεσις τῶν εἰρημένων, ὡς μήτε ἐν δαμασκῷ, μήτε ἐν τῇ ἰουδαίᾳ, καθ' ἡμᾶς αὐ-
» τοὺς φαίνεσθαι βασιλέα, πρόδηλον ὡς τέλους ἔτυχε τὸ λόγιον φῆσε, καὶ κατα-
» λειφθήσεται ἡ γῆ ἀπὸ προσώπου τῶν δύο βασιλέων, ὧν σὺ φοβῇ, ἀπὸ προσώ-
» που αὐτῶν. τῶν βασιλέων, ἀντὶ τῶν βασιλείων ὠνομασμένων. ὁ γοῦν σύμμαχός φη-
» σιν, ἐγκαταλειφθήσεται ἡ γῆ ἀφ' ἧς σὺ ἐγκακεῖς, ἀπὸ προσώπου τῶν δύο βασιλέ-
» ων αὐτῆς. καὶ ὁ ἀκύλας, ἐγκαταλειφθήσεται ἡ χθὼν ἣν σὺ σικχαίνεις, ἀπὸ προ-
» σώπου τῶν δύο βασιλέων αὐτῆς. καὶ ὁ θεοδοτίων δὲ τοῦτον ἡρμήνευσε τὸν τρόπον,
» ἐγκαταλειφθήσεται ἡ γῆ ἣν σὺ βδελύσσῃ, ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐ-
» τῆς. ὁρᾷς ὅπως τὴν γῆν καταλειφθήσεσθαι ἀβασίλευτον θεσπίζει; ποίαν δὲ
γῆν, ἢ τὴν τῶν δαμασκηνῶν καὶ τὴν τοῦ ἰσραήλ; τούτων γὰρ ἦσαν οἱ δύο βασιλεῖς,
οἱ περὶ ὧν ὁ λόγος. ὧν ὁ ἄχαζ τὴν γῆν ἐσίκχαινεν ἢ ἐβδελύσσετο, ἀποκάμνων ἢ
ἐγκακῶν ἀπ' αὐτῆς. πότ' οὖν τοῦτο γέγονεν; τούτων γὰρ συμπερασθέντων, πᾶσα
ἀνάγκη καὶ τὸ προλεγόμενον μέρος τῆς προφητείας εἰς ἔργον κεχωρηκέναι. τοῦτο
δὲ ἦν, τὸ τὴν παρθένον τεκεῖν τὸν μεθ' ἡμῶν θεόν. καὶ δὴ πρόδηλον τοῖς τὰς ἱστορίας
ἐξετάζουσιν, ὡς μέχρι μὲν τῶν χρόνων τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν ἰησοῦ τοῦ
χριστοῦ, καὶ ἐπὶ τῆς δαμασκοῦ συνεστήκει τὸ ἐκ προγόνων διαδοχῆς βασίλειον.
μέμνηται γοῦν ὁ ἱερὸς ἀπόστολος ἀρέτα τοῦ βασιλέως δαμασκηνῶν. καὶ τοῦ ἰου-
δαίων δὲ ἔθνους ἡ ἄτακτος, καὶ οὐ κατὰ νόμον εἰσέτι τότε διέμενε βασιλεία. οὐ γὰρ
ἀπὸ γένους δαβὶδ ἔφερον τὴν τῆς ἀρχῆς διαδοχὴν ἡρώδης, καὶ οἱ μετ' αὐτὸν
ἐπὶ τοῦ σωτῆρος ἡμῶν γενόμενοι. μετὰ δὲ τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὸ εὐαγγελικὸν εἰς
πάντας ἀνθρώπους τοῦ ἐκ τῆς παρθένου παιδὸς κήρυγμα, καταλέλειπται αὐτίκα ἡ
γῆ ἀπὸ προσώπου τοῖν δυεῖν βασιλέων. ἐξ ἐκείνου γὰρ τῆς ῥωμαίων μοναρχίας
τῶν ἐθνῶν ἐπικρατησάσης, λέλυτο μὲν καὶ πᾶσα ἡ κατὰ τοὺς τόπους ἐθναρχία τε καὶ
πολιαρχία. τέλος δὲ μετὰ τῶν ἀλλῶν καὶ τὰ τῆς ἐν χερσὶν ἐλάμβανε προφητεί-
ας. ῥητὰ μὲν οὖν τάδε. πρὸς δὲ διάνοιαν ὁ τῆς προφητείας λόγος ἁπάσης ψυχῆς τὸ
εὐσταθὲς καὶ γαληναῖον, καὶ εἰρηναῖον σημαίνει τῆς τὸν γεννηθέντα θεὸν αὐτὸν δὴ τὴν ἐμ-
μανουὴλ παραδεξαμένης. ἑνὸς γὰρ χριστοῦ καὶ τοῦ καταγγελθέντος πρὸς αὐτοῦ λό-
γου τῆς τῶν ἀνθρώπων ψυχῆς βασιλεύοντος, οἱ πρὶν ἀποπεφεύγασι πολέμιοι, δύο
τρόποι δυσσεβείας, ὅ, τε τὴν εἰδωλολατρείαν καὶ τὴν ἐν πολυτρόποις δόγμασιν ἑτε-
ροδοξίαν ὑποβαλλῶν ἀνθρώποις, καὶ ὁ τὴν ἐν ἤθεσι διαστροφὴν ἐνεργῶν. τού-
των δὲ οὖν ἔφερον οἱ πάλαι δηλούμενοι σωματικοὶ βασιλεῖς τὰ σύμβολα. ὧν ὁ μὲν
δαμασκηνῶν, τῆς τῶν ἐθνῶν περὶ τὰ εἴδωλα πλάνης εἰκὼν ἦν· ὁ δ' ἕτερος, τῶν
ἀποστάντων τῆς ἱερουσαλὴμ, δηλαδὴ τῶν ἀποπεπτωκότων τῆς κατὰ τὴν νόμον τοῦ θεοῦ
λατρείας. ὅτι δὲ ταῦτα κατὰ διάνοιαν τροπικῶς ἀποδέχεσθαι προσήκει, μάθοι ἄν τις
καὶ ἀπὸ τῶν ἑξῆς ἐπιλεγομένων, δι' ὧν ἐν τῇ ἡμέρᾳ τοῦ ἐμμανουὴλ μυίας τινὰς
καὶ μελίσσας ἐπελεύσεσθαι τῷ ἰουδαίων ἔθνει καὶ ὁ λόγος θεσπίζει, τὰς μὲν ἀπ'
αἰγύπτου, τὰς δὲ ἀπὸ τῶν ἀσσυρίων, τὴν κεφαλὴν, καὶ τοὺς πόδας, καὶ τὸν πώγωνα ἀ-
ποξυρήσειν. ἄνθρωπον δὲ δάμαλιν βοῶν καὶ δύο πρόβατα θρέψειν, καὶ ἄλλα τι-
νὰ καθ' ἕνα καὶ τὴν αὐτὸν χρόνον ἔσεσθαι οὐδαμῶς πρὸς λέξιν νοούμενα, κατὰ μόνην
δὲ διάνοιαν θεωρούμενα. ταῦτα μὲν οὖν τοιαῦτα. ὅπως δὲ ἡ παροῦσα γραφὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τῆς τῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ γενέσεως παρεσήμηνε τὸ τύπον, μυστικῶς
ὡδέπως ὁ εὐαγγελιστὴς γράφων, τῦ δὲ ἰησοῦ χριστοῦ ἡ γένεσις οὕτως ἦν· μνη-
στευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ μαρίας τῷ ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη
ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ
θέλων παραδειγματίσαι αὐτὴν, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. ταῦτα δὲ
αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται αὐτῷ λέγων, ἰωσὴφ
υἱὸς δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεν-
νηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν.
αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου, διὰ τοῦ προφήτου λέγοντος, ἰδοὺ ἡ παρθένος
ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ, ὅ ἐστι με-
θερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός. οὕτω δὴ καθ' ἑκάστην τῆς ἡμέρας παρεγνώ-
σεως ἀπὸ τῶν παραγμάτων ἐκβάσεως πιστοῦται, ὡς οὐκ ἀνθρωπείας ἐνθυσιασμοῖς ἀποφαινομένης. ἑξῆς δὲ τούτων ἵνα καὶ ὁπόσα λέγεται ἔσεσθαι ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς ἐπιφανείας τοῦ ἐμμανουήλ, φέρε
καταποιήσωμεν· συνελὼν, φησὶ, κύριος μάγας αἱ κυκλούσαι μέρους ποταμοῦ αἰγύ-
πτου, καὶ τῇ μεγίστῃ ἡ ἐστιν ἐν χώρᾳ ἀσσυρίων, καὶ βιάσονται, καὶ ἀναπαύσονται ἐν
ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ κοπλαγα, καὶ
εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν πάντι ξύλῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ
ξυρῷ τῷ μεγάλῳ, τοῖς μεμισθωμένῳ πέραν τοῦ ποταμοῦ βασιλέως ἀσσυρίων, τὴν
κεφαλὴν, καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸ πώγωνα ἀφελεῖ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκεί
νῃ, θρέψει, ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἔσται ἀπὸ τοῦ πλή-
θους τοῦ γάλακτος, φάγεται βούτυρον. ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ κατα-
λελειμμένος ἐπὶ τῆς γῆς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς τόπος οὗ ἂν ὦσι χίλιαι ἄμ-
πελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἀκάνθαν, μετὰ βέλους καὶ τοξεύματος
εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἀκάνθα ἔσται πᾶσα ἡ γῆ, καὶ πρὸς ὄρος κατειλη-
μμένον ἀροτριάσεται. οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ
ἀκάνθης, εἰς βόσκημα προβάτου, καὶ καταπάτημα βοός. τοῖς ἔσεσθαι ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ ἡ προῦσα προφητεία περιέχει· ἅτε ὁποίας ἔχεται θεω-
ρείας ὥρα διηγεῖσθαι, τὰ δέοντα ὑπομνηματίσωμεν. συνελὼν, φησὶ, κύριος μάγας ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ αἱ κυκλούσαι μέρους ποταμοῦ αἰγύπτου, καὶ τῇ μεγίστῃ ἡ ἐστιν ἐν
χώρᾳ ἀσσυρίων. ταῖς μὲν προτέραις εἰδωλολατρῶν ἀνδρῶν ψυχαῖς ἢ καὶ δικαί
μεσιν, ὡς οἶμαι, ἀκαθάρτοις καὶ ἀνδεσι μάγας ὀνομαζομένας, καὶ μάγας αἰγυπτια-
καῖς θυσίαις καὶ αἵμασιν εἰδώλων χαιρούσαις· τῇ δὲ μεγίστῃ ζῶῃ κέντρον ὑπερεφε-
μένῳ, βασιλεῦσι τε καὶ βασιλεύεσθαι, καὶ πολεμεῖν ὑπισχνουμένῳ, ἀμυνέεσθαί τε καὶ
πτερώσειν εἰδότι τοὺς ἀνθρωπομένους. ταύτας οὖν ὁμοῦ συνελθούσας, ταῖς μὲν ἐκ τῶν
εἰδωλολατρῶν χώραις, ταῖς δὲ ἀπὸ τῶν καθ' ὑπνόντων γῆς· καθ' ὑπνοῦσιν
γὰρ οἱ ἀσσύριοι ἐρημωθέντες, κεκλυσμένοι ὡσπερ σύσσημά τι τοῦ κυρίου καὶ θεοῦ τῶν
ὅλων τοῦ ἰουδαίας ἁπάσης ὑπερκρατήσειν, διὰ τοῦ εἰς μέσον ἀπιστίαν αὐτῶν, ἐν τῇ
ἡμέρᾳ τοῦ ἐμμανουήλ, φησὶ· σημαίνει δὲ διὰ τούτων ἔθνη ἀγρόφυλα καὶ στρατιω-
τικὰ οἰκήσειν τοῦ ἱερουσαλὴμ καὶ τοῦ ἰουδαίων γῆς. ὅθεν καὶ ὁ σωτὴρ ἡμῶν λυκο-

τέρους

» τέρεις ὀνόμασιν ἐθέσπιζεν, εἰπών, καὶ ἱερουσαλὴμ ἔσαι παρεμβολὴ ἁγία τοῦ ἐθνους. ὃ
καὶ τέλος ἔτυχε, μετ' οὐ πολὺ χρόνον τῶν τῆς σωτῆρος λιμῶν φωνῶν, ῥωμαίων
τὴν πόλιν ἑλόντων, δημοφύλους τε ἀνδρας αὐτόθι καταικισθέντων ϗ ὅπη δ' τόπου κα-
ταχυθέντων. πάλιν δὲ ὁ αὐτὸς κύριος ξυρήσειν λέγεται διὰ τοῦ βασιλέως ἀσσυ-
ρίων ξυρῶν, ἤτοι τῇ κολαστικῇ δυνάμει τοῦ ἀρχοντος τοῦ αἰῶνος τούτου, τὴν κεφαλὴν,
καὶ τοὺς πόδας, καὶ δὴ πώγωνα, οὐκ ἄλλου τινὸς, ἢ αὐτὸς δ' ἰουδαίων ἔθνους. τοῦτ' ἔστι τὸ
κόσμου αὐτῶν καὶ τὴν δόξαν τὴν ἐλευθέρων, ἀφ' ὧν καθόλου ὑπεκρατοῦντων ἀρ-
χῆς. ῥωμαίους δὲ εἰς τοῦτους αἰνίττεται. ἀφ' οὗ γὰρ τοῦ τῶν ἀσσυρίων ὀνόματος ἠρέμησε
τὸ καθ' ἕκαστον χρόνον ὑπεκρατοῦσ τὸ ἐθνους βασιλείαν σημαίνειν. ἀφ' οὗ καὶ θρύ-
πτοντας ἀπὸ τῶν ἑβραίων φωνῆς ἑρμηνεύεται τοὺς ἀσσυρίους. ὥστε εἰς ῥωμαίους τοὺς
νεωκαθθρύπτοντας. ἐπεὶ καὶ δηλονότι ὧν ῥωμαίων ξυρῷ, ἤτοι τῇ πολιτικῇ ϗ πολεμι-
κῇ δυνάμει, πᾶς τὸ δόξαν δ' ἰουδαίων ἔθνους, ἐν ᾗ ὃ πρὶν ἑκόμα, καὶ πᾶς αὐτῶν
τὴν ἀνδρείαν ἀφ' ὧν πώγωνος καὶ τῶν τειχῶν καὶ τῶν ποδῶν σημαινομένων, ἀφεῖλεν ὁ τῶν
ὅλων θεός. οὐδὲ ἄλλοτε γοῦν πω ἀφῆτερον ἐξ αἰῶνος, ἢ μὴ τὸ τῆς σωτῆρος λιμῶν,
αὐτὸ δὴ τὸ ἐμμανουὴλ γένεσιν, ἀφεῖλεν αὐτῶν ὁ θεὸς πρώτα τῶν κόσμου, ἀφ' ὧν
» τῶν ῥωμαίων ἀρχῆς. αὐτὶ δὲ τοῦ βασιλέως ἀσσυρίων, ὁ μὲν ἀκύλας, ἐν βασιλείᾳ
» ἀσσυρίων· ὁ δὲ θεοδοτίων, ἐν τῇ βασιλῇ τῶν ἀσσυρίων, σκηδέδωκεν, ὁμοίως δὲ
καὶ σύμμαχος, σαφὲς ποιοῦντες ὅτι μὴ τοῦ βασιλέως ἀσσυρίων τὴν κεφαλὴν ξυ-
ρήσειν ὁ λόγος ἀπειλῇ, ἀλλ' ἐν ᾧ αὐτοῦ ξυρῷ, ϗ ἐν αὐτῷ τε ᾧ βασιλῇ τῶν ἀσσυ-
ρίων τὰ ἀφελούμενα ἀφ' ὑμῶν ὁ ἰουδαίων ἔθνος. τούτοις οὖν ϗ λί ἕκασις
ὅτι μυρίους τῶν λόγων. ὅτι χολῆς δέ τις καὶ πλῆσα ἕτερα ὥσπερ εἰς ἀσσυρίων
ἀφέσωπον ἐν ταῖς ἀφηγήσεις εἰρημένα δύσι δ' ὑπιτρήσας, οὐδαμῶς μὲν
τοῖς ἀσσυρίοις ἐφαρμόσας δυνάμενα, τῇ δ' ὑπερκαθύσῃ καθόλου τῶν κατὰ χρό
νους ἐθνῶν βασιλείᾳ. ἤδη γοῦν καὶ πέρασι δύσεσθαι τοῖς ἑβραίοις ἀσσυρίους ὠνο-
μασμένους. ἀφ' οὗ καὶ νῦν ὑπειληφέναι αἰνίττεσθαι τὸν λόγον τῶν ῥωμαίων ἀρχήν. καὶ-
θρύπτουσιν γὰρ καὶ καθθρύπτεσθαι ὑπὸ θεοῦ, μὴ τὸ σωτῆρος ἡμῶν πρω-
σίαν ὁρῶσι. μηδεὶς δ' ὑπολαμβανέτω πρώτα λίμας λέγειν τὰ περὶ ἀσσυρίων ἐν
ταῖς θείαις φερόμενα γραφαῖς, ὅτι ῥωμαίους δύνασθαι. ἠλίθιον γὰρ ϗ δυσδιὲς τοῦ-
το. ἀλλά τινας εἰς φωνὰς ταῖς περὶ τοῦ χριστοῦ μυρίας συμπερι-
πεπλεγμένας, αἷς φέρεται περὶ ῥωμαίων αἰνίττεσθαι ἀφ' ὧν τῶν ἀσσυρίων προφη-
τείας, ἐκ τῆς τοῦ ὀνόματος ἑρμηνείας ἀεὶ σημαινούσης τὴν κατ' χρόνους ὑπερκαθύ-
σης τῶν ἐθνῶν βασιλείας, ὡς ὅτι καιροῦ τοῦ προσήκοντος παραστήσομεν. καὶ ἔγωγε
τὸν λογισμὸν τῆς αἰτίας ἀποδόσεως τοῖς ἐμαυτὸν διερευνώμενος, οἶμαι δι' οὐδὲν
ἕτερον μὴ ὀνομαστὶ τῶν ῥωμαίων μνημονεύσαι τὰ προφητικὰ λόγια, ἢ ἀφ' οὗ
μάθωσιν ὅτι τῶν ῥωμαίων βασιλείας τὸ τοῦ σωτῆρος λιμῶν ἐπὶ τοῦ χριστοῦ ἀφελάμπειν εἰς
πάντας ἀνθρώπους διδασκαλίαν, καὶ τὰς προφητικὰς γραφὰς ἐπ' αἰτίας τε τῶν ῥω
μαίων πόλεως, καὶ ἐν πᾶσι τοῖς ὑπὸ ῥωμαίους ἔθνεσι δημοσιεύεσθαι. ἵν' οὖν τοῖς τῶν
ἀρχῆς κρατοῦσι δυσφρέσεσις μηδεμία γένηται ἐν τῷ προσθήκῃ περὶ αὐτὸ αἰνίγμα-
φῆς, δι' αἰνιγμάτων ὁ λόγος ἐπεκρύψατο, οὐ τε ἑτέροις πλείοσιν, οὐ μὴν ἀλλὰ καὶ
ἐν ταῖς δ' ἀληθείαις, ὡσπερουῦν καὶ ἐν τῇ μὴ χείρας προφητείᾳ, ἐν ᾗ κα-
θθρύπτουσας αὐτοὺς ὀνομάζει προσώπων ἀσσυρίους. ᾧ τούτων τοίνυν ξυρῷ τὸν

© Centre d'Études Supérieures de la Renaissance - Tours

σύμπαντα κόσμον τοῦ ἰουδαίων ἔθνους, μετὰ τὴν τοῦ ἐμμανουὴλ γένεσιν ἀφανισθή-
σεσθαι θεσπίζει. ἔτι δὲ ἐν τῇ δηλουμένῃ ἡμέρᾳ, δῆλον δὲ ὅτι τῇ τοῦ ἐμμανουὴλ,
» τοῦτ' ἔστι τῆς τοῦ χριστοῦ ἐπιφανείας, θρέψει, φησὶν, ἄνθρωπος δάμαλιν βοῶν, καὶ
» δύο πρόβατα. καὶ ἔσται, ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται
» πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. δι' ὧν φαίη ἄν τις ἤτοι λιμὸν αἰνίττεσθαι, καὶ πτω-
χείαν ὑπερβαλλούσαν τοῦ ἐκ περιτομῆς λαοῦ, μὴ εὐποροῦντος μὲν τῆς ἀπὸ σίτου
κατὰ φύσιν τροφῆς, μηδὲ γῆν ἀροῦντος, καὶ σπείροντος, καὶ θερίζοντος, μηδὲ ποίμνας
προβάτων, μηδὲ βοῶν ἀγέλας κεκτημένου, ἐχομένου δὲ δύο προβάτων καὶ
δαμάλεως μιᾶς, τὸ τούτων γάλα ποριζομένου. ἢ ἄλλως τοπολογῶν, τὸν μὲν κατα-
λειφθέντα ἐπὶ τῆς γῆς αἰνίττεσθαι φαίη ἂν τὸν τῶν ἐκ περιτομῆς εἰς τὸν σωτῆρα καὶ
» κύριον ἡμῶν πεπιστευκότων ἀποστόλων τε καὶ εὐαγγελιστῶν χορόν· ὧν ἕκαστος λείμ-
» μα κατ' ἐκλογὴν χάριτος γεγονὼς, καὶ διὰ τοῦτο ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς ὠνο
μασμένος, θρέψειν λέγεται δάμαλιν βοῶν, καὶ δύο πρόβατα, τρία καθ' ἑκάστην
ἐκκλησίαν τάγματα, ἓν μὲν τὸ τῶν ἡγουμένων, δύο δὲ τὰ τῶν ὑποβεβηκότων, τοῦ
τῆς ἐκκλησίας τοῦ χριστοῦ λαοῦ εἰς δύο τάγματα διῃρημένου, εἴς τε τὸ τῶν πιστῶν, καὶ
τῶν μηδέπω τῆς διὰ λουτροῦ παλιγγενεσίας ἠξιωμένων, οἷς καί φησιν ὁ θεῖος ἀπόστο-
» λος, γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. τοὺς δὲ ἐν ἤδη τελειοτέρᾳ καθεστῶτας ἕξει,
δάμαλιν βοῶν εἰκότως ἀποκαλεῖ, γεννήματα τελειοτέρων βοῶν τυγχάνοντας, οἷος
αὐτὸς ἦν ὁ ἀπόστολος, περὶ ἑαυτοῦ καὶ τῶν παραπλησίως αὐτῷ καμνόντων λέγων,
» μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; εἴη δὲ ἂν καὶ πᾶν τὸ τάγμα τῶν
τῆς ἐκκλησίας προεστώτων, ἀροῦν τε καὶ γεωργεῖν τὰς τῶν ἀνθρώπων, ψυχὰς ἐγ-
κεχειρισμένων, δάμαλις ὠνομασμένη βοῶν, γεννήματα τυγχάνουσα τῶν ἀπο-
στολικῶν τρόπων τε καὶ μαθημάτων, οἳ καὶ εἰς τοσοῦτον ἀρετῆς ἐπιδώσειν λέγονται,
ὡς ἐκ πολυγονίας τοσοῦτον προβαλλέσθαι γόνιμον καὶ λογικὸν ταῖς εἰσαγωγικαῖς δι-
δασκαλίαις γάλα, ὡς καὶ ἑτέρους μυρίους τρέφεσθαι ἐξ αὐτῶν. τούτων δὲ πέρι τῶν
καταλειφθέντων ἐπὶ τῆς γῆς γενησομένων, ἕτερόν τι συμβήσεσθαι ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς τοῦ ἐμμανουὴλ παρουσίας, προαναφωνεῖ· τί δὲ
» τοῦτο; πᾶς τόπος, φησὶ, τοῦ ἐκ περιτομῆς λαοῦ, ἐφ' οὗ ἦσαν χίλιαι ἄμπελοι χιλίων
» σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν. μετὰ γὰρ βέλους καὶ τοξεύματος εἰσελεύ-
» σονται ἐκεῖ, δῆλον δ' ὅτι οἱ πολέμιοι, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ. καὶ
θέα γὲ ὅσα ἐν τῇ ἡμέρᾳ τοῦ ἐμμανουὴλ, λέγω δὲ ἐν τῷ τῆς ἀνατολῆς καιρῷ λογι-
κοῦ φωτὸς τοῦ διὰ τοῦ σωτῆρος ἡμῶν εἰς πάντας ἀνθρώπους ἐπιλάμψαντος,
περὶ τὸ ἰουδαίων ἔθνος ἔσεσθαι ὁ λόγος θεσπίζει δυνάμεις τε ἀκαθάρτους καὶ πο-
λεμικὰς τὰς πάλαι ἐν τοῖς ἔθνεσιν ἐνεργούσας, ἐν τε αἰγύπτῳ καὶ τῇ χώρᾳ τῶν ἀσ-
συρίων. ἃς τοῦ κυρίου συρίσαντος καὶ ὡσπερεὶ παρορμήσαντος καὶ παρακελευσαμένου
αὐταῖς, τῇ χώρᾳ φησὶν αὐτῶν ἐπελεύσεσθαι, διὰ τὸ τοιούτων ἀξίαν γεγονέναι. καὶ
ἀναπαύσεσθαι τὰς εἰρημένας δυνάμεις φησὶν ἐν φάραγξι, καὶ ἐν τρώγλαις πε
τρῶν, εἴς τε τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα αὐτῶν. κατὰ μὲν διάνοιαν, ἐν ταῖς ψυ
χαῖς αὐτῶν, καὶ ἐν ταῖς τοῦ σώματος αἰσθήσεσι, τοῖς τε λογισμοῖς καὶ ταῖς διερρωγυί-
αις αὐτῶν διανοίαις· κατὰ δὲ τὴν πρόχειρον λέξιν, καθ' ὅλης αὐτῶν τῆς χώρας. ὃ καὶ τίς
οὐκ ἂν ἀποθαυμάσειεν, ὀφθαλμοῖς ὁρῶν τοὺς πολεμίους αὐτῶν πάντα τόπον τῆς ἰου-
δαίας

© Centre d'Études Supérieures de la Renaissance - Tours

δαίας κατειληφότας, καὶ τοὺς γεανοφύλους καὶ εἰδωλολάτρας ἀνθρώπους ἐν πάσαις αὐτῶν πόλεσί τε καὶ χώραις ἀναπεπαυμένους; οὐ ταῦτα δὲ ἄρα μόνα διαθήσειν φησὶν αὐτοὺς ὁ λόγος, ἀλλὰ ξυρῷ τοῦ νενοημένου ἡμῖν βασιλέως ἀσυρίων, τὴν κεφαλὴν αὐτῶν, καὶ τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα, πάντα δηλαδὴ τὸν πάλαι περικείμενον αὐτοῖς κόσμον ξυρήσειν. κατὰ δὲ τὴν αὐτὴν ταύτην ἡμέραν, καὶ κατὰ τὸν αὐτὸν χρόνον, ἀπειλεῖ ἐν ἐσχάτῃ πενίᾳ τοῦ κατὰ θεὸν πλούτου καταστήσεσθαι αὐτοὺς, ὡς μὴ ἄρτων λογικῶν εὐπορεῖν, μήτε στερεᾶς καὶ πνευματικῆς τροφῆς, ἀγαπᾷν δὲ γάλακτι τρέφεσθαι τῷ νηπιώδει, καὶ εἰσαγωγικῷ λόγῳ. ἔτι πρὸς τούτοις καὶ τὰς ἀμπέλους αὐτῶν εἰς χέρσον ἔσεσθαι. ἐπεὶ γὰρ, ὡς ὁ αὐτὸς προφήτης φησὶν, ἔμεινεν ὁ γεωργὸς ἅμα καὶ δεσπότης αὐτῶν, τοῦ ποιῆσαι σταφυλὴν τὸν ἀμπελῶνα· ὁ δὲ ἐποίησεν ἀκάνθας, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν· διὸ καὶ ἀφαιρῶν τὸν φραγμὸν αὐτοῦ, καὶ καθαιρῶν τὸν τοῖχον, εἰς χέρσον καταστήσειν τὸν ἀμπελῶνα μαρτύρεται, καὶ τοῖς ἐχθροῖς παραδώσειν αὐτὸν, οὓς μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσεσθαί φησιν ἐκεῖ τοὺς τὴν ἐξουσίαν εἰληφότας ὑπὸ τοῦ θεοῦ τοῦ παραδόντος αὐτοῖς οὐκ ἀκρίτως, ἀλλ' εὖ μάλα ἐνδίκῃ, ὅτι δὴ χέρσος καὶ ἄκανθα αὐτῶν γέγονε πᾶσα ἡ γῆ. διὰ τοῦτο γοῦν ἐπείπερ εἰς χέρσον καὶ ἄκανθαν αὐτοὶ ἑαυτοὺς κατέστησαν, εἰσελεύσονται, φησὶν, ἐκεῖ μετὰ βέλους καὶ τοξεύματος, οἱ τὴν κατ' αὐτῶν ἐξουσίαν εἰληφότες. μὴ θαύμαζε δ' εἰ καὶ ταῦτα συνεσκιασμένως καὶ δι' αἰνιγμάτων ἀποδέδοται. λέλεκται γοῦν ἤδη πρότερον ἡ αἰτία τῆς τοιαύτης οἰκονομίας τοῦ λόγου, βουληθέντος ἐπικρύψασθαι τὸν ἔσχατον τοῦ ἰουδαίων ἔθνους ὄλεθρον, ὡς ἂν φυλάττοιτο παρ' αὐτοῖς ἡ γραφὴ εἰς ἡμῶν τῶν ἐθνῶν βελτίωσίν τε καὶ ὠφέλειαν. εἰ γοῦν ἀναφανδὸν αὐτοῖς μὲν ὄλεθρον, τοῖς δὲ ἔθνεσιν ἀγαθὰ προεκήρυττον αἱ προφητεῖαι, οὐδεὶς ἂν περὶ αὐτὰς ἐσπούδασε τῶν ἐκ περιτομῆς, ἀλλὰ ὡς αὐτοῖς ἐναντίας οὔσας καὶ ἐχθρὰς διέφθειραν ἂν αὐτὰς, καὶ οὐκετὶ ἡμῖν τοῖς ἐξ ἐθνῶν παρῆν ταῖς τῶν προφητῶν περὶ τοῦ σωτῆρος ἡμῶν καὶ περὶ ἡμῶν αὐτῶν μαρτυρίαις χρήσασθαι. ἀλλὰ γὰρ τοσούτων ἐν τῇ τοῦ ἐμμανουὴλ ἡμέρᾳ περὶ τὸ ἰουδαίων ἔθνος γενησομένων, κατὰ τὴν ἑτέραν ἑρμηνείαν, σπανιός τις ἔσεσθαι λέγεται ὁ καταλειφθεὶς ἐξ αὐτῶν, περὶ οὗ φησιν ὁ ἀπόστολος, λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. ὃς δὴ θρέψει δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἀπὸ τοῦ πλείστου ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται. τοιοῦτος δὲ ἡμῖν ἀπεδείχθη κατὰ τὴν δευτέραν ἀπόδοσιν πᾶς ὁ ἀποστολικὸς τῶν μαθητῶν χορὸς τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. ὥσπερ δὲ ὁ καταλειφθεὶς οὗτος τοιοῦτος ἔσεσθαι προφητεύεται, οὕτω καὶ τῆς χώρας ἁπάσης τοῦ ἰουδαίων ἔθνους, τοῦτε ἀμπελῶνος αὐτῶν εἰς χέρσον καὶ ἄκανθαν μεταβεβλημένου, καὶ διὰ ταῦτα τοῖς πολεμίοις παραδεδομένου, ἔμπαλιν ἐκ θατέρου μέρους πᾶν ὄρος ἀροτριώμενον ἀροτριαθήσεσθαι προφητεύεται. ἡγοῦμαι δὲ τὴν τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ἐκκλησίαν οὕτως αἰνίττεσθαι, περὶ ἧς καὶ αὐτός φησιν, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. τὸ γὰρ ἐπηρμένον μετέωρόν τε καὶ ὑψιπετὲς τοῦ τῆς ἐκκλησίας πολιτεύματος ὄρος ἡγοῦμαι διὰ τούτων ἀνηγορεῦσθαι. τοῦτο δ' οὖν, φησὶ, τὸ ὄρος ἀροτριώμενον ἀροτριαθήσεται· ὡς μὴ ἐπελθεῖν ἐκεῖ φόβον, ἀλλὰ καὶ εἰς τοσοῦτον αὐτὸ μεταβαλεῖσθαι ἀπὸ τῆς προτέρας ἐρημίας, καὶ χέρσου καὶ ἀκάνθης, ὡς ἐπιτήδειον καταστῆναι

© Centre d'Études Supérieures de la Renaissance - Tours

εἰς βόσκημα προβάτου, καὶ καταπάτημα βοός. καὶ πρέστί γε ἐπιλογίσασθαι, ὅπως ἡ τοῦ χριστοῦ ἐκκλησία πάλαι οὖσα χέρσος καὶ ἄκανθα, διὰ τῆς αὐτοῦ χάριτος εἰς τοσοῦτον ἤλασε μεταβολῆς, ὥστε πόαν καὶ βοτάνην εὔθετον τῆς λογικῆς καρποφορίας ἐπὶ τοσοῦτον βλαστῆσαι, ὡς καὶ τοὺς προβατώδεις καὶ ἁπλουστέρους ἀπολαύειν αὐτῆς δυνάσθαι, τούς τε ἐν ἕξει τελειοτέρᾳ προβεβηκότας ἀροῦν καὶ γεωργεῖν αὐτήν, βόας προσαγορευομένους, ὡς πρόσω τὸν θεῖον ἀπόστολον παιδεύοντα πρεστήσαμεν ἐν τῷ φάναι, μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφείλει ὁ ἀροτριῶν ἐπ' ἐλπίδι ἀροτριᾶν, καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν. οὕτως ἡ πάλαι ἔρημος καὶ χέρσος μεταβέβληκε κατὰ τὴν τοῦ χριστοῦ παρουσίαν, ὡς καὶ τοῖς οὕτως νενοημένοις βουσὶν εἰς τὴν κατάλληλον γεωργίαν ἐπιτηδείως ἔχειν. ἐπίστησον δὲ, τίνα τρόπον, ὑπὸ μίαν καὶ τὴν αὐτὴν διάνοιαν γένεσις ἐκ πρεσθένου προφητεύεται, καὶ κατὰ τὸ αὐτό φησιν ὁ λόγος τὴν μὲν πάλαι καρποφόρον γῆν, τὸ πρὶν οὖσαν χιλίων σίκλων, εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκανθαν, πᾶσαν τε τὴν γῆν αὐτῶν διὰ τὸ γενέσθαι εἰς ἄκανθαν καὶ εἰς χέρσον παραδοθήσεσθαι τοῖς μετὰ βέλους καὶ τοξεύματος εἰσελευσομένοις. τοὐναντίον δὲ πείσεσθαι πᾶν ὄρος· ἀπὸ γοῦν τῆς προτέρας χέρσου καὶ ἀκάνθης μεταβαλεῖσθαι εἰς βόσκημα προβάτου, καὶ καταπάτημα βοός, ὥστε αὐτὸ ἀροτριώμενον ἀροτριαθήσεσθαι, καὶ μὴ ἐπελεύσεσθαι ἐκεῖ φόβον. δι' ὧν σαφῶς ἡγοῦμαι σημαίνεσθαι τὴν τοῦ σωτῆρος ἡμῶν ἐκ πρεσθένου γένεσιν, καὶ τὰ μετὰ ταύτην ὁμοῦ καὶ ἀθρόως ἰουδαίοις τε καὶ τοῖς λοιποῖς ἔθνεσι συμβεβηκότα, τὴν γοῦν ἑκατέρων τῶν ταγμάτων εἰς τοὐναντίον μεταβολήν, τῶν μὲν, τὴν ἀπὸ τῶν κρειττόνων ἐπὶ τὸ χεῖρον· τῆς δὲ ἐξ ἐθνῶν ἐκκλησίας τὴν ἀπὸ τῆς πάλαι ἐρημίας ἐπὶ τὴν κατὰ θεὸν καρποφορίαν, ἅπερ καθ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν τῆς τοῦ ἐμμανουὴλ ἐπιφανείας ἐπιτελεσθήσεσθαι προφητευθέντα, ταῖς προῤῥήσεσιν ἀκολούθως οὐκ ἀλλότε, ἢ μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν πρεσουσίαν τέλος εἰληφότα δείκνυται διά τε τῶν ἐμφανῶς εἰρημένων κατὰ ἰουδαίους πραγμάτων, καὶ διὰ τῆς ἐξ ἐθνῶν ἐκκλησίας. εἰ μὲν γὰρ κατὰ τὴν πρεσουσίαν τοῦ σωτῆρος ἡμῶν, αὐτοῦ δὴ ἰησοῦ τοῦ χριστοῦ, μὴ πέπαυται βασιλευομένη ἡ ὧν δαμασκηνῶν ἀρχὴ καὶ τῶν ἰουδαίων, καὶ εἰ μὴ ἐν ὄψεσιν ἡμῖν αὐτοῖς νῦν θεωρεῖται καταλελειμμένη ὑπ' αὐτῶν ἡ γῆ, καὶ ὑπ' ἐθνῶν ἀλλοφύλων καὶ εἰδωλολατρῶν κατοικουμένη· καὶ πρὸς τούτοις εἰ μὴ γέγονεν εἰς χέρσον καὶ ἄκανθαν πᾶσα ἡ πάλαι σεμνοτάτη, αὐτοῦ δὴ τοῦ ἱεροῦ αὐτῶν ἁγιάσματος ὥρα, καὶ εἰ μὴ εἰδωλολάτραι ἀκάθαρτοι ἄνδρες, οἵτε πολέμιοι αὐτῶν κατὰ βέλους καὶ τοξεύματος ἐπελθόντες, ὑπ' αὐτοῦ γε τοῦ κυρίου παρορμηθέντες ἐκ τῆς ἀλλοδαπῆς ἐληλύθασιν, ἀνεπαύσαντό τε ἐν τῇ χώραις αὐτῶν πάντα τόπον καὶ πάσας τὰς πόλεις αὐτῶν ἰδιοποιησάμενοι· καὶ ἔμπαλιν, εἰ μὴ ἀπὸ χέρσου καὶ ἀκάνθης τῆς πρὶν ἀγεωργίας, διὰ τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας μεταβαλόντα πάντα τὰ εἰς αὐτὸν πεπιστευκότα ἔθνη τὴν εὐσεβῆ καὶ κατὰ θεὸν λογικὴν ἀπείληφε καρποφορίαν· καὶ ἐπὶ τούτοις, εἰ μὴ ὀφθαλμοῖς τὸν χριστὸν ἰδόντες οὐκ ἐπίστευσε, καὶ διδάσκοντος ἀκούσαντες εἰ μὴ πρεσήκουσε, καὶ εἰ μὴ τὰ λοιπὰ τῆς προφητείας ἐναργέστατα τέλους τυχόντα ἀπὸ τῶν χρόνων ἰησοῦ τοῦ σωτῆρος ἡμῶν δείκνυται, οὐκ ἂν εἴη αὐτὸς ὁ προφητευόμενος. εἰ δὲ καὶ τυφλῷ, ὥς φασι, δῆλα τὰ τῶν λόγων ἀποτελέσματα, οὐκ ἀλλότε ἢ ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας αὐτοῦ πεπληρωμένα, τί χρὴ λοιπὸν καὶ περὶ τῆς ἐκ πρεσθένου

© Centre d'Études Supérieures de la Renaissance - Tours

νου γενέσεως αὐτοῦ ἀμφιβόλως ἔχειν, οὐχὶ δὲ εὐγνώμονι λογισμῷ ἀπὸ τῶν εἰσέτι νῦν ὁρωμένων καὶ τὴν καταρχὴν τῶν πραγμ^τ^ν πιστοῦσθαι; ὁρώμενα δὲ εἰσέτι νῦν τίνα ἂν εἴη, ἀλλ' ἢ ἡ ἰουδαίων εἰς αὐτὸν ἀπιστία, ἐναργῶς κ^τ^ὶ τὸν χρησμὸν πλη-
» ρουμένη τὸν φάσκοντα, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ
» οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου. καὶ ἡ πολιορκία τῆς ἱερουσαλὴμ, καὶ τοῦ πάλαι αὐτῶν ἁγιάσματος ἡ παντελὴς ἐρήμωσις, τῶν τε ἀλλοφύλων ἐθνῶν ἐπὶ τῆς χώρας αὐτῶν κατοίκησις, μ^τ^ὶ κέντρων αὐτοὺς, τοῦτ' ἔστι μ^τ^ὶ σκληρῶν ἐπιταγμάτων, καταδουλουμένων. τοῦτο γὰρ ἐδήλου τῶν μυιῶν καὶ μελιττῶν τὰ παραδείγματα. καὶ ἐπὶ πᾶσιν ἡ τῶν ἐθνῶν ἀπὸ τῆς προτέρας ἐρημίας εἰς τὴν κ^τ^ὶ θεὸν γεωργίαν μεταβολή. ταῦτα δὴ οὖν ὀφθαλμοῖς ὁρώμενα τίς οὐκ ἂν ἐκπλαγείη θαυμάσας; τίς δὲ οὐ θείαν ὡς ἀληθῶς ὁμολογήσειεν ἂν τὴν προῤῥήσιν, ἀκούων ἄνωθεν πρὸ χιλίων ὅλων ἐτῶν ἐν βίβλοις ἀποκείμενα ταῦτα καὶ μελετώμενα, οὐ μὴν ἀλλότε εἰς τέλος ἀχθέντα, ἢ μ^τ^ὶ τὴν τοῦ σωτῆρος ἡμῶν παρουσίαν; εἰ δὴ οὖν θαυμάσιος ἡ προῤῥήσις, καὶ ἔτι θαυμασιωτέρα καὶ ὑπὲρ πάντα λόγον ἡ τῆς προῤῥήσεως ἔκβασις, τί δεῖ ἀπιστεῖν εἰ καὶ ἡ πρώτη τοῦ προφητευομένου παρόδος παράδοξον καὶ ὑπὲρ πᾶσαν ἀνθρώπου φύσιν τὴν τῆς γενέσεως καταβολὴν εἴληχεν, ὁπότε καὶ ἡ τῶν λοιπῶν θαυμάτων ἐναργὴς ὄψις οὐχ ἥττων οὖσα, ἀπὸ τῆς γενέσεως αὐτοῦ βιάζεται καὶ τὴν τῶν ἀλλων τῶν κατ' αὐτὸν πραχθέντων ἀποδέχεσθαι μαρτυρίαν; ἀλλὰ γὰρ τούτοις ἑξῆς μ^τ^ὶ τὸ εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοὸς, συνῆπται δευτέρα τις προῤῥήσις συγγενὴς τῇ προτεθειμένῃ, ἀρχομένη ἀπὸ τοῦ,
» καὶ εἶπε κύριος πρός με, λάβε σεαυτῷ τόμον. ἣν καὶ αὐτὴν ἐκθέμενοι φέρε διασκοπήσωμεν.

Ἀπὸ τοῦ αὐτοῦ.

Ἐπὶ καινῆς γραφῆς, τῆς καινῆς δηλαδὴ διαθήκης, προφῆτις ἐξ ἁγίου πνεύματος συλλήψεσθαι καὶ τέξεσθαι υἱὸν λέγεται, ὃς τῶν ἐχθρῶν καὶ πολεμίων κρατήσας ἀπιστηθήσεται μὲν ὑπὸ ἰουδαίων, τοῖς δὲ ἔθνεσιν ἔσται σωτήριος. οἷά τε πείσεται τὸ ἰουδαίων ἔθνος μ^τ^ὶ τὴν εἰς αὐτὸν ἀπιστίαν, κ^τ^ὶ τὸ αὐτὸ δηλοῦται.

Καὶ εἶπε κύριος πρός με, λάβε σεαυτῷ τόμον καινὸν, μέγαν, καὶ γράψον εἰς αὐ-
» τὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. πάρεστι γὰρ, καὶ μάρ-
» τυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν οὐρίαν τὸν ἱερέα, καὶ ζαχαρίαν υἱὸν βα-
» ραχίου, καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπε
» κύριός μοι, κάλεσον τὸ ὄνομα αὐτοῦ ταχέως σκύλευσον, ὀξέως προνόμευσον. διότι
» πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν δαμασκοῦ
» καὶ τὰ σκῦλα σαμαρείας ἐναντι βασιλέως ἀσσυρίων. ἔχει τῆς προτεταγμένης καὶ ἡ παροῦσα προφητεία. ἡ γὰρ ἐκεῖ παρθένος ἡ τὸν μετ' ἡμῶν θεὸν τίκτειν λεγομένη, προφῆτις ἐπὶ τοῦ πάροντος ὠνόμασται. ζητουμένου δὲ πόθεν ἄρα συλλή-
» ψεται ἀπειρόγαμος οὖσα, τοῦτο νῦν ὁ λόγος διδάσκει, καὶ προσῆλθον, λέγων, πρὸς
» τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. ἀκουστέον δὲ ταῦτα ὡς ἐξ ἁγίου πνεύματος, ὑφ' οὗ θεοφορούμενος ὁ προφήτης ἐθέσπιζεν. αὐτὸ δὴ οὖν τὸ πνεῦ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

μα δ' ἄγιον πνεῦμα ὁμολογεῖ τῇ προφητείᾳ. ὁ καὶ Ἰωσὴφ πεπλήρωται
" ὅτι τὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ γένεσις οὕτως ἦν· μνηστευθείσης
" τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς
" εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. ὁ δὲ Ἰωσὴφ ὁ ἀνὴρ
" αὐτῆς δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν δειγματίσαι, ἐβουλήθη λάθρᾳ
" ἀπολῦσαι αὐτήν. ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, ἰδοὺ ἄγγελος κυρίου
" κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παρα-
" λαβεῖν Μαρίαν τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύ-
" ματός ἐστιν ἁγίου. τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
" Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.
" τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Κυρίου διὰ τοῦ
" προφήτου λέγοντος· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν,
" καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον
" μεθ' ἡμῶν ὁ θεός. καὶ ἐγερθεὶς ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν
" ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα
" αὐτοῦ, καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτοῦ τὸν
" πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. ἐπεὶ δὲ ἐν τῷ
" Εὐαγγελίῳ γέγραπται· ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι
" ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱερουσαλὴμ λέγοντες· ποῦ ἐστὶν ὁ τε-
" χθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ
" ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ Ἡρῴδης ὁ βα-
" σιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱερουσαλὴμ μετ' αὐτοῦ· καὶ συναγαγὼν
" πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ'
" αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. οἱ δὲ εἶπον αὐτῷ· ἐν Βηθλεὲμ τῆς
" Ἰουδαίας. οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου· καὶ σὺ Βηθλεὲμ γῆ
" Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ
" ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.
" τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους ἠκρίβωσεν παρ' αὐτῶν τὸν
" χρόνον τοῦ φαινομένου ἀστέρος· καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε·
" πορευθέντες ἐξετάσατε ἀκριβῶς περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε,
" ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκού-
" σαντες τοῦ βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ
" ἀνατολῇ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον.
" ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα· καὶ ἐλθόντες
" εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ
" προσκυνήσαντες αὐτῷ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν
" αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ χρηματισθέντες
" μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν ἰδίαν
" χώραν. ἀναχωρησάντων δὲ αὐτῶν, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ
" ἐφάνη τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα
" αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει
" γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. ὁ δὲ ἐγερθεὶς παρέ-
" λαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴ-
" γυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου. ἵνα πληρωθῇ τὸ ῥηθὲν
" ὑπὸ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν
" μου. τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν·
" καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πά-
" σαις τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν
" ἠκρίβωσε παρὰ τῶν μάγων. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ
" προφήτου λέγοντος· φωνὴ ἐν Ῥαμὰ ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς
" πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι
" ἀπὸ τῶν υἱῶν αὐτῆς, ὅτι οὐκ εἰσίν. τελευτήσαντος δὲ Ἡρῴδου, ἰδοὺ
" ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων· ἐγερθεὶς
" παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ·
" τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. ὁ δὲ ἐγερθεὶς παρέ-
" λαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. ἀκού-
" σας δὲ ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ πατρὸς
" αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ ἀνεχώρησεν
" εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν τὴν λεγομένην
" Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος
" κληθήσεται. ὁ δὲ Λουκᾶς περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ γενέσεως
" οὕτως ἱστορεῖ· ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος
" Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἀπογραφὴ πρώτη
" ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. καὶ ἐπορεύοντο πάντες
" ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ
" τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβὶδ τὴν
" καλουμένην Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ·
" ἀπογράψασθαι σὺν Μαρίᾳ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ.
" ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν
" αὐτήν· καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν
" αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ
" καταλύματι. καὶ ἐν τῇ αὐτῇ χώρᾳ ἦσαν ποιμένες ἀγραυλοῦντες καὶ
" φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἰδοὺ ἄγ-
" γελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ
" ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· μὴ φοβεῖσθε·
" ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ·
" ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ.
" καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμε-
" νον ἐν φάτνῃ. καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς
" οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων· δόξα ἐν ὑψίστοις θεῷ, καὶ
" ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ'
" αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, οἱ ποιμένες ἔλεγον πρὸς ἀλλήλους·
" διέλθωμεν δὴ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν
" ἡμῖν. καὶ ἐλθόντες ἀνεῦρον τὴν Μαρίαν καὶ τὸν Ἰωσὴφ καὶ τὸ βρέφος
" κείμενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λα-
" λη θέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκούσαντες
" ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. ἡ δὲ
" Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ
" αὐτῆς. καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν
" ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς. καὶ ὅτε
" ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ
" ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλλημφθῆναι
" αὐτὸν ἐν τῇ κοιλίᾳ τῆς μητρός. καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ κα-
" θαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱερουσα-
" λὴμ παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν τῷ νόμῳ Κυρίου· πᾶν
" ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται. καὶ τοῦ δοῦναι
" θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ Κυρίου· ζεῦγος τρυγόνων ἢ δύο
" νεοσσοὺς περιστερῶν. καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἱερουσαλὴμ, καὶ ὄνομα
" αὐτῷ Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς προσδεχόμενος
" παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν. καὶ ἦν αὐτῷ
" κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν
" ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ
" ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ
" τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς
" ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν θεὸν καὶ εἶπε· νῦν ἀπολύεις τὸν δοῦ-
" λόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί
" μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
" φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. καὶ ἦν Ἰωσὴφ
" καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. καὶ
" εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαρίαν τὴν μητέρα αὐτοῦ· ἰδοὺ
" οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς
" σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία,
" ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. καὶ ἦν Ἄννα
" προφῆτις θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέ-
" ραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς,
" καὶ αὐτὴ χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων· ἥτις οὐκ ἀφίστατο ἀπὸ
" τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. καὶ αὕτη
" αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἐξομολογεῖτο τῷ θεῷ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι
" τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. καὶ ὡς ἐτέλεσαν πάντα
" κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν
" Ναζαρέτ. τὸ δὲ παιδίον ηὐξάνετο καὶ ἐκραταιοῦτο πληρούμενον σοφίας·
" καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό. καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος
" εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα κατὰ τὸ ἔθος τῆς ἑορτῆς. καὶ ὅτε
" ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν κατὰ τὸ ἔθος τῆς ἑορτῆς καὶ
" τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς
" ὁ παῖς ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ. νομίσαντες δὲ
" αὐτὸν ἐν τῇ συνοδίᾳ ἐλθεῖν ἡμέρας ὁδὸν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς
" συγγενεῦσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες ὑπέστρεψαν εἰς Ἱερου-
" σαλὴμ ζητοῦντες αὐτόν. καὶ ἐγένετο μετὰ ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν
" τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ
" ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συ-
" νέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν· καὶ
" πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ
" πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐτούς· τί
" ὅτι ἐζητεῖτέ με; οὐκ ἤδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;
" καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησε πρὸς αὐτούς. καὶ κατέβη μετ'
" αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ
" αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ Ἰησοῦς
" προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις. ἐν
" ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος
" Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος Ἡρῴδου τῆς Γαλιλαίας,
" Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τρα-
" χωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιε-
" ρέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου
" υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κη-
" ρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, ὡς γέγραπται ἐν βίβλῳ
" λόγων Ἡσαΐου τοῦ προφήτου λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοι-
" μάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ
" πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ
" σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· καὶ ὄψεται πᾶσα σὰρξ
" τὸ σωτήριον τοῦ θεοῦ. ἔλεγε δὲ τοῖς ὄχλοις τοῖς ἐκπορευομένοις βαπτι-
" σθῆναι ὑπ' αὐτοῦ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς
" μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ
" ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν
" ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. ἤδη
" δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ
" ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. καὶ ἐπηρώτων
" αὐτὸν οἱ ὄχλοι λέγοντες· τί οὖν ποιήσωμεν; ἀποκριθεὶς δὲ ἔλεγεν αὐτοῖς·
" ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως
" ποιείτω. ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· διδά-
" σκαλε, τί ποιήσωμεν; ὁ δὲ εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ δια-
" τεταγμένον ὑμῖν πράσσετε. ἐπηρώτησαν δὲ αὐτὸν καὶ στρατευόμενοι λέ-
" γοντες· τί ποιήσωμεν καὶ ἡμεῖς; καὶ εἶπε πρὸς αὐτούς· μηδένα διασείσητε
" μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. προσδοκῶντος
" δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ
" Ἰωάννου μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο Ἰωάννης λέγων πᾶσιν·
" ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ
" ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει
" ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ διακαθᾶραι
" τὴν ἅλωνα αὐτοῦ καὶ συναγαγεῖν τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ
" δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. πολλὰ μὲν οὖν καὶ ἕτερα παρακα-
" λῶν εὐηγγελίζετο τὸν λαόν· ὁ δὲ Ἡρῴδης ὁ τετράρχης ἐλεγχόμενος ὑπ'
" αὐτοῦ περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων
" ὧν ἐποίησε πονηρῶν ὁ Ἡρῴδης, προσέθηκε καὶ τοῦτο πᾶσι, καὶ κατέκλεισε
" τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν
" λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν
" καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡς περιστερὰν ἐπ'
" αὐτόν· καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγα-
" πητός, ἐν σοὶ εὐδόκησα. καὶ αὐτὸς ἦν Ἰησοῦς ἀρχόμενος ὡσεὶ ἐτῶν τρια-
" κοντα, ὢν υἱὸς ὡς ἐνομίζετο Ἰωσὴφ τοῦ Ἡλεὶ τοῦ Ματθὰτ τοῦ Λευεὶ τοῦ
" Μελχεὶ τοῦ Ἰαννὰ τοῦ Ἰωσὴφ τοῦ Ματταθίου τοῦ Ἀμὼς τοῦ Ναοὺμ τοῦ
" Ἐσλεὶ τοῦ Ναγγαὶ τοῦ Μαὰθ τοῦ Ματταθίου τοῦ Σεμεεὶν τοῦ Ἰωσὴχ τοῦ
" Ἰωδὰ τοῦ Ἰωανὰν τοῦ Ῥησὰ τοῦ Ζοροβάβελ τοῦ Σαλαθιὴλ τοῦ Νηρεὶ τοῦ
" Μελχεὶ τοῦ Ἀδδεὶ τοῦ Κωσὰμ τοῦ Ἐλμαδὰμ τοῦ Ἤρ τοῦ Ἰωσὴ τοῦ Ἐλιέζερ
" τοῦ Ἰωρεὶμ τοῦ Ματθὰτ τοῦ Λευεὶ τοῦ Συμεὼν τοῦ Ἰούδα τοῦ Ἰωσὴφ τοῦ
" Ἰωνὰμ τοῦ Ἐλιακεὶμ τοῦ Μελεὰ τοῦ Μεννὰ τοῦ Ματταθὰ τοῦ Νάθαν τοῦ
" Δαβὶδ τοῦ Ἰεσσαὶ τοῦ Ἰωβὴδ τοῦ Βοὸζ τοῦ Σαλὰ τοῦ Ναασσὼν τοῦ Ἀμιναδὰβ
" τοῦ Ἀδμὶν τοῦ Ἀρνεὶ τοῦ Ἑσρὼμ τοῦ Φαρὲς τοῦ Ἰούδα τοῦ Ἰακὼβ τοῦ Ἰσαὰκ
" τοῦ Ἀβραὰμ τοῦ Θάρα τοῦ Ναχὼρ τοῦ Σεροὺχ τοῦ Ῥαγαὺ τοῦ Φαλὲκ τοῦ
" Ἔβερ τοῦ Σαλὰ τοῦ Καϊνὰμ τοῦ Ἀρφαξὰδ τοῦ Σὴμ τοῦ Νῶε τοῦ Λάμεχ τοῦ
" Μαθουσαλὰ τοῦ Ἐνὼχ τοῦ Ἰάρετ τοῦ Μαλελεὴλ τοῦ Καϊνὰμ τοῦ Ἐνὼς τοῦ
" Σὴθ τοῦ Ἀδὰμ τοῦ θεοῦ. τὸ δὲ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ γένος δυνάμεως

διμῶν ἐχθροὺς, οἱ δὴ πάλαι ποτέρων τοῖς ποτὲ φρονήμασι ἀθέοις καὶ ὑπερηφάνοις ἐνεργείαις πόλεις δυσσεβῶν ἐπολιόρκουν. ὃ δὲ πρὸς λέξιν δὲ πάλιν ἴδοις ἂν ὁμοῦ τῇ γλυκείᾳ καὶ ὑπερφυεῖ τοῦ σωτῆρος ἡμῶν, τὸ δυνάμεν δαμάσασθαι καὶ ἀρρηνόφρονα, καὶ τὰ σκύλα σαμαρείας ἁρπάσαι, τοῦτ' ἔστι τὰς βασιλείας αὐτῶν, αἳ μέχρι τῶν δηλουμένων χρόνων διαρκέσασαι, ἐξ ἐκείνου καὶ εἰς δεῦρο διαλελοίπασι, καθὰ τοῖς ἁγίοις προεῤῥήθησαν. φασὶ δέ τινες καὶ ἀπὸ ἀναβολῆς ἡλικιώτας μάγους, καὶ τῷ χριστῷ παιδίῳ ὄντι προσκεκινηκότας, τούτους εἰς τὸ δυνάμεν δαμάσασθαι. εἴποις δ' ἂν καθολικώτερον, πόλεις τοὺς τὸ μὲν ἄθεον καὶ πολύθεον εἰδωλολατρείαν ἀποτραφέντας, τῷ δὲ τοῦ χριστοῦ λόγῳ καταδουλωθέντας, μάλιστα εἰ δυνατόν τινες εἶεν ἐν λόγῳ καὶ σοφίᾳ τοῦ αἰῶνος τούτου, αὐτοὺς εἰς τοὺς ὀνομαζομένους δυνάμεν δαμάσασθαι. καὶ ταῦτα δὲ καὶ τὰ σκύλα σαμαρείας νοήσεις, τοὺς ἀπὸ τοῦ ἰουδαίων ἔθνους τοῦ σωτῆρος ἡμῶν μαθητὰς καὶ ἀποστόλους, οὓς ὡσεὶ ἐν πολεμίων τῶν ἐν περιτομῇ κατ' αὐτοῦ τραλλυσαμένων σκῦλα ὑφ' αὑτὸν λαβὼν ἐξ ἀνάγκης καθώπλισε τῷ τῶν ἀσυνείων βασιλέως, οὕτω πάλιν ἐπικῶς δηλουμένου τῷ ἔρχοντος τοῦ αἰῶνος τούτου. ἐπεὶ δὲ ὁ ἐναντίον βασιλέως ἀσυνείων σαφέστερον ὁ ἀκύλας ἐξέδωκεν, εἰπών, εἰς πρόσωπον βασιλέως ἀσυνείων, ὑπίσχνου μή πολεμεῖν καὶ ἐν τούτοις τὸ ῥωμαίων ἔρχεσθαι δηλοῖ, εἴτε καθ' ὑπόνοντες, ἢ καθ' ὑπονόμους ἀσύνειοι μεθερμηνεύονται, καὶ τὰ μικρῷ πρόσθεν ἀποδεδομένα. ἐπεὶ τίνων τῇ πρὸ τοῦ σωτῆρος ἡμῶν προῤῥήσει καὶ νῦν ὁ τῶν ἀσυνείων συμπέπλεκται βασιλεὺς, εἰκότως ἡμῖν καὶ νῦν τὸ ῥωμαίων ἔρχεσθαι πρόειληπται, ἀφ' ὃ πρὸς τοῦ θεοῦ εἰς τὸ τῶν ἐθνῶν ἐπαναγαγεῖν καθ' ὑπνεσθαι. λήψεσθαι δι' ἀροῦν ὃ τὴν πρόμνον παιδίον τὸ δυνάμεν δαμάσασθαι, καὶ τὰ σκῦλα σαμαρείας, ὃ δεδώσειν εἰς πρόσωπον ἀσυνείων, καὶ ἐν ὀφθαλμοῖς τῶν ἐπὶ τοῦ θεοῦ καθ' ὑπονομένων θεατίζεται, καὶ ταῦτα ποιήσειν ἅμα τῇ αὐτοῦ γλυκείᾳ, ἀῤῥήτῳ δὲ ἐνθέῳ δυνάμει, ἐπὶ νηπιάζοντι σώματι τοιοῦτον ἐν δυσὶ θέσποις οἰκονομούμενος. πόθεν δὲ ταῦτα ὁ προφήτης ἐν τόμῳ καινῷ καὶ μεγάλῳ γραφῇ προδεδώκασι δύο θέσπιοι προφῆται, τοῦτον καὶ τῆς καινῆς διαθήκης δηλουμένου τόπον. προσπαραλαμβάνει δὲ τῶν εἰρημένων μάρτυρας, ἱερέα καὶ προφήτην, τὸ λόγου παιδεύοντος, ὡς ὅτι δεήσει ἐν ταῖς ἀποδείξεσι ταῖς περὶ τοῦ χριστοῦ, ταῖς ἀπὸ τῆς ἐν νόμῳ ἱερουργίας καὶ τῶν μετὰ ταῦτα προφητῶν μαρτυρίας προσλαμβάνειν. πιστοῦ δὲ βούλεται καὶ δικαίως μάρτυρας εἰς τοὺς τὸ γλυκεῖν τὸ δηλουμένου παιδίου μιμουμένους ἐποπτεύειν, εἰς ὃ σωτήριαν δύνασθαι τὰ προφητευόμενα. ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδὲ μὴ σωθῆτε, φέγγος δυνατώτερον. ὃ ὃν μὴ ἔχῃ φῶς θεοῦ. τοῦτο γὰρ ὁ τῆς ἁγίας ἑρμηνεύει, τὸ δὲ ὑὸν ὄντα δικαίως, τὸ μνημεῖον τοῦ θεοῦ ἐν ἑαυτῷ φέρειν. τοῦτο γὰρ καὶ ὁ τοῦ βαραχίου ζαχαρίας δηλοῖ. ταῦτα μὲν οὖν εἰς τοὺς τόπους ἡμεῖς ὑπεβεβλήκαμεν. εἰ δέ τις τῶν ἐν περιτομῇ οὐ ταῦτα οὕτως ἔχειν βούλεται, ὥρα ἡμῖν αὐτὸν ἀποδεικνύναι τίς πώποτε πρὸς αὐτοῦ ἐμμανουήλ γέγονε, καὶ πῶς ὁ προφήτης προσῆλθε πρὸς τὴν προφῆτιν, καὶ τίνα ταύτην, ὃ πῶς πρόχειμα συνέβαινε, καὶ τίς ὁ ἐκ τῆς προφήτιδος ἀποτεχθεὶς υἱός, ᾧ αὐτὸς ὁ κύριος ἐπιτέθειται ὄνομα, ταχέως σκύλευσον, ὀξέως προνόμευσον, καὶ τίς ἡ αἰτία τοιάσδε τοῦ τεχθέντος προσηγορίας. δεικνύτωσαν δὲ καὶ

τὸ πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα καὶ μητέρα, τὴν δύναμιν εἰληφότα δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας, ἐναντι βασιλέως ἀσσυρίων. ἡμεῖς γὰρ ταῦτα καὶ πρὸς λέξιν καὶ τροπικῶς ἐξειληφότες, πεπληρῶσθαι αὐτὰ δείκνυμεν ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν γενέσεως, παριστῶντες τοτὲ μὲν ῥητῶς κατὰ τὴν πρόχειρον διάνοιαν, τοτὲ δὲ τροπικῶς δεῖν ἐπιβαλλεῖν ταῖς προφητείαις. αὐτίκα ἑξῆς ταῖς προειρημέ-
» ναις φωναῖς δι' αἰνιγμάτων αὖθις ἐπιλέγει, καὶ προσέθετο κύριος λαλῆσαί μοι
» ἔτι, διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ,
» ἀλλὰ βούλεσθαι ἔχειν τὸν ῥαασὶμ, καὶ τὸν υἱὸν ῥομελίου· διὰ τοῦτο ἰδοὺ κύριος ἀνά-
» γει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν ἀσσυρίων, καὶ
» τὴν δόξαν αὐτοῦ, καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ
» πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν
» ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι· καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι
» τὸ πλάτος τῆς χώρας σου. μεθ' ἡμῶν ὁ θεός. γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε
» ἕως ἐσχάτου τῆς γῆς. Σαφῶς γὰρ ταῦτα οὐδὲ ἄλλως ἢ μετὰ θεωρίας τῆς κατὰ μόνην τρο-
πολογίαν τὴν διάνοιαν σώζει. δηλοῖ γοῦν καὶ αὐτὰ διὰ μὲν τοῦ ὕδατος τοῦ σιλω-
ὰμ τοῦ ἡσυχῇ πορευομένου, τὴν εὐαγγελικὴν τοῦ σωτηρίου λόγου διδασκαλίαν. ἑρ-
μηνεύεται γὰρ σιλωὰμ, ἀπεσταλμένος. ὅστις δ' ἂν εἴη ὁ ἐκ τοῦ πατρὸς ἡμῖν ἀπε-
» σταλμένος θεὸς λόγος. περὶ οὗ καὶ μωϋσῆς φησιν, οὐκ ἐκλείψει ἄρχων ἐξ ἰούδα,
» οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται
» προσδοκία ἐθνῶν. ἂν γὰρ ᾧ ἀπόκειται, τὸ ἑβραϊκὸν σιλωὰμ περιέχει, τὸν ἐνταῦθα
σιλωὰμ, τοῦτ' ἔστι, τὸν ἀπεσταλμένον κἀκεῖ δηλοῦντος τοῦ λόγου. ὁ δὲ ῥαασὶμ, βασιλεὺς
ὢν πάλιν τῶν ἐν δαμασκῷ εἰδωλολατρῶν ἐθνῶν, ὡς καὶ ὁ υἱὸς ῥομελίου, τῶν ἐν σα-
μαρείᾳ τοῦ ἰουδαίων ἔθνους ἀποστάντων τῆς πατρίου θρησκείας. ἀπειλεῖ τοιγαροῦν
ὁ θεὸς τοῖς μὴ τὸν σιλωὰμ, τοῦτ' ἔστι τὸν ἀπεσταλμένον ἐμμανουὴλ, καὶ τὸν ἐκ τῆς προ-
φήτιδος γεγενημένον υἱὸν, τόν τε πότιμον καὶ γόνιμον αὐτοῦ λόγον παραδεξαμένοις,
ἀλλὰ τοῦτον μὲν, καίτοι πρᾴως καὶ ἡσυχῇ φερόμενον, παραιτησαμένοις, καθ' ἑαυτῶν δὲ
ἤτοι τὸν τῶν εἰδωλολατρῶν ἐθνῶν ἄρχοντα, ἢ τὸν τῆς ἀποστασίας τοῦ λαοῦ τῶν θεοῦ ἑλομένοις
ἐπάξειν τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, ὅπερ ὕδωρ αὐτὸς ὁ τῆς προφητείας
λόγος ἑρμηνεύει, λέγων αὐτὸν εἶναι τὸν βασιλέα τῶν ἀσσυρίων· οὕτω πάλιν ἤτοι κατὰ
διάνοιαν, σημαίνων τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, ἢ τὴν νῦν ἐπικρατοῦσαν ῥωμαίων
ἀρχὴν, ἣ καὶ παρεδόθησαν οἱ τὸ μὲν δηλωθὲν τοῦ σιλωὰμ ὕδωρ τὸ πορευόμενον ἡ-
συχῇ παραιτησάμενοι, τοῖς δὲ ἐναντίοις καὶ πολεμίοις τῶν ὀρθοῦ λόγου δόγμασιν
ἑαυτοὺς ὑποβεβληκότες. αὐτίκα γοῦν καὶ οὐκ εἰς μακρὰν μὴ παραδεξαμένοις
αὐτοῖς τὸ τοῦ σωτῆρος ἡμῶν εὐαγγέλιον, παραιτησαμένοις δὲ τὸ τοῦ σιλωὰμ ποτὸν τὸ
πορευόμενον ἡσυχῇ, ἐπελθὼν ὑπὸ τοῦ θεοῦ κατευθυνόμενος ῥωμαίων στρατὸς, ἀ-
νελήλυθεν ἐπὶ πᾶσαν φάραγγα αὐτῶν, καὶ περιεπάτησεν ἐπὶ πᾶν τεῖχος αὐτῶν,
καὶ ἀφεῖλεν ἀπὸ τῆς ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, καὶ δυνα-
τὸν συντελέσασθαί τι, καὶ γέγονεν ἡ παρεμβολὴ τῶν δηλωθέντος τοσαύτη, ὥστε πλη-
ρῶσαι τὸ πλάτος τῆς ἰουδαίας ἁπάσης. καὶ τοῦτό γε πρὸς λέξιν οὕτως εἰς ἐκείνους
ἐκπεπλήρωται. διὰ ποίαν αἰτίαν εἰ δὴ μαθεῖν ἐθέλεις, ἄκουε. ὅτι μεθ' ἡμῶν ὁ θεὸς
ἐμμανουὴλ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἐμμανουὴλ, ὁ ἐκ τῆς παρθένου γεγεννημένους, ἀλλ' οὐ καὶ μετ' αὐτῶν ἦν. ὡς εἴγε εἶχον αὐτὸν, οὐκ ἂν ταῦτα πεπόνθεισαν. διὸ δὴ ἑξῆς ὁ λόγος τοῖς ἔθνεσιν ἐπιβοᾶται τὸν ἐμμανουὴλ, λέγων, μεθ' ἡμῶν ὁ θεός· γνῶτε ἔθνη καὶ ἡττᾶσθε. καὶ ταῦτα δ' ἡμῖν ἑρμηνεύεται, εἰς τὸ παραστῆσαι, ὡς ποτὲ μὲν κατὰ λέξιν, ποτὲ δὲ δι' αἰνιγμῶν τὰ πλεῖστα τῶν προφητειῶν ἐκ λαμβάνειν δεῖ. ἔνθεν δὲ ὁρμωμένους προσήκει καὶ τὰ λοιπὰ τῆς ἐν χερσὶ προφητείας ὁμοίως ἐπιθεωρεῖν. εἰ δὲ ἔτι καὶ νῦν εἰς μέλλοντά ποτε χρόνον, γενήσεσθαι ταῦτα οἱ ἐκ περιτομῆς φασιν, ἐπὶ τοῦ προσδοκωμένου αὐτοῖς χριστοῦ, ῥητῶς μόνον καὶ πρὸς λέξιν ἔσεσθαι αὐτὰ προσδεχόμενοι, ἐρωτητέον αὐτοὺς, πῶς ὁ μέλλων ἥξειν κατ' αὐτοὺς λήψεται δύναμιν δαμασκοῦ, καὶ τὰ σκῦλα σαμαρείας ἐναντι βασιλέως ἀσσυρίων, καθηρημένης μὲν ἤδη τῆς σαμαρείας κατὰ τὸν παρόντα καιρὸν, καὶ μηκέτι οὔσης, ἀλλὰ καὶ τῆς ὀνομαζομένης δυνάμεως δαμασκοῦ μηδαμῶς ὑπαρχούσης, μηδὲ τῆς τῶν ἀσσυρίων δυναστείας, ἣν μῆδοι καὶ πέρσαι καθελόντες πάλαι ποτὲ διεδέξαντο; ὧν ὁμοῦ πάντων κατὰ τὸν ἐνεστῶτα καιρὸν μηδὲ τὴν ἀρχὴν ὑφεστώτων, πῶς δυνατὸν εἰς μέλλοντα χρόνον τὴν καθαίρεσιν αὐτῶν προσδοκᾶν; ἀλλ' οὔτε ἄλλοτε πώποτε πάλαι πρότερον γεγενῆσθαι τὰ προφητευόμενά ἐστιν εἰπεῖν. οὐδεὶς γοῦν παρ' ἑβραίοις πώποτε ἐκ προφήτιδος μητρὸς, καὶ ἡσαΐου τοῦ προφήτου γεννηθεὶς, σκῦλα σαμαρείας καὶ δύναμιν δαμασκοῦ κατὰ τοῦ βασιλέως ἀσσυρίων στρατεύσας, ὡς πρὸς ῥητὴν διάνοιαν λαβὼν ἱστόρηται. ὥστε ἐξ ἅπαντος ὁμολογεῖν, αὐτὰ κατὰ τὴν ἀποδοθεῖσαν διάνοιαν μόνως πεπληρῶσθαι, οὐκ ἄλλοτε δηλαδὴ, ἢ κατὰ τὴν γενομένην παρουσίαν ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, καθ' ὃν ἀπεδείξαμεν τέλος εἰληφέναι τὰ προηγορευμένα. ἐγράφη δ' οὖν κατὰ τὴν προφητείαν καὶ ὁ καινὸς τόμος, ἐπὶ τῆς αὐτοῦ παρουσίας, ὁ τῆς καινῆς διαθήκης λόγος τὴν γένεσιν περιέχων τοῦ τῆς προφήτιδος υἱοῦ, ὃς καὶ πρὸς λέξιν, καὶ δαμασκοῦ, καὶ συρίας ἁπάσης τὴν βασιλικὴν δύναμιν, τάτε ἑρμηνευθέντα ἡμῖν σκῦλα σαμαρείας ἀῤῥήτῳ καὶ ἐν θέῳ δυνάμει εἰς χεῖρας τῆς ῥωμαίων βασιλείας παρέδωκεν· οὐ μὴν ἀλλὰ καὶ κατὰ διάνοιαν, τοὺς ἐξ ἰουδαίων αὐτοῦ μαθητὰς, ὥσπερ τινα σκῦλα περιπεποιημένος, νοητοῖς καὶ λογικοῖς ὅπλοις περιφράξας, εἰς πρόσωπον τοῦ δηλωθέντος βασιλέως ἀσσυρίων κατεστήσατο, καὶ τούτους μὲν ὡς οἰκείους στρατιῶτας ὁπλῆτας παρεσκεύασεν· τοὺς γεμὴν παραιτησαμένους τὸ γόνιμον καὶ ζωτικὸν ὕδωρ τῆς αὐτοῦ διδασκαλίας τὸ πορευόμενον ἡ συχῆ, ἡγομένους δὲ τὰ πολεμικὰ καὶ ἐχθρὰ τῷ θεῷ, ᾧ τῶν ἀσσυρίων ἐξέδωκε βασιλεῖ, ᾧ καὶ εἰσέτι νῦν τυγχάνουσι δεδουλωμένοι. ἀνέβη γοῦν οὗτος ἐπὶ πᾶσαν φάραγγα αὐτῶν, καὶ ἐπὶ πᾶν τεῖχος αὐτῶν, καὶ ἀφεῖλεν ἀπὸ τῆς ἰουδαίας πάντα ἄρχοντα καὶ βασιλέα, κεφαλὴν ὀνομαζόμενον, καὶ πάντα δυνατὸν συντελέσασθαί τι. ὥστε ἐξ ἐκείνου καὶ εἰς δεῦρο, μήτε κεφαλὴν αὐτοὺς κεκτῆσθαι, μήτε τινὰ δυνατὸν ἐν τοῖς θείοις, οἷος ἦν ὁ πάλαι διαπρέπων ἐν αὐτοῖς εἴτε προφήτης, εἴτε ἄλλως δίκαιος καὶ θεοφιλὴς ἀνήρ. πρόδηλον δὲ ὅπως καὶ πᾶσα αὐτῶν ἡ χώρα ὑποχείριος τοῖς αὐτῶν ἐχθροῖς καὶ πολεμίοις εἰσέτι νῦν καθέστηκε, καὶ ὡς ταῦτα πάντα ἐπὶ τῇ παρουσίᾳ τοῦ ἐμμανουὴλ τετέλεσται. οὕτω γοῦν ἡ ἑβραίων γραφὴ περιέχει, μονονουχὶ σημαίνουσα τὸν ἐμμανουὴλ τὸν ἀπιστηθέντα μὲν ὑπὸ ἰουδαίων

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ αἴτιον αὐτοῖς τῶν τοσούτων κακῶν γενόμενον συμφορῶν, Ἰησοῦν δὲ τοῖς ἔθνεσι πιστευθέντα, σωτηρίας τε καὶ γνώσεως θεοῦ πρόξενον ἀποδειχθέντα. διὸ ἐξῆς ἐπιλέγεται,

" μὴ Ἰησοῦ ὁ θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε. ἡττήμεθα γοῦν ὡς ἀληθῶς ἡμεῖς οἱ ἐξ ἐθνῶν εἰς αὐτὸν πεπιστευκότες, νικηθέντες ὑπὸ τῆς ἀληθείας, καὶ τῆς τοῦ κακοῦμένου Ἰησοῦ θεοῦ δυνάμεως. ἡττηθέντες τε ὑπηκούσαμεν αὐτῷ πάντες ὁμοῦ οἱ

" μέχρι τῶν ἐσχατιῶν κατοικοῦντες τὴν γῆν, καὶ τῷ φήσαντι τῷ προφητείῳ, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. ἀλλ' ἡμεῖς μὲν καὶ ἡττήμεθα, καὶ καλοῦμαι ὑπήκοος.

" τοῖς δ' ἔτι τῶν ἐθνῶν ἀπειθοῦσι, καὶ ἐξῆς ἀποτείνει λέγων, ἰσχύσατε ἡττᾶσθε. πάλιν ἰσχύσατε, πάλιν ἡττηθήσεσθε. καὶ λόγον οὐ βουλόμενος ἀπειθοῦσιν, οὐ μὴ ἐμμείνῃ ἐν ὑ-

" μῖν, ὅτι μεθ' Ἰησοῦ ὁ θεός. οὕτω λέγει κύριος τῇ ἰσχυρᾷ χρεία ἀπειθοῦσιν. διὰ ὧν σαφῶς ὁ λόγος ἀφιωιῶσι καὶ αὐτιπαπομένοις τῇ τοῦ χριστοῦ διδασκαλίᾳ, καὶ τοῖς ἀπειθοῦσι τῇ κατ' αὐτὸν χρεὼ θεραπείᾳ, ὅτι μηδὲ ἰσχύσουσι τοῦ πολεμεῖν τὸν μεθ' Ἰησοῦ θεὸν πειρώμενοι, καὶ ὅτι πᾶν ὃ βουλεύσονται κατ' Ἰησοῦ, οὐ μὴ ἐμμείνῃ αὐτοῖς, ἀφ' ὃ μεθ' Ἰησοῦ ἐστὶν ἐμμένουσα. καὶ τούτῳ δὲ τῷ συμπεράσματι ῥᾴδιον ἐπιζῆσαι καὶ κατ' Ἰησοῦ ἀπειλὰς, καὶ κατ' χρόνους τῶν ἀρχόντων ἐπανασάσης σωζομένη, καὶ ὡς ἄσφαλτον αὐτοῖς ἀφ' ὃν μεθ' ἡμῶν θεὸν ἀεὶ καθίσαται τῶν ἀπειλῶν ὁ τέλος.

Ἀπὸ τοῦ αὐτοῦ.

Ὡς ὁ τεχθησόμενος υἱὸς ἐκ τῆς προφητευομένης εἴτε παρθένου εἴτε προφήτιδος, θεὸς ὁμοῦ καὶ μεγάλης βουλῆς ἄγγελος ἑτέραις τε δοξολογίαις ἐπωνυμίαις δυνηγόρευται· καὶ ὡς ἐπὶ γῆς αὐτὸς φωτὸς λύσεως παραιτία τοῖς ἔθνεσι καταστήσεται.

Τοῦτον προφητεύει καὶ ποιμένα. χώραν βαβυλῶνος καὶ γῆν νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ

" τὴν προφῆτιν κατοικοῦντες, πέραν τοῦ ἰορδάνου γαλιλαίας τῶν ἐθνῶν. ὁ λαὸς ὁ

" καθήμενος ἐν σκότει εἶδετε φῶς μέγα. καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θα-

" νάτου φῶς ἀνέτειλεν αὐτοῖς. καὶ κατ' ἐξῆς. οἷς ἐπιλέγει, ὅτι πᾶς πολεμῶν ἐπισεισμῷ-

" μένῳ δόλῳ καὶ ἱματίον μετ' αἵματος ἀποπίπτουσιν, καὶ θελήσουσιν εἰ ἐγνώκησαν πυρίκαυσοι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ.

" καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυ-

" ρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἄξω δὲ εἰρήνην ἐπὶ

" τοὺς ἄρχοντας καὶ ὑγείαν αὐτῷ. μεγάλη ἡ ἀρχὴ αὐτοῦ καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅ-

" ριον ἐπὶ τὸν θρόνον δαβὶδ, καὶ τὴν βασιλείαν αὐτοῦ, καταρτῶσαι αὐτὴν καὶ ὠπι-

" λαβέσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. ὁ ζῆλος κυ-

" ρίου σαβαὼθ ποιήσει ταῦτα. τοῦτο τοίνυν ἤδη τὸ παιδίον προφητεύει, τοῦ αὐτοῦ ποικίλως σημαινομένου. ὅπερ τοίνυν προκειται νῦν ἡμῖν τὸν τρόπον τῆς εἰς ἀνθρώπους τοῦ θεοῦ προουσίας ὑποδείξαι, θεὰ δ' ὅσων ἔστι καὶ ὅπως πρέπει). ἐδείκνυ-το προφήτου ὁ ὑπακηθεὶς ἐμμανουήλ, θεὸς ἐκ παρθένου γεννώμενος· δεύτερον δὲ ἐκ τῆς προφήτιδος καὶ τοῦ ἁγίου πνεύματος παιδίον, οὐκ ἀλλοτρίου τοῦ προηγορευμένου· τρίτον, ὁ μετὰ χεῖρας εἰς ὃν καὶ ὁ αὐτὸς τοῖς προτέροις, καὶ τούτῳ γοῦν ὄνομα εἶναι λέγεται, καὶ μὴν τοὺς ἑβδομήκοντα, μεγάλης βουλῆς ἄγγελος, καὶ ὡς ἵνα

τῶν

τ̃ ἀντιγράφων ἔχῃ, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρή-
νης, πατὴρ τ̃ μέλλοντος αἰῶνος. καθὰ δὲ ὁ ἑβραϊκὸν, ὡς ὁ μὲν ἀκύλας φησὶν, ὅτι
παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, καὶ ἐγένετο μέγας ἐπ' ὤμου αὐτ̃. καὶ ἐκλήθη
τὸ ὄνομα αὐτ̃, θαυμαστὸς σύμβουλος, ἰσχυρὸς, δυνατὸς, παλὴρ, ἐτὶ ἄρχων εἰρήνης, καὶ
τ̃ εἰρήνης αὐτ̃ οὐκ ἔστι πέρας. ὡς γὰρ ὁ σύμμαχος, νεανίας γὰρ ἐδόθη ἡμῖν, υἱὸς ἐδό-
θη ἡμῖν. καὶ ἔσται ἡ παιδεία αὐτ̃ ἐπὶ τ̃ ὤμου αὐτ̃, καὶ κληθήσεται τὸ ὄνομα αὐτ̃
θαυμαδοξασμὸς, βουλευτικὸς, ἰσχυρὸς, δυνατὸς, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης, καὶ
τ̃ εἰρήνης αὐτ̃ οὐκ ἔστι πέρας. ὁμοίως οὐχ ἁπλῶς ἄγγελος χ̃ν τοὺς ἐδομήκον-
τα, ἀλλὰ τ̃ς μεγάλης βουλ̃ς ἄγγελος, ϲ θαυμαστὸς σύμβουλος, καὶ θεὸς ἰσχυρὸς
καὶ ἐξουσιαστὴς, καὶ ἄρχων εἰρήνης, καὶ πατὴρ τ̃ μέλλοντος αἰῶνος γενήσεσθαι. καὶ
παιδίον ἔσεσθαι διὰ τούτων ἐπαισίζει. ἔχῃς δὲ ἐν τοῖς περὶ τέρεως τὸν τ̃ θεοῦ λό
γον καὶ θεὸν καὶ κύριον διαφόρως δυηγορευμένον, ὁμοῦ δὲ τὸν αὐτὸν ἄγγελον ὠνο-
μασμένον τ̃ παθ̃ς, καὶ ἀρχιστράτηγον δυνάμεως κυρίου. τίς δ' ἀν οὖν γένοιτο
χ̃ν μὴ τὸν ἀκύλαν καὶ τοὺς εἰσέτι νεωτέρους περὶ ἑβραίοις μαρτυρίας, ἐν μὲν θε-
ποῖς γραφαῖς, καὶ παιδίον γενόμ̃ν, θαυμαστὸς σύμβουλος καὶ ἰσχυρὸς, δυνατὸς, καὶ παλὴρ,
ἐτὶ καὶ ἄρχων εἰρήνης, ἧς εἰρήνης οὐ ποτέ φησιν ἔσεσθαι τέλος· χ̃ν δὲ τ̃ σύμμαχον
θαυμαδοξασμὸς, βουλευτικὸς, ἰσχυρὸς δυνατὸς, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης, καὶ
τούτης ἀπείρου καὶ ἀτελευτήτου· καὶ χ̃ν θεοδοτίωνα, θαυμαστῶς βουλευόν, ἰσχυρὸς
δυνάστης, πατὴρ, ἄρχων εἰρήνης, τ̃ πληθύνειν τὸν παιδείαν. οὗ τ̃ς εἰρήνης οὐκ
ἔστι πέρας· καὶ αὐτ̃ σοι καὶ ἐξ̃ς καταλείπω σκοπεῖν, τοσοῦτον ὑπισημειωάμ̃ς, ὡς
ἄρα αὐτὸς οὗτος ὁ λεγόμενος πατὴρ αἰῶνος, καὶ ἀπείρου εἰρήνης ἄρχων, μεγάλης τε
βουλ̃ς ἄγγελος γενήσεσθαι, ϲ παιδίον ἔσεσθαι τεφρηνεται, ὅτι τε τ̃ εἰς
ἀνθρώπους αὐτ̃ χρόνοις πνευματικοῖς ἐπελήλυθεν ἔσεσθαι τοὺς ὅτι τ̃ δι' αὐτ̃ γνωμέ
νην σωτηρίαν τ̃ ἐθνῶν διαφθονουμένους, εἴτε δαίμονας πονηροὺς, εἴτε καὶ ἀσεβεῖς
ἀνθρώπους, περὶ ὧν φησιν, ὅτι πᾶσαν σχολὴν ὑπισεσημείωμαι δόλῳ, καὶ ἱμάτιον μ̃ς
καταλλαγ̃ς ἀποδύσουσι. τίνες δὲ ἄρα ἦσαν οὗτοι, ἢ περὶ ὧν ἄλλαχού ἐξ αὐτ̃
τεφρὸς πρόσωπον σωτ̃ρος ἡμῶν εἴρηκε, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ὅτι τ̃
ἱματισμόν μου ἔβαλον κλ̃ρον, οἵτε τ̃ τούτων μέτοχοι δυσσεβείας, οἱ ϲ θελήσουσι; τ̃
σοφῶν αὐτῶν κρίσιν ὕστερόν ποτ' ὀφόμενοι, εἰ περὶ τ̃ ἀσεβείας αὐτῶν ἐγεγόνεσαν πυ
είκαυσοι, πρὶν ἢ τὸν τ̃ μεγάλης βουλ̃ς ἄγγελον περὶ αὐτῶν ἀσεβηθῆναι. καὶ σὺ δὲ
θαυμάσαιο ἂν εἰ μὴ ἐπαφθαίνῃ πᾶσι φύσιν ἀνθρώπων τὸ μὴ τέλος ἔχειν
τ̃ εἰρήνην αὐτ̃ λέγεσθαι, καὶ τὸ πατέρα ὀνομάζεσθαι αἰῶνος. καὶ αὖθις δὲ τὸ καλεῖσθαι αὐτ̃
οὐχ ἁπλῶς ἄγγελον, ἀλλὰ τ̃ μεγάλης βουλ̃ς ἄγγελον, καὶ θεὸν ἰσχυρὸν, καὶ ὅσα τούτοις
συγκαταλέγεται. ἔτι δὲ φησι δι' αὐτ̃ καθορθωθήσεσθαι τ̃ τ̃ Δαβὶδ βασιλείαν. ὁ καὶ
αὖθι τοῦτον νοήσῃς ὃν εἶπον. πλάσαι ὅσαι ἂν Δαβὶδ γενόμασιν ἐπαγγελίαι, ἐν αἷς
εἰρήνη, ϲ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτ̃, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτ̃. αὖθις ὅτι-
καλέσεταί με, πατήρ μου εἶ σὺ, θεός μου καὶ ἀντιλήπτωρ τ̃ σωτηρίας μου. κἀγὼ
πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τ̃ γ̃ς. εἰς τὸν αἰῶνα φυ
λάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. καὶ θήσομαι εἰς τὸν αἰῶνα τ̃
αἰῶνος τὸ σπέρμα αὐτ̃, καὶ τὸν θρόνον αὐτ̃, ὡς αἱ ἡμέραι τ̃ οὐρανοῦ. καὶ αὖθις, ἅ-
παξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτ̃ εἰς τὸν αἰῶνα

© Centre d'Études Supérieures de la Renaissance - Tours

μλος, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς
τὸν αἰῶνα. προῴδει δὲ τοῖς ψαλμοῖς τοῦ θεοῦ τοῦ Δαβὶδ ἐπηγελμένου, παιδευτέα
σπουδὴ ταῖς ἐπαγγελίαις ἐπελθεῖν δηλοῦσας τὴν διαδόχων αὐτοῦ δυναστείας. ἡ μὲν οὖν
ἐκ σπέρματος Δαβὶδ βασιλεία, διαρκέσασα μέχρις ἱεχονίου καὶ τῆς ὑπὸ Βα-
βυλωνίοις τοῦ ἱεροῦ πολιορκίας λέλυτο, ὡς ἐξ ἐκείνου μηκέτι τὸν θρόνον Δαβὶδ,
μηδὲ τοὺς ἐκ σπέρματος αὐτοῦ βασιλεῦσαι τῶν Ἰουδαίων ἐθνους. καὶ τοιγαροῦν τὴν γε-
νομένην διάπτωσιν τῆς περὶ τὸν Δαβὶδ ἐπαγγελίας καὶ τὴν περιφρονηθεῖσαν τοῦ
ψαλμοῦ προῴδησιν τὸ θεῖον οὐδέπως πνεῦμα θεασάμενος, σὺ δὲ ἀπώσω καὶ ἐξουδέ-
νωσας, ἀνέβαλου τὸ χρισόν σου· κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβε-
βήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ.
καὶ μετ' ὀλίγα, τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέρραξας, ἐσμίκρωνας τὰς ἡμέρας τοῦ
χρόνου αὐτοῦ, κατέχεας αὐτὸν αἰσχύνῃ. ἃ καὶ ἐναργῶς ἐξήνυσται συντελεσθέντα
ἀπὸ τοῦ εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ λαοῦ, μέχρι τῆς Ῥωμαίων καὶ Ἀβεείου
πρεσβείας ἡ Βασιλεία. ὁσαδεὶς γοῦν ἐκ τῆς τοῦ Δαβὶδ διαδοχῆς ἐν τοῖς μεταξὺ
χρόνοις φαίνεται ὅτι τὸν βασιλικὸν τοῦ ἑβραίων ἔθνους καθεσθεὶς θρόνον, μέχρι τοῦ
τοῦ χριστοῦ παρουσίας. τοῦ δὲ ἐκ σπέρματος Δαβὶδ γνησιωτάτου κυρίου καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ χριστοῦ βασιλέως ὅτι πᾶσαν τὴν οἰκουμένην ἀναπεπταμένος, ὡς παρ'
ἀπὸ γῆς καὶ πέρατος ἀνατεθεὶς αὐτὸς ἐκεῖνος ὁ θρόνος Δαβὶδ δηλοῦ τοῦ σωτῆ-
ρος λόγου ἐν θεοῦ βασιλείᾳ ἀνώρθωται, καὶ διαμένει εἰς τὸν αἰῶνα. ἔτι εἰσέτι γε ὡς
ὁ ἥλιος ἐναντίον τοῦ θεοῦ τὴν πᾶσαν καταλάμπων οἰκουμένην ταῖς ἀκτῖσι τοῦ φω-
τὸς τὴν διδασκαλίας αὐτοῦ, ἀκολούθως τῇ τε ἀπὸ τοῦ ψαλμοῦ μαρτυρίᾳ, καὶ τῷ μὴ
χειρας ποιφήτου, περὶ τοῦ γνησιωτάτου παιδίου λέγοντος, ὅτι τὸν θρόνον Δα-
βὶδ δηλαδὴ τὸν αἰώνιον καὶ διαρκῆ, τὸν δὴ καὶ ἐπηγελμένον τῷ Δαβὶδ καθεδήσε-
σθαι αὐτὸν ὅτι τὴν βασιλείαν αὐτοῦ, καταρθῶσαν αὐτὴν καὶ ἀντιλαβέσθαι ἐν κρί-
ματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν ἕως εἰς τὸν αἰῶνα. ὅπως δὲ ταῦτα ἐπληροῦτο, δι-
δάσκαλος γίνοιτ' ἂν ἀξιόχρεως λαβεῖν ὁ ἄγγελος ἐν ᾧ προεῖπε τὴν παρθένον χρη
μαθισμῷ φάσκων, μὴ φοβοῦ Μαριάμ. εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ. καὶ ἰδοὺ συλ-
λήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. οὗτος ἔσται μέγας καὶ
υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς
αὐτοῦ, καὶ βασιλεύσει ὅτι τοῦ οἴκου Ἰακὼβ εἰς τὸν αἰῶνα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται
τέλος. ταὐτὸν ἐν τῷ προφητικῷ ψαλμῷ καὶ ὁ προφήτης προσδοκᾶν τοῦ
χριστοῦ γένεσιν, τήν τε ὑπ' αὐτῶν αὐτῆς, καὶ διαβολὴν ὡσαύτως αἰτίαν σημαίνων τοῦ
θρόνου τοῦ Δαβὶδ ἀποπεπώσεως ἀποδυσαμένου λέγων, σὺ δὲ ἀπώσω καὶ ἐξουδέ-
νωσας, ἀνέβαλου τὸ χρισόν σου. ὑπῆλθε δὲ ὡσαύτως δυσκρῖτον τὸ θεῖον ἡ τάξις πληρω-
θεῖσα τοῦ ἐπαγγελίας, φάσκων, ποῦ ἐστὶ τὰ ἔλεη σου τὰ ἀρχαῖα κύριε, ἃ ὤμοσας
τῷ Δαβὶδ ἐν τῇ ἀληθείᾳ σου; ἃ δὴ καθέσταται καὶ αὐτὰ δὴ ταῦτα πληρωθῆσεσθαι
ὅτι τῇ γενεᾷ τοῦ μεγάλης βασιλῆς ἀγγέλου θεασάμενος. ἐφ' ᾧ θελήσει, φησὶν, οἱ προφή-
ται δοθέντες εἰ ἐγνώσθησαν πνεύματι, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη
ἡμῖν ὁ τοῦ μεγάλης βασιλῆς ἄγγελος. τίσι γὰρ ἡμῖν; ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι τοῖς ἐν
τῇ γαλιλαίᾳ τῶν ἐθνῶν; οἷς ἄρτος γεγένηται φωτὸς καὶ ἀφέσεως, καινοῦ τε καὶ νέου
πακτοῦ, τῆς καινῆς διαθήκης μυστηρίου; καὶ τὰ φήματα προφητείαν, τοῦτο προφ-

τον πῖε

» τον πίε, ταχὺ ποίῃ. χώρα ζαβουλὼν καὶ γῆ νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ πλὴ τῆς θαλάσ-
» σης οἰκοῦντες, πέραν τ̄ ἰορδάνου, γαλιλαία τ̄ ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει
» φῶς εἶδε μέγα. καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτ̄ φῶς ἀνέτειλεν αὐτοῖς.
εἶεν δ' ἂν ἐν τούτοις δηλούμενοι οὔτε ἐξ ἐθνῶν εἰς ὃν χριστὸν τ̄ θεοῦ πεπιστευ-
κότες, & οἱ τ̄ σωτῆρος λιμῆν μαθηταὶ & ἀπόστολοι, οὓς ἀπὸ γῆς ζαβουλὼν καὶ νε-
φθαλεὶμ ἀναλεσάμενος, ἐξελέξατο κήρυκας τ̄ διαγγελίου. τούτοις μὴν οὖν ὁ τ̄
μεγάλης βουλῆς ἄγγελος υἱὸς ἐδόθη σωτηρίας ἅγιος, τοῖς δὲ εἰς αὐτὸν ἠπιστηκόσι
πυρὸς δηλαδὴ καὶ καύσεως. ὅλης γ' ταύτης τ̄ οἰκονομίας ὑποθέσιν γεγενέναι φησὶ
» τὸν ζῆλον κυρίου, λέγων, ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα. ποῖος δὲ ζῆλος; ἢ
» οὐ μέμνηται μωϋσῆς, λέγων, αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με
» ἐν τοῖς εἰδώλοις αὐτ̄. κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει. ἐπ' ἔθνει ἀσυνέ-
» τῳ παροργιῶ αὐτούς. ἀλλ' ἐπεὶ σεσ θεῷ τὰ περὶ τ̄ θ̄ τεσφιλουμένων εἰς ἀνθρώ-
πους ὑπιδημίας, οὐ μὴν ἀλλὰ καὶ ὁ τρόπος τ̄ ὑπιφανείας αὐτ̄ ἀφ' ὧν τεσφη-
τικῶν ἀποδέδεικται μυρίωσιν, καιρὸς ἂν εἴη σκοπιδεῖν ποῦ γῆς γλωσσήσει, καὶ
ὅθεν γλώσσης ἥξει, ἐξ ὁποίας τε ἑβραίων τεσφθόγγου φυλῆς ἐκπυτίζει. ἃ καὶ αὐτὰ
φέρε ἐρευνήσωμεν.

Περὶ τ̄ τόπου τῆς γλώσσης τ̄ τεσκηρυττομένου θεοῦ. ἀπὸ μ̄ μιχαία.
σὺς οὐ βηθλεὲμ, χωρίου τ̄ παλαιστίνης, ἐξ οὗπερ τις τεσῆπ̄χον, ἡγεμὼν
τ̄ τῶν θεοσεβῶν γλώσσης τεσφθόγγου, καὶ ὡς αὐτὸς ὁ κύριος ποιμανεῖν θεσπί-
ζεται τοὺς μέχρι τῶν ἐσχάτων τ̄ γῆς εἰς αὐτὸν πεπιστευκότας.

Κ αὶ σὺ βηθλεὲμ οἶκος τ̄ ἐφραθὰ ὀλιγοστὸς εἶ τ̄ εἶ) ἐν χιλιάσιν ἰούδα. οὐκ σοῦ μοι
» ἐξελεύσεται ἡγούμενος, τ̄ εἶ) ἔχοντα ἐν ταῖς ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτ̄ ἀπ' ἀρ-
» χῆς ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης. τέξεται, καὶ οἱ
» κατάλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς ἰσραὴλ. καὶ στήσεται, καὶ
» ὄψεται, καὶ ποιμανεῖ τὸ πόιμνιον αὐτ̄ ἐν ἰσχύι κυρίου, καὶ ἐν τῇ δόξῃ τ̄ ὀνόματος κυ-
» ρίου θεοῦ αὐτῶν ὑπάρξουσι. νῦν μεγαλυνθήσονται ἕως ἄκρων τ̄ γῆς, καὶ ἔσται
αὕτη εἰρήνη, ἐμμανουήλ, μεθερμηνευόμενος μεθ' ἡμῶν θεός, οὐκ τ̄ πρὸ τῆνδε γε-
νώμενος, καὶ παιδίον γινόμενος ὁ τ̄ μεγάλης βουλῆς ἄγγελος, ἐφ' ὧν ἐδείχθη ἀφ' ὧν τεσεκτεθείμεθα. ἀλλ' ἐπανιτέον καὶ τὸν τ̄ γλώσσης αὐτ̄ σημανθησόμενον τόπον.
τεσφιλούσ) δῆτα οὐκ βηθλεέμ τις ἐξελεύσεται ἄρχων ἐν ᾧ ἰσραὴλ, ἃς ἐξόδους
ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος ἔχων. τοῦτο δὲ οὐκ ἂν ἐφαρμόσαι τις ἀνθρώπου φύ-
σει, εἰ μὴ μόνῳ τῷ ἐμμανουὴλ, καὶ τῷ τ̄ μεγάλης βουλῆς ἀγγέλῳ. ὁ γὰρ ἐξ αἰῶνος
ὑφεστάναι, τίνι ἄρα ἐφαρμόσοι ἄν, ἢ μόνῳ θεῷ; οὐκ οἶσθα τ̄ βηθλεέμ, χωρίον δέ ἐστι
τ̄ ἰουδαίας, οὐ πόρρω τῆς ἱερουσαλὴμ διεστὼς, λέγεται τις ἐξ αἰῶνος ὑπάρχων
τεσφθόγγου. ἀλλ' ἕτερον δέ τι ἐνθένδε, ἢ μόνον ὃν δαυὶδ θέσθαι ὑπόδοξον γε-
νεηλογούμενον, & ἔπειτα μετ' οὐκ ἐνὸν τὸν λιμένα ἕτερον φθῆναι ἐπιζεῦξαι τὸν χριστὸν τ̄ θεοῦ.
ἕτερον δὲ τεσδὲ τούτοις σοφόν. ἀλλ' ὁ μὲν δαυὶδ τοὺς χρόνους τ̄ τεσφητείας
τεσφληφώς, τετελευτήκει πλείοσι τεστέρων ἔτεσι τ̄ τεσῤῥήσεως. ἀλλ' σοφὸς
ἀφ' ἡμερῶν αἰῶνος ὅστ̄ ταῖς ἐξόδοις πεποίηται. σκοπῶν λείπεται ὅτι ὃν μὴ ταῦτα
οὐκ βηθλεὲμ γεγόνασιν ὃν ἀληθῶς ἐμμανουὴλ, τὸν τεσπάσης κλίσεως τεσόντα

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεὸν λόγον καὶ μεθ' ἡμῶν θεὸν λεγόμενον, συμπληροῦσθαι τὰ γεγραμμένα. ἐπεὶ
καὶ ἡ ἐν Βηθλεὲμ γένεσις αὐτοῦ ἀντίκρυς θεοῦ παρουσίαν ἐδήλου διὰ τῶν κατ' αὐ-
» τὴν παρὰ δόξων. γράφει γοῦν ὁ λουκᾶς τοῦτον ἱστορῶν τὸν τρόπον, ἐγένετο δὲ ἐν τῇ
» ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ καίσαρος αὐγούστου, τοῦ ἀπογράψασθαι
» πᾶσαν τὴν οἰκουμένην. αὕτη ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς συ-
» ρίας κυρηνίου. καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν.
» ἀνέβη δὲ καὶ ἰωσὴφ ἀπὸ τῆς γαλιλαίας, ἐκ πόλεως ναζαρὲθ εἰς τὴν ἰουδαίαν, εἰς
» πόλιν δαβίδ, ἥτις καλεῖται βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς δαβίδ,
» ἀπογράψασθαι σὺν μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. ἐγένετο δὲ
» ἐν τῷ αὐτοὺς εἶναι ἐκεῖ, ἐπλήσθη αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς
» τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν
» αὐτοῖς τόπος ἐν τῷ καταλύματι. καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυ-
» λοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν· καὶ ἄγγε-
» λος κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα θεοῦ περιέλαμψεν αὐτοὺς, καὶ ἐφοβήθησαν φόβον
» μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ φοβεῖσθε. ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν
» μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι χρι-
» στὸς κύριος, ἐν πόλει δαβίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον. εὑρήσετε βρέφος ἐσπαργα-
» νωμένον, καὶ κείμενον ἐν φάτνῃ. καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς
» οὐρανίου αἰνούντων τὸν θεὸν, καὶ λεγόντων, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν
» ἀνθρώποις εὐδοκία. καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι,
» οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, διελθωμεν δὴ ἕως βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα
» τοῦτο τὸ γενόμενον, ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. καὶ ἦλθον σπεύσαντες, καὶ εὗρον τὴν
» μαριὰμ καὶ τὸν ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ ἐγνώρισαν
» περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀ-
» κούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.
ταῦτα μὲν ὁ λουκᾶς. καὶ ὁ ματθαῖος δὲ τὰ περὶ τὴν γένεσιν τοῦ σωτῆρος ἡμῶν ἱστο-
» ρῶν, τοῦτον γράφει τὸν τρόπον, τοῦ δὲ ἰησοῦ γεννηθέντος ἐν βηθλεὲμ τῆς ἰουδαίας ἐν
» ἡμέραις ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι παρεγένοντο ἀπὸ ἀνατολῶν εἰς ἱερουσα-
» λὴμ, λέγοντες, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέ-
» ρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. ἀκούσας δὲ ὁ βασιλεὺς ἡρώδης
» ἐταράχθη, καὶ πᾶσα ἡ ἱεροσόλυμα μετ' αὐτοῦ. καὶ συναγαγὼν πάντας τοὺς ἀρχιε-
» ρεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν ποῦ ὁ χριστὸς γεννᾶται.
» οἱ δὲ εἶπον αὐτῷ, ἐν βηθλεὲμ τῆς ἰουδαίας. οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου,
» καὶ σὺ βηθλεὲμ οἶκος τοῦ ἐφραθὰ, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα.
» ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν ἰσραήλ. τότε
» ἡρώδης λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαι-
» νομένου ἀστέρος. καὶ πέμψας αὐτοὺς εἰς βηθλεὲμ, εἶπε, πορευθέντες ἐξετάσατε ἀ-
» κριβῶς περὶ τοῦ παιδίου. ἐπὰν δὲ εὕρητε, ἀναγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν
» προσκυνήσω αὐτῷ. οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν. καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν
» εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες
» δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον
τὸ παι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

„ τὸ παιδίον μετὰ μαρίας τῆς μητρὸς αὐτοῦ. καὶ πεσόντες προσεκύνησαν αὐτῷ. καὶ ἀνοί-
ξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ
σμύρναν. καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς ἡρώδην, δι' ἄλλης
ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. ὅλα δὲ ταῦτα ἐξεθέμην εἰς παράστασιν
τῶν πεπραγμένων ἐπὶ τῇ ἐν βηθλεὲμ γενέσει τοῦ σωτῆρος ἡμῶν, ἐναργῆ τεκμή-
ρια παρέχοντα αὐτὸν εἶναι τὸν ὑπὸ τῆς προφητείας δηλούμενον. καὶ εἰς δεῦρο δὲ
οἱ τὸν τόπον οἰκοῦντες, ὡς ἐκ πατέρων εἰς αὐτοὺς κατελθούσης παραδόσεως τοῖς τῶν
τόπων ἱστορίας χάριν εἰς τὴν βηθλεὲμ ἀφικνουμένοις μαρτυροῦσι, τῶν λόγων πιστού-
μενοι τὴν ἀλήθειαν, διὰ τῆς τοῦ ἀγροῦ δείξεως, ἐν ᾧ τεκοῦσα ἡ παρθένος κατα-
„ τέθεται τὸ βρέφος, ἐφ' οἷς ἡ προφητεία φησὶ, διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ
„ τικτούσης. τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν. ἀκολού-
θως δὲ κἀνταῦθα τικτουσαν δηλοῖ, τὴν ἐν ταῖς πρόσθεν προφητείαις παρθένον ὠ-
νομασμένην, καὶ προφήτιδα τὴν τὸν ἐμμανουὴλ καὶ τὴν τῆς μεγάλης βουλῆς ἄγγε-
λον ἀποτεξομένην. ἕως γὰρ τῶν ταύτης καιρῶν καὶ τοῦ ἐξ αὐτῆς ἀποτεχθέντος, καὶ
τὰ τοῦ προτέρου λαοῦ σύνεστήκει, δοθείσης αὐτοῖς προθεσμίας ἕως καιροῦ τικτού-
σης, τοῦτ' ἔστιν, ἕως τῆς παραδόξου γενέσεως τοῦ ἐκ τῆς παρθένου τεχθέντος, μεθ' ὃν
ἤρθη μὲν αὐτῶν ἡ βασιλεία. οἱ δὲ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν, οὗτοι ἂν εἶεν οἱ
εἰς τὸν χριστὸν τοῦ θεοῦ πεπιστευκότες ἀπόστολοι καὶ μαθηταὶ καὶ εὐαγγελισταὶ τοῦ σω-
τῆρος ἡμῶν, οὓς ἐπιστρέψαντας αὐτὸς ὁ κύριος ποιμανεῖν λέγεται, οὐ καθὼς τὸ πρὶν,
δι' ἀγγέλων ἢ διὰ θεραπόντων ἀνθρώπων, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, ὥστε διὰ τοῦτο
μεγαλυνθῆναι αὐτοὺς ἕως ἄκρου τῆς γῆς. ἐμεγαλύνθη γὰρ ὅτε εἰς πᾶσαν τὴν γῆν
ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματ' αὐτῶν.
πρόδηλον δὲ καὶ ὁποῖον μέγα ποίμνιον καθ' ὅλης τῆς γῆς ἐκ λογικῶν καὶ ἀνθρωπεί-
ων προβάτων τῷ κυρίῳ διὰ τῶν ἀποστόλων αὐτοῦ συνέστη, ὃ καὶ αὐτὸς ὁ κύριος
δι' ἑαυτοῦ, ποιμὴν ὁμοῦ καὶ κύριος ὢν τῆς ποίμνης, ἐπόψεσθαι καὶ ποιμανεῖν ἐν
ἰσχύϊ λέγεται, ὥστε ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ πρὸς τοῦ δεσπότου
καὶ ποιμένος φυλαττόμενα τὰ πρόβατα μηδέν τι παθεῖν δεινὸν πρὸς τῶν ἐφε-
δρευόντων αὐτοῖς ἀγρίων καὶ ἀπηνῶν θηρίων. καὶ τὰ μὲν περὶ τῆς ἐν βηθλεὲμ, καὶ
τῆς ἀπὸ ταύτης προόδου τοῦ προκηρυττομένου θεοῦ, τοῦτον ἔχει τὸν τρόπον. τὴν δὲ
ἐξ οὐρανῶν εἰς ἀνθρώπους ἐπιδημίαν αὐτοῦ τοῦ κυρίου καὶ ποιμένος, ἤδη καὶ πρό-
„ τερον ἐξ αὐτοῦ τοῦ μετὰ χεῖρας προφήτου παρατέθειμαι, δι' ὧν ἔλεγεν, ἀκούσα-
„ τε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται κύριος ὑμῖν εἰς
„ μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. διότι ἰδοὺ κύριος κύριος ἐκ πορεύεται ἐκ
„ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται. καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγων ἔφασκε, δι' ἀσέβειαν
„ ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου ἰσραήλ. σαφὲς δὲ καὶ ἀπὸ τῶν ἑξῆς
τοῦ αὐτοῦ προφήτου, ὅτι μὴ μόνον διὰ τὰς ἀσεβείας τοῦ ἰουδαίων ἔθνους τὴν ἐξ οὐ-
ρανῶν ὁ κύριος πεποίητο κάθοδον, ἀλλὰ καὶ διὰ τὴν σωτηρίαν καὶ κλῆσιν τῶν ἐθνῶν
„ ἁπάντων. ἐπιλέγει δ' οὖν ἑξῆς, καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ
„ ὄρος κυρίου, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ πολλοὶ, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ
„ ἐροῦσι, δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου. διὸ καὶ μετὰ ταῦτα τὸν πρὸ αἰώνων ἀπὸ
τῆς βηθλεὲμ ἐξελεύσεσθαι ἀνακηρύξας, οὐκέτι τοῦ ἰσραὴλ μόνου, ἀλλὰ ἀθρόως

© Centre d'Études Supérieures de la Renaissance - Tours

» πάντων ἀνθρώπων ἕως καὶ τῶν ἄκρων τῆς γῆς ἄρξειν αὐτόν φησι. λέγει δ' οὖν, καὶ
» στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ
» ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων
» τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη. τίνι δὲ ἔσται αὕτη εἰρήνη, ἀλλ' ἢ τῇ γῇ, ἐν ᾗ μεγαλυνθή-
σονται τὰ ποίμνια τοῦ κυρίου; καὶ τοῦτο δὲ ὁποίου τέλους ἔτυχε μετὰ τοῦ σωτῆρος
ἡμῶν ἰησοῦ χριστοῦ παρουσίαν παντίτῳ πρόδηλον. πολλῆς γὰρ οὔσης πρὸ τούτου
πολυαρχίας, καὶ τῶν ἐθνῶν ἁπάντων τυραννουμένων ἢ δημοκρατουμένων, ὡς μη-
δεμίαν πρὸς ἀλλήλους ἐπιμιξίαν τοὺς ἀνθρώπους ἔχειν, ἰδίως δὲ, φέρε εἰπεῖν, αἰγυ-
πτίων ὑπὸ οἰκείῳ ἄρχοντι βασιλευομένων, καὶ ἀράβων ὡσαύτως, καὶ ἰδουμαίων,
φοινίκων τε καὶ σύρων, καὶ τῶν ἄλλων ἐθνῶν, ἐπανισταμένων τε ἐθνῶν ἔθνεσι, καὶ πόλεων πό-
λεσι, πολιορκιῶν τε μυρίων καὶ αἰχμαλωσιῶν κατὰ πάντα τόπον τε καὶ χώραν ἐπι-
τελουμένων, ἐπεὶ τῶν παρὴν ὁ σωτὴρ καὶ κύριος, ὁμοῦ τῇ εἰς ἀνθρώπους αὐτοῦ παρόδῳ,
πρώτου τε ῥωμαίων αὐγούστου τῶν ἐθνῶν ἐπικρατήσαντος, λέλυτο μὲν ἡ πλείστη
πολυαρχία, εἰρήνη δὲ διελάμβανε τὴν σύμπασαν γῆν, τῇ μετὰ χεῖρας ἀκολού-
» θως προῤῥήσει, διαῤῥήδην φησάσῃ περὶ τῶν τοῦ χριστοῦ μαθητῶν, διότι νῦν με-
» γαλυνθήσονται ἕως ἄκρου τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη. ᾧ συνᾴδει τὸ ἐν ψαλ-
» μοῖς φάσκον περὶ τοῦ χριστοῦ λόγιον, ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη,
» καὶ πλῆθος εἰρήνης. διό μοι δοκεῖ ἄρχων εἰρήνης ἐν τῇ πρὸ ταύτης παρατεθείσῃ
προφητείᾳ ὠνομάσθαι. ἐπίστησον γεμὴν τίνα τρόπον ὁ μετὰ χεῖρας προφήτης
καὶ ἐξελεύσεσθαι μὲν ἐξ οὐρανῶν τὸν κύριον ἀρχόμενος ἔφησεν, οὐ πρότερον δὲ
ποιμανεῖν τοὺς ἀνθρώπους, ἢ γεννηθῆναι τὸν θεσπιζόμενον ἐν τῇ βηθλεέμ. ὅπως
δὲ ταῦτα ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἐπεραιοῦτο, ἐμαρτύρησεν ὁ εὐαγγελιστὴς,
δι' ὧν προεξεθέμην αὐτοῦ φωνῶν. ποιμὴν δὲ καὶ ἡγούμενος ὁ χριστὸς ἀναδειχθή-
σεσθαι τοῦ ἰσραὴλ εἴρηται, συνήθως τῆς ἱερᾶς γραφῆς τὸν ἀληθῆ ἰσραὴλ κατὰ διάνοιαν
πάντα τὸν διορατικὸν καὶ ἀρετῶς θεῷ βιοῦντα ἐπονομαζούσης· ὡς ἔμπαλιν τοὺς
ἐκ περιτομῆς ὁπόθ' ἁμαρτάνοιεν, χαναναίους καὶ σπέρμα χαναάμ, καὶ οὐκ ἰού-
δα, ἄρχοντάς τε σοδόμων, καὶ λαὸν γομόῤῥας, ἐμφερῶς αὐτῶν τοῖς τρόποις ἀπο-
καλούσης. ἀλλὼς δὲ πρὸς λέξιν, ἡ πᾶσα τοῦ σωτῆρος ἡμῶν διατριβὴ παρὰ τῷ
ἰουδαίων ἔθνει γέγονε, καὶ πολλῶν γε τοῦ ἰσραὴλ ἡγήσατο, ὅσοι δὴ ἔγνωσαν αὐτὸν,
καὶ εἰς αὐτὸν πεπιστεύκασι τῶν ἐκ περιτομῆς. καὶ τὸ μὲν τῆς ἐκτεθείσης προῤ-
ῥήσεως τοιαύτην εἴληφε τὴν ἔκβασιν. τὰ δὲ ἑξῆς ἀφ' ἑτέρας ἀναγνωστέον ἀρχῆς,
» οὕτως ἔχοντα. ἀσσύριος ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν
» χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀν-
» θρώπων, καὶ τὰ τούτοις ἀκόλουθα. ἃ καὶ ὁποίας ἔχεται διανοίας, οὐ τοῦ παρόντος
τυγχάνει διηγήσασθαι καιροῦ. εἴποι δ' ἄν τις μετὰ τὴν ἀσσυρίων εἰς τὴν ἰουδαίαν
ἐπιδημίαν, καθ' ἣν εἷλον τὸ ἰουδαίων ἔθνος, τοσαύτας ἐπαναστάσεις κατ' αὐτῶν
γεγονέναι, ὅσαι δηλοῦνται διὰ τῶν ἑπτὰ ποιμένων, καὶ διὰ ὧν ὀκτὼ δηγμάτων·
ταῦτα δὲ δύνασθαι εἰδέναι τοὺς τὰ ἀσσυρίων ἱστορηκότας, ὧν ἐπὶ τέλει τὸν ἐκ τῆς
βηθλεέμ προφητευόμενον γεγονέναι, κατὰ τοὺς ἑπτὰ δηλαδὴ ποιμένας, καὶ τὰ ὀκτὼ
δήγματα τοῖς ἀσσυρίοις συμβάντα ἐν ὑστέροις χρόνοις τῆς εἰς τὴν ἰουδαίαν αὐτῶν
ἐφόδου. ταῦτα δὲ πλείστης ἐρεύνης δεόμενα οὐ νῦν πολυπραγμονεῖν καιρός.

Ἀπὸ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀπὸ ψαλμοῦ ρλα'.

Πυθομένῳ τῷ δαβίδι ποῖος ἄρ' εἴη ὁ τῆς τοῦ προκηρυττομένου θεοῦ γενέσεως τόπος, ἡ ἐφραθὰ, αὕτη δέ ἐστιν ἡ βηθλεέμ, διὰ τοῦ θείου πνεύματος φανεροῦται.

Μνήσθητι κύριε τοῦ δαβίδι, καὶ πάσης τῆς πραότητος αὐτοῦ. ὡς ὤμοσε τῷ κυρίῳ, ηὔ-
» ξατο τῷ θεῷ ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ
» κλίνης στρωμνῆς μου· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου
» νυσταγμὸν, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ ἰακώβ. ἰδοὺ ἠκούσαμεν
» αὐτὴν ἐν ἐφραθὰ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. εἰσελευσόμεθα
» εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.
» εἶθ' ἑξῆς ἐπιλέγει, ἕνεκε δαβίδι τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ
» χριστοῦ σου. ὤμοσε κύριος δαβίδι ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν. ἐκ καρποῦ τῆς
» κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου. καὶ ἐπιφέρει τούτοις λέγων, ἐκεῖ ἐξανα-
» τελῶ κέρας τῷ δαβίδι, ἡτοίμασα λύχνον τῷ χριστῷ μου, τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύ-
» σω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. συνᾴδει τῇ πρὸ ταύ-
της καὶ ἡ παροῦσα προφητεία, ἐκ βηθλεὲμ τὸν προκηρυττόμενον θεὸν προε-
λεύσεσθαι σημαίνουσα. τοῦτο δὲ οὖν αὐτὸ καὶ ὁ δαβίδι, πρότερον μὲν ἀγνοῶν, εὔ-
χεται παρὰ τοῦ θεοῦ μαθεῖν, εἶτ' εὐξάμενος παιδεύεται. ἐπεὶ γὰρ τετύχηκε χρη-
» σμοῦ τοῦ πρὸς αὐτὸν ἐν τῷ ψαλμῷ φήσαντος, ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι
» ἐπὶ τὸν θρόνον σου. καὶ αὖθις, ἐκεῖ ἐξανατελῶ κέρας τῷ δαβίδι, ἡτοίμασα λύ-
χνον τῷ χριστῷ μου· εἰκότως προσπίπτει τῷ θεῷ, καὶ προσπεσὼν ἐπ' ἐδάφους πο-
τνιᾶται. ἐπὶ πλέον δὲ τῇ προσευχῇ προσκαρτερῶν ὄμνυσι τῷ θεῷ, μὴ πρότε-
ρον εἰσελεύσεσθαι εἰς σκήνωμα οἴκου αὐτοῦ, μηδὲ δώσειν τοῖς ὀφθαλμοῖς αὐτοῦ ὕπνον,
καὶ τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, μηδὲ ἀναβήσεσθαι ἐπὶ κλίνης στρωμνῆς αὐτοῦ,
κεῖσθαι δὲ χαμαὶ προσκυνοῦντα, καὶ ποτνιώμενον, ἐστ' ἂν εὕρῃ τόπον τῷ κυρίῳ,
καὶ σκήνωμα τῷ θεῷ ἰακώβ, τοῦτ' ἔστιν, ἕως ἂν μάθῃ, τοῦ κυρίου φανερώσαντος
αὐτῷ, τὴν γένεσιν τοῦ χριστοῦ. εὐξάμενος δὲ, καὶ τοιαῦτα γνῶναι ποθήσας, οὐκ εἰς
μακρὰν τῷ θείῳ πνεύματι τὰ μελλόντα ἔσεσθαι θεωρεῖ, τοῦ θεοῦ τοῖς οἰκείοις ἐπαγγει-
λαμένου, ἔτι γε λαλοῦντων ἐπακούσεσθαι. ἐπακουσθεὶς δῆτα καταξιοῦται χρησμοῦ
τὴν βηθλεὲμ ἐπιφωνοῦντος αὐτῷ, ὡς ἂν ἐνθάδε τοῦ τόπου τοῦ κυρίου, καὶ τοῦ σκηνώ-
ματος τοῦ θεοῦ ἰακὼβ συστησομένου. ταῦτα τοιγαροῦν τῶν θείου πνεύματος ἐν αὐ-
» τῷ θεσπίσαντος, αὐτὸς αὐτοῦ ἐπακούσας ἐπιλέγει, ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν ἐφρα-
» θὰ. ἐφραθὰ δὲ ἡ αὐτή ἐστι τῇ βηθλεέμ, ὡς δῆλόν ἐστι ἀπὸ τῆς γενέσεως, ἔνθα περὶ
» τῆς ῥαχὴλ εἴρηται, ὅτι ἔθαψαν αὐτὴν ἐν τῷ ἱπποδρόμῳ ἐφραθὰ, αὕτη ἐστὶ βηθ-
» λεέμ. καὶ ἡ πρὸ ταύτης δὲ περιεῖχε προφητεία, καὶ σὺ βηθλεὲμ οἶκος τοῦ ἐφρα-
θὰ. ἰδοὺ, φησὶν, ἠκούσαμεν αὐτὴν, δῆλον δ' ὅτι τὴν τοῦ χριστοῦ γένεσιν, καὶ τὴν τοῦ
θεοῦ ἰακὼβ κατασκήνωσιν. ποῖον δ' ἂν εἴη τὸ σκήνωμα τοῦ θεοῦ ἰακώβ, ἢ τὸ σῶμα
τοῦ χριστοῦ τὸ ἐν τῷ τόπῳ τῆς βηθλεὲμ γεγεννημένον; ἐν ᾧ ὡς ἐν σκηνώματι, ἡ θε-
ότης τοῦ μονογενοῦς κατεσκήνωσε. οὐχ ἁπλῶς δὲ θεοῦ, ἀλλὰ μετὰ προσθήκης τῆς,
τοῦ θεοῦ ἰακώβ, λέγεται τὸ σκήνωμα εἶναι, διὰ τὸ μὴ ἄλλο εἶναι τὸ σκηνῶσαν ἐν
αὐτῷ, ἢ τὸν τῷ ἰακὼβ ἐν ἀνθρώπου εἴδει καὶ σχήματι ὀφθέντα θεὸν, δι' ὃν καὶ τῆς

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὅπου τῷ Ἰσραὴλ προσῆν μία ἡξίωται, ὁρᾶν θεόν· τοῦτο γὰρ ἑρμηνεύεται τὸ ὄνομα προσαγορευθείς. οὐκ ἄλλον δέ ὄντα τοῦ θεοῦ λόγου τὸν τῷ Ἰακὼβ ὀφθέντα ἐν τοῖς προφήταις τε μετὰ χεῖρας ὑποστάσεως προεκήρυττεν. ἐδείκνυτο δὲ καὶ τοῖς ἡρῴοις ὧδε Δαβὶδ λέγων, καὶ προσκυνήσωμεν τῷ κυρίῳ καὶ θεῷ Ἰακὼβ ὃν τρόπον, καὶ τὸ σκήνωμα λέγει, ὁ
» ὅπου τὸ Βηθλεὲμ τόπος. διόπερ εἰπών, ἰδοὺ ἠκούσαμεν αὐτοῦ ἐν Ἐφραθά, ὅπου φέρει
» λέγων, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἕστηκεν οἱ πόδες αὐτοῦ. καθῶς καὶ ἡρῴοις καὶ ἐν τούτοις ἐν τῇ Ἐφραθά, ἥτις ἐστὶν ἡ Βηθλεὲμ, αὐτὸς ὁ κύριος ὁ θεὸς Ἰακὼβ τόπον ἑαυτῷ καὶ σκήνωμα συστήσεσθαι προεφητεύετο, ὁμοφώνως τῇ τοῦ μιχαίου
» προφητείᾳ φησάσῃ, καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ἐκ σοῦ μοι ἐξελεύσεται
» ἡγούμενος, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. ἀφ' ἧς ἀρτίως ἐξεπάσμενοι ἐδείκνυμεν διὰ φέρεσθαι οὐσίᾳ ἐφ' ἑτέρου, ἢ ὅτι μόνον τὸν σωτῆρα καὶ κύριον ἡμῶν, Ἰησοῦν τοῦ θεοῦ, ἐν Βηθλεὲμ ταῖς προρρήσεσιν ἀκολου-
» θως γεγωνημένον. οὐκ ἂν γοῦν ἄλλον τις ὑπεδείξειεν ἐκ τούτης εὐδόξως μετὰ τοὺς τῆς προφητείας χρόνους προσῳδόντα. οὔτε γὰρ βασιλεὺς, οὔτε προφήτης, οὐδ' ἕτερός τις τῶν παρ' Ἑβραίοις θεοφιλῶν, ἢ μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν ὁ Χριστὸς τοῦ θεοῦ, ὁμοῦ καὶ ἐκ σπέρματος Δαβὶδ, καὶ αὐτόθι γεγωνημένος ἀποδείκνυται. ὥστε καὶ τοῖς ἡρῴοις αὐτὸν ἐκφανῆ εἶναι, καὶ οὐδὲν ἄλλον τε καὶ ἐν τούτοις προφητευόμενον ὁμολογεῖν, ὅτι δὲ καθῶς ἐν τοῖς ἑξῆς ὁ αὐτὸς ψαλμὸς ὀνομαστὶ τε Χριστὸν προσα-
» γορεύων τοῦτο παίζησι, δι' ὧν φησιν, ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀπο-
» στρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. καὶ πάλιν, ἐκ δεξιῶν ἀτελῶ κέρας τῷ Δα-
» βὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου, τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ
» αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. ποῦ δέ φησιν ἐκ δεξιῶν ἀτελῶ κέρας τῷ Δαβὶδ, ἢ ἐν τῇ Βηθλεὲμ τῇ Ἐφραθά; οὐδαμοῦ γὰρ τὸ κέρας τοῦ Δαβὶδ ὁ Χριστὸς τοῦ θεοῦ πρόκειται, οἷόν τι μέγα φῶς ἐξανέτειλεν, ἐπιφανείς τε ἡτοίμασε τὸν τοῦ θεοῦ πάντων ὁλῶν τὸν Χριστοῦ λύχνον. εἶτα δὴ λύχνος αὐτοῦ, οἷα νοερὸν φωτὸς, τὸ ἀνθρώπειον σκηνώσας, δι' οὗ δίκην ὀστρακίνου σκεύους, ὡσπερεί τινος λύχνου, τὰς τοῦ ἰδίου φωτὸς ἀκτῖνας πᾶσι τοῖς ἐν ἀγνοίᾳ θεοῦ καὶ σκότῳ βαθεῖ πεζομένοις ἐξέλαμψεν. ἀλλὰ γὰρ καὶ ἐν τούτοις ἀποδεδείχθαι καθῶς ἤρξατο ἀπ' ἀρχῆς, καὶ ἐξ ἡμερῶν τυγχάνοντα αἰῶνος ἀνθρώποις ὑπεδημήσειν, καὶ γεννηθήσεσθαι οὐκ ἀνθρώπου γῆς, ἀλλ' ἐν ᾧ ἐκ Βηθλεὲμ τόπῳ, τοῖς ἱεροσολύμοις εἰσέτι καὶ νῦν ὑπεδεικνυμένῳ χωρίῳ, ἔνθα οὐδὲ ἄλλος μετὰ τοὺς τῶν προφητῶν χρόνους ὑπεφάνη καὶ εἰς πόλεις ἀνθρώπους ὑπέδυσεν, ἢ μόνος Ἰησοῦς ὁ Χριστὸς, τοῖς τῶν ὑπερωρίων ἀπόρρητων ἀκωλύτως ταῖς διαπεφευγυίαις φωναῖς μεγονὼς μυρίους. ἑρμηνεύεται δὲ ἡ Βηθλεὲμ, οἶκος ἄρτου, φερώνυμος οὖσα τοῦ προφήτου ὄντος ἐκ αὐτῆς Χριστοῦ κατὰ μικρὸν ὄν-
» τος θεοῦ λόγου, ψυχῶν λογικῶν θρεπτικοῦ. ὃ καὶ παίζησιν αὐτὸς λέγων, ἐγώ εἰμι ὁ
» ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἀλλ' ὅπερ καὶ τῷ Δαβὶδ γέγονεν αὐτὴ παιδεία, εἰκότως καὶ ὁ Χριστὸς ἐκ τοῦ Δαβὶδ γεγονὼς υἱὸς Δαβὶδ τὴν πρόοδον ἐξ αὐτῆς ἐποιήσατο, ἀκωλύτως ταῖς προφητικαῖς προρρήσεσιν. ὥστε οὐκ ἄδηλον εἶναι καὶ τὴν αἰτίαν δι' ἣν παιδεύεται τὸν Βηθλεὲμ ἐπεγράψαντο. ἀλλὰ καὶ ἐν ναζαρὲθ διαφθείς λέγεται, καὶ πάλιν ναζαραῖος κληθήσεται. ἰστέον οὖν ὅτι καὶ ὁ ναζαραῖον ὄνομα ἐβραϊκὴν τυγχάνει ἐν λαϊκῇ ὅτι τὸ χρίσμα τοῦ παρ' αὐτοῖς χριστοῦ. ἐν ᾧ ἐστὶ ὁ ἀρχὴν

κατ'

κατ' εἰκόνα τ̃ μεγάλου ϗ ἀληθῶς ἀρχιερέως τ̃ χριστ̃ θ̃υ, σκιώδη τινὰ καὶ τυπικὴν χριστὸν ὑπεφέροντος. ἐν οἷς γοῦν εἴρηται χ̃ῳ τοῖς ἑβδομήκοντα, περὶ τ̃
» ἀρχιερέως, καὶ οὐ βεβηλώσει τὸν ἡγιασμένον τ̃ θ̃ου ἐπ' αὐτ̃, ὅτι ϖ ἅγιον ἔλαιον χριστοῦ
» τ̃ θ̃ου ἐστὶν ἐπ' αὐτ̃. ϖ μὲν ἑβραϊκὸν ὅτι ναζὴρ ἔλαιον, περιέχει· ὁ δὲ ἀκύλας, ὅτι ἀ-
» φόρισμα ἔλαιον ἐλαίου τ̃ θ̃ου ἐπ' αὐτ̃ ἐστ' αὐτῷ· ὁ δὲ σύμμαχος, ὅτι ἅγιον
» ἔλαιον τ̃ χρίσματος τ̃ θ̃ου ἐπ' αὐτ̃ ἐστ' αὐτῷ· ὁ δὲ θεοδοτίων, ὅτι ϖ ναζὴρ ἔλαιον
» ϖ χριστὸν τ̃ θ̃ου ἐστ' αὐτ̃ ἐπ' αὐτῷ. ὥστε εἰ τὸ ναζὴρ, χ̃ῳ μὲν τοῖς ἑβδομήκοντα,
ἅγιον· χ̃ῳ δὲ τὸν ἀκύλαν, ἀφόρισμα· χ̃ῳ δὲ τὸν σύμμαχον, ἅγιον, ὥστε ἐκ τούτου ϖ ναζιραῖον ὄνομα σημαίνειν ἤτοι τὸν ἅγιον, ἢ τ̃ ἀφωρισμένον, ἢ ϖ ἅγιον. διὸ οἱ μὲν παλαιοὶ ἱερεῖς δι' ἅλατος σκεύασον, τ̃ τοῦδε μωσεῖ ναζὴρ καλουμένου χριόμενοι, τοῦδε γάριν ἀπὸ τ̃ ναζὴρ ἐκαλοῦντο ναζιραῖοι. ὁ δὲ σωτὴρ καὶ κύριος ἡμῶν χ̃ς φύσιν ἔχων ϖ ἅγιον καὶ ϖ ἅγιον καὶ τὸ ἀφωρισμένον, οὐ δεόμενος χρίσματος ἀνθρωπίνου, ὅμως τ̃ ναζιραίου θεσπεσίας πᾶσ' ἀνθρώποις ἔτυχεν, οὐκ ἀπὸ τ̃ καλουμένου ναζὴρ ἅλατος ναζιραῖος γεγονὼς, ἀλλ' ὢν μὲν τῇ φύσει τοιοῦτος, κληθεὶς δὲ καὶ πᾶσ' ἀνθρώποις ναζιραῖος, ἀπὸ τ̃ ναζαρέθ, ἐν᾽ᾳ τοῦδε τοῖς χ̃ῳ ϛρκα γονεῦσι τὸν ἐν παισὶν ἀναστροφὴν ἔσχηκε. διὸ λέλεκται τοῦδε τοῦ
» μαθθαίου, χρηματισθεὶς δὲ κατ' ὄναρ, δῆλον δὲ ὅτι ὁ ἰωσὴφ, ἀνεχώρησεν εἰς τὰ
» μέρη τ̃ γαλιλαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην ναζαρέθ, ὅπως πλη-
» ρωθῇ τὸ ῥηθὲν διὰ τ̃ προφητῶν, ὅτι ναζαραῖος κληθήσεται. ἔδει μὲν γὰρ αὐτὸν ἐξ ἀπόλλω φύσει καὶ ἀληθείᾳ ναζιραῖον ὄντα, τοῦτ' ἔστιν ἅγιον καὶ ἄθικτον καὶ ἀφωρισμένον ἐξ ἀνθρώπων κληθῆναι ταύτῃ τῇ προσηγορίᾳ· διὸ ἐπεὶ μὴ ἐκ τ̃ ναζὴρ ἐλαίου ταύτης ἔτυχε τ̃ προσηγορίας, μὴ δεηθεὶς ἀνθρωπίνου χρίσματος, ἐκ τ̃ τόπου τ̃ ναζαρὲθ τ̃ ἐπωνυμίαν ἐκτήσατο. τούτων δ' οὕτως ἀποδεδειγμένων, καιρὸς ὑπομνῆσαι καὶ ἐξ ὁποίου γένους, ἐξ ὁποίας τε ἑβραίων φυλῆς ὁ σωτὴρ ἡμῶν ψυχῶν ἡμῶν, ὁ χριστὸς τ̃ θ̃ου προέβλαστεν ἐκπορεύεσθαι. προφάσεις δὲ τὰς ἀναγκαίας καὶ περὶ τούτου ϖ διὰ βραχέων λέξω. εἰδὼς ὡς τὰ ἁρμονίους σφαλίδας τὰς προφητικὰς αὐτῶν ὑπὸ μίαν ἐλπίδα σωτηρίας. ὁ μὲν οὖν ματθαῖος ὧδε τὸν χριστὸν χ̃ῳ γε-
» νεαλογεῖ, βίβλος γενέσεως ἰησοῦ χριστοῦ, υἱοῦ δαβὶδ, υἱοῦ ἀβραάμ, ἀβραὰμ
» ἐγέννησε τὸν ἰσαάκ, ἰσαὰκ ἐγέννησε τὸν ἰακώβ, ἰακὼβ δὲ ἐγέννησε τὸν ἰούδαν. καὶ
» τὰ ἑξῆς. σωμάδε δὲ αὐτῷ καὶ ὁ λουκᾶς λέγων ἀφεῖσθαι εἰς διαπέλιον θεοῦ
» ὁ προεπηγείλατο διὰ τ̃ προφητῶν αὐτ̃, ἐν γραφαῖς ἁγίαις περὶ τ̃ υἱοῦ αὐ-
» τοῦ τ̃ γνησίου ἐκ σπέρματος δαβὶδ χ̃ῳ ϛρκα. γέγονε δ' οὐ σύμφωνα ταῦτα ταῖς οὕτως ἐχούσαις προρρήσεσιν.

Ἀπὸ τ̃ δευτέρας τ̃ ματθαίου.

Ἀπὸ ποίου γένους καὶ ἀπὸ ποίας ἑβραίων φυλῆς προέβλαστεν ὁ χριστὸς προεφητεύετο.

Ο κύριος δῆλα δὴ τ̃ προφήτου ταῦτα τ̃ δαβὶδ ἀναπέμπει ἐν δευτέρᾳ ματθαίου
» μέρει, καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθῇσι μετὰ τ̃ πατέρων σου, καὶ
» ἀναστήσω τὸ σπέρμα σου μετά σε, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τ̃ βασιλείαν

© Centre d'Études Supérieures de la Renaissance - Tours

» αὐτ̃. αὐτὸς οἰκοδομήσῃ οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω θρόνον αὐτ̃ εἰς τὸν
» αἰῶνα. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσαι μοι εἰς υἱόν. ὃς ἂν ὀγδόῳ δὲ καὶ
» ὀδοηκοστῷ ψαλμῷ περὶ τ̃ αὐτ̃ ὡς περὶ Δαβὶδ ᾄδε εἴρηται, αὐτὸς ἐπικαλέσε-
» ταί με, πατήρ μου εἶ σύ, θεός μου, καὶ ἀντιλήπτωρ τ̃ σωτηρίας μου, κἀγὼ πρωτότο-
» κον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. εἰς τὸν αἰῶνα φυλάξω
» αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. καὶ αὖθις, ὤμοσα Δαβὶδ τῷ
» δούλῳ μου, ἕως αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ
» γενεὰν τὸν θρόνον σου. καὶ πάλιν, ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ
» ψεύσομαι; τὸ σπέρμα αὐτ̃ εἰς τ̃ αἰῶνα μενῶ, καὶ ὁ θρόνος αὐτ̃, ὡς ἥλιος ἐναντίον
» μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. καὶ αὖθις, καὶ θήσομαι εἰς τὸν αἰ-
» ῶνα τ̃ αἰῶνος τὸ σπέρμα αὐτ̃. ὁμοία δὴ εἰπὴ τούτοις καὶ ἃ δι' ὧν εἴρηται, ὤ-
» μοσε κύριος τῷ Δαβὶδ ἀληθῆ, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν· ἐκ καρποῦ τ̃ κοιλίας
» σου θήσομαι ἐπὶ τὸν θρόνον σου. Σολομὼν παῖς μὲν ὢν τ̃ Δαβὶδ, καὶ τῆς βα
σιλείας ἀμφίδοξος πέφυκεν ὁμολογουμένως. οὗτος δὲ καὶ ὢν ἐν ἱερογλύμοις νεὼν τῷ
θεῷ ποθῶν ἐδείματο, καὶ τοῦτον εἰκὸς ὑπολήψεσθαι τοὺς ἐκ πεπαιδευμένης τ̃ πρὸς
φιλοσόφου γῆς. οὓς ὑπισχνεῖται καλῶν εἰ οἷόν τε εἴη ὑπὲρ Σολομῶνα μᾶλλον τὸν
» χρησμὸν φάσκοντα, καὶ ἀνορθώσω τ̃ θρόνον αὐτ̃ εἰς τ̃ αἰῶνα. καὶ αὖθις μὴν ὅρκου
διαβεβαίωσιν ὁμωμοκέναι τὸν θεὸν ἐν ᾧ ἁγίῳ αὐτ̃, ὡς ἀρα ἔσαι ὁ θρόνος τ̃
προφήτου, ὡς ὁ ἥλιος, καὶ αἱ ἡμέραι τ̃ οὐρανοῦ. εἰ γὰρ δή τις τοὺς χρόνους ἐξε-
τάσαι τῆς τ̃ Σολομῶνος βασιλείας, τεσσαρακοντα ἔτη, οὐ πλείονα εὑρήσει. εἰ δὲ καὶ
τ̃ διαδόχων αὐτ̃ σωθήσοι, δοκεῖ ἐφ' ὅλοις πεντακοσίοις ἔτεσιν εἶναι δοκοῦντας
ἐξηλωμένους. ἀλλὰ ἔστω τοῖς αὐτοῖς ἐκ μέρους τῆς ὑστάτης ὑπὸ ῥωμαίων πο-
λιορκίας τ̃ ἰουδαίων ἔθνους διαρκέσαι νομίζειν· τί οὖν τοῦτο πρὸς τὸν προφη-
τείαν, εἰς τὸν αἰῶνα, καὶ ὡς τὸν ἥλιον, καὶ ὡς τὰς ἡμέρας τ̃ οὐρανοῦ διαμένειν τὸν
» θρόνον αὐτ̃ ἀναπίζουσι; ὃ δὲ, καὶ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσαι
» μοι εἰς υἱόν, πῶς ἂν τοῖς Σολομῶνι ἁρμόζοιεν; ὅτε διαῤῥήδην ἡ τ̃ αὐτὸν ἱστορία,
ἀγνοίαι καὶ ἀπωκισμένα τ̃ τοῦ θεοῦ εἰς ποίησεως περὶ αὐτ̃ διδάσκει. ἄκουε δὴ
» οὖν οἷόν κατηχεῖται αὐτ̃ καταλέγει, καὶ Σολομὼν ὢν φιλογύναικος, καὶ ἔλαβε
» γυναῖκας ἀγνοίας πολλὰς, καὶ τ̃ ἐγκατέρα Φαραὼ, μοαβίτιδας, ἀμμανίτιδας,
» καὶ ἰδουμαίας, σύρας καὶ χετταίας καὶ ἀμορραίας, ἐκ τ̃ ἐθνῶν, ὧν ἀπεῖπε κύριος ὁ
» θεὸς τοῖς υἱοῖς ἰσραὴλ, ἐκ εἰσελεύσεσθε εἰς αὐτάς. καὶ ὑπιφέρει τούτοις, καὶ ἐκ
» ἔσω ἡ καρδία αὐτ̃ ἀληθὴς μετὰ κυρίου τοῦ θεοῦ αὐτ̃, καθὼς ἡ καρδία Δαβὶδ τοῦ
» πατρὸς αὐτ̃, ἐπορεύθη Σολομὼν ὀπίσω τῆς ἀσταρτης, βδελύγματος σιδωνίων. καὶ
» ὀπίσω τῶν βασιλέως αὐτῶν εἰδώλου ἡμῶν ἀμμών. καὶ ἐποίησε Σολομὼν τὸ πονηρὸν
» ἐνώπιον κυρίου. καὶ αὖθις ἑξῆς ὑπολέγει, καὶ ἦλθε κύριος κατὰ τῷ Σολόμωνι, τ̃
» ἀδελφ τ̃ ἰδουμαῖον. τ̃ δὴ ὑπὸ τοσούτοις καὶ τοιούτοις διαβεβλημένου τίς ἂν αἰρεθείη λόγος
πατέρα τὸν θεὸν Σολομῶν ὑπειληφέναι, καὶ τὸν ὑπὸ πάντων θεὸν υἱὸν ἑαυτ̃ προσ-
τόκον ἀναῤῥηθῆναι αὐτόν; πῶς γὰρ ταῦτα τοτὲ μὲν ὡς περὶ αὐτ̃ λέγει ὁ Δαβὶδ, τοτὲ δὲ
ὡς περὶ σπέρματος αὐτ̃; ἀλλ' οὐδεὶς τῷ Δαβὶδ ἐφαρμόζει λόγῳ, ὡς ὑπισχνεῖται· οἱ
δῆλον ἔσαι. ἀκουέτω τὸν ἐκ σπέρματος Δαβὶδ ἀναιρήσεται ἐν τούτοις δηλούμε-
νον ἕτερον ζητητέον. ἀλλ' οὐδεὶς ἄλλος τοιοῦτος ὀφθ̃ αὐτ̃ γέγονεν, ὡς ἱστορῆται, ἢ ὅτι γε
εἷς ὁ σω-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ᾗ τῷ θεῷ τῶν ὅλων πρ̃οσαναφωνησάντων πρ̃οφητῶν, ϗ τοῦτον μόνον σέβοντας,
ϗ πάντα θάνατον ἀπαζομθ̀νους ἐνταῦθ᾽ τῆς εἰς αὐτὸν ἀσεβείας, ὥρα μὴ ἀλλως
ταῦτα γεγονέναι συνομολογεῖν, λί τ̃ κυρίου ἐληλυθότος εἰς αἴγυπτον, ἀκολού-
θως τῇ πρ̃οκειμθ̀νῃ πρ̃οῤῥήσει. ἔστι μθ̀ οὖν ϗ ἄλλως τὸν λόγον ἀνίτ̃εσθαι ἐμ-

πικῶς

πικῶς τ᾽ ϖρείγφον κόσμον, εἰς ὃν ὁ λόγος ϖροφηλύφ τ᾽ κύριον ὅτι νεφέλης κούφης ἤξφ, οὕτω δὴ ἐκ ϖαρθένου ϗ πνεύματος ἁγίου ληφθέντα αὐτῷ δῶρον ἀφθαρσίαν ἀνιτιόμενος. χρεοποίητα δὲ ἀγνώστου σφάττεσθαι, τὰ τῶν ἐθνῶν ξόανα, καὶ τοὺς ἐν αὐτοῖς δαίμονας, ὡς αὖ πάλιν ἀγυπτίους ἠπατημένους, ϖρώτας τοὺς πάλαι ϖροτεθεν ϖρὸ τοῦ εἰδωλολατρείαν ἐπονομένους. πλὴν ἀλλὰ ϗ ϖραγματικῶς ὅ σωτῆρος ἡμῶν ὑπεκκαιδεύθης τῇ ἀγυπτίων χώρᾳ, ὅτε, κατ᾽ τ᾽ χρησμόν, φύασας ὁ ἰωσὴφ ϖρόβαλε τοῦ μειράκ ϗ τὸ παιδίον, ϗ ἦλθεν εἰς ἄγυπτον, ἵνα ῥῆτῶ δυνάμει καὶ ἐνεργείᾳ τᾷ αὐτοῦ τὸ ϖαρὸν οἰκοῦσας ϖονηρὰς δυνάμεις εἰκὸς ἦ μικρὸς κεκινῆσθαι, ϗ μάλιστα ὅτε ἀφ᾽ ὧν μετέπειτα διδασκαλίας αὐτοῦ μυεῖα πλήθη τ᾽ τοῦ ἀγυπτίου οἰκούντων, τ᾽ τῶν δαιμόνων ἀποφυγόντα πλανήσεως, ἔτι ϗ νῦν ὃν τῶν ὅλων ὁμολογεῖ μόνον εἶδέναι θεόν. τὰ δ᾽ ἐν τοῖς ἑξῆς ὑπολειπόμενα, ἀνιγματῶδη ὄντα, πλείονός τε δεόμενα ϖραγματείας ἐπ᾽, οἰκείας σχολῆς ἑρμηνεύσομεν.

Ἀπὸ τῶν ἑξῆς.

Ὡς ὁ χριστὸς εἰς ἄγυπτον ἤξφ, κἀκεῖθεν ἐπανόδου ϖροείρητο.

Φησὶ βαλαὰμ υἱὸς βεὼρ, φησὶν ὁ ἀληθινῶς ὁρῶν, φησὶν ἀκούων λόγια ἰσχυρὰ, ὅστις ὁράσιν θεοῦ εἶδεν, ἐν ὕπνῳ ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς καλαὶ οἱ οἰκίαι σου ἰακώβ, αἱ σκηναί σου ἰσραήλ, ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡς ϖαράδεισος ἐπὶ ϖοταμῶν, ϗ ὡσεὶ σκηνὰς ἔϖηξε κύριος, ὡσεὶ κέδροι ϖαρ᾽ ὕδατα. ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, ϗ κυριεύσει ἐθνῶν ϖολλῶν, ϗ ὑψωθήσεται ἡ γὼγ βασιλεία, ϗ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ. θεὸς ὡδήγησεν αὐτὸν ἐξ ἀγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ. ἔδεται ἔθνη ἐχθρὰ αὐτοῦ, ϗ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ, ϗ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν. κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, ϗ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; οἱ εὐλογοῦντές σε εὐλογημένοι, ϗ οἱ καταρώμενοί σε κεκατήραται. ἀνωτέρω ἀφ᾽ ἧς ϖροφητείας φήσας ὁ χρησμὸς τὴν κύριον ἤξφ εἰς ἄγυπτον, ἐδήλου τοῦ τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χρεισοῦ δεκαεπτεμβρίου, τ᾽ ἅμα τοῖς γονεῦσιν εἰς ἄγυπτον αὐτῷ γενησομένου· ἐν τούτοις δὲ τοῦ ἐπανόδου ἑξῆς ϗ ἀκολούθως τοῦ ἀπ᾽ ἀγύπτου, ἵν᾽ ἅμα τοῖς γονεῦσιν εἰς τ᾽ γῆν τοῦ ἰσραὴλ ἐποιήσατο, θεσπίζει λέγων, θεὸς ὡδήγησεν αὐτὸν ἐξ ἀγύπτου. μόνος δὲ ἴσως ὁ σωτὴρ ϗ κύριος ἡμῶν ἰησοῦς ὁ χρεισὸς ὅ τοῦ θεοῦ ϗ υἱὸς οὐδεὶς ἄνθρωπος, ὁ ἐκ τοῦ σπέρματος ἰσραὴλ, ϗ τ᾽ ἰουδαίων ἐθνους ϖροῆλθεν, ϗ ϖολλῶν καταλυσας ἐθνῶν, ὥστε ἀναμφιλόγως ὁμολογεῖσθαι πέρας ἔχειν ἐπ᾽ αὐτῷ ϗ τοῦ ϖροῦσαν ϖοέρησιν ἀφαρπάζειν ἐκ φωνοῦσαν, ὅτι δὴ ἐκ τοῦ ἰουδαίων ἔθνους ἐξελεύσεται ὃς ἀνθρωπος, ϗ κυριεύσει ἐθνῶν ϖολλῶν. ἢ λεγέτω ὁ βουλόμενος, εἰ ἔχοι ἀνθρώπον συσχῆσαν τῶν ϖώποτε ϖρὸ ἑβραίοις ἐνδόξων, ϖολλῶν ἐθνῶν ἀρξάντα· ἀνθρωπος δὲ εἰποι τις, ὅτι μηδὲ γέγονεν. ὅτι δέ γε ὁ σωτῆρος ἡμῶν αὐτὸς ϗ ἡμεῖς μὴ λέγωμεν, αὐτὴ γε ἡ ἀληθεια βοήσει ϗ μέγα κεκραξεῖ), ἀνίσχυρος ϖρὸς ϖῶσαν, ὅπως ἡ σύστος αὐτοῦ δυνάμις, ἀφ᾽ ὧν ἀναλφήτους αὐτοῦ ἐκ σπέρματος ἰσραὴλ τοῦ κατὰ σάρκα ἀνθρώπου ἐκνεύσει, ϗ εἰσέτι νῦν κυριεύσει ἐθνῶν ϖολλῶν. αὐτὸς ἄρα ἐστὶν ἐκεῖνος ἵν᾽ ϗ οὐδεὶς ἄνθρωπος, ὃν ἡ ϖροφητεία ϖροηγόρευσε, καθ᾽ ὃν ϗ ἡ γὼγ ὑψωθη βασιλεία τῆς χρεισοῦ δυνάμεως στεναχωρήσης. τοῦτον δὲ σαφῶς φησιν ἀμύτεως καθ᾽ ἑβραίους

τ' ζήτον τ' τῶν ῥωμαίων βασιλείαν, ἣ καὶ σωτὴρ μαστεν ἡ χριστοῦ διδασκαλία. μέμνημαι δὲ τ' γὼν κ' ὁ θεοφίλης ἱεζεκιὴλ, ἄρχοντα ῥὼς μοσὸχ κ' θοβὲλ ὀνομάζων· ἀφ' ὧν τῶ ῥὼς τὴν ῥωμαίων, ὡς ἔοικε, πόλιν αἰνιττόμενος, ἐπεὶ καὶ ἀρχὴ καὶ κεφαλὴ χ' τ' ἑβραίων φωνὴ δηλοῦται· ἀφ' δὲ τ' μοσὸχ, τὴν μυσίαν, κ' τὰ πέριξ ταύτης ἔθνη, ὅσα νῦν οἰκεῖα ῥωμαίων ἐστί· ἀφ' δὲ τ' θοβὲλ, τὴν ἰβηρίαν, οὕτω πως ἀπὸ τ' θοβὲλ γεγονέναι φάσκων θοβελίους τοὺς ἰβήρας. ὧν ἀποθέμενος ἄρχοντα τὸν γὼγ ὑψωθήσεσθαί φησιν ὅτι τ' τῶ θεοφιλοῦς χριστοῦ προοιμίας, ὃν ὁ θεὸς ὡδήγησεν ἐξ αἰγύπτου, ὅτε χ' τὸν μαθητὸν ὑπεδούλουν τ' ἡρώδου παιδὶ ὄντι αὐτῷ, χρηματιθεὶς ὁ ἰωσὴφ παρέλαβε τὸ παιδίον, κ' τὴν μητέρα αὐτοῦ, καὶ ἐπορεύθη εἰς γῆν ἰσραήλ. δόξα δὲ μονοκέρωτος αὐτῷ τῷ χριστῷ πρῶτον, ἀφ' ὃ ἐν αὐτῷ ἐνδοκιμήσαν πᾶν τὸ πλήρωμα τῆς θεότητος, χ' τὸν ἱερὸν ἀπόστολον. ἀφ' ὧν ὡς κέρας ὑπερφανὸς ὂν τῶν ὅλων θεὸν κ' πατέρα αὐτοῦ, μονοκέρως κ' ἐν ἑτέραις γραφαῖς ὠνομάσθη. ὁ δ' αὐτὸς τοῦ θεοῦ λόγος τοῖς νοητοῖς καὶ λογικοῖς αὐτοῦ βλέπει τὸν ἐχθρὸν καὶ ἀντικείμενον αὐτῷ διάβολον, πάσας τε τὰς ἀμφ' αὐτὸν ἀοράτους τε πονηρὰς δυνάμεις, ἀφ' κρείττονος κ' ἀναμάχου δυνάμεως ἡλάσας, εἰσέτι τε νῦν κυριεύει ἐθνῶν πολλῶν, ὧν τὰ πάντα καὶ τὸ φρόνημα τῆς ἀρχὸς λεπτύνων, ὅτι τῷ γενικῷ ὁδὸν τ' αἰωνίου ζωῆς ὑπιτηδείους κατασκευάζει. διὰ τοῦτο καταλιπὼν αὐτὸς ἔστ' ὁ ἐξ ἰσραὴλ τοσοῦτον ἀφ' ἑαυτοῦ θεσπίσας, ὁ καταμεμυσάμενος ἐθνῶν πολλῶν, ἀνεπαύσατο, φησὶν, ὡς λέων, ὅτω δηλονότι τῷ ἀνεδέξατο οἰκονομίαν, καθ' ὃν ὥσπερ λὶς βασιλικὸς καὶ θαρραλέος ἡρεμεῖ ἀναπαυσάμενος, μηδενὸς αὐτοῦ τ' ἀρχὴν κ' τ' βασιλείαν μεταστήσασθαι δυναμένου, πρώτους τ' οἰκείους ἀλλοφυῶτες, λόγῳ τε κ' βίῳ σεμνυόντες τῷ ἀρετῷ τ' διδασκάλου, τ' ἐκ θεοῦ μετειλήφασιν ὀλιγίας, αὐξοντες ὁσημέραι καὶ πληθύνοντες, κ' τ' ὃ, αὐξάνεσθε, κ' πληθύνεσθε, κ' πληρώσατε τὴν γῆν, δηλοῦσθαι ἐπ' αὐτῶν καὶ θεοπρεπέστερον τῆς θείας ἐκτελουμένης φωνῆς. ὡς ἔμπαλιν οἱ ἀπὸ θεοφίλης τ' κατ' αὐτὸν ὑπουλῆς εἰσέλθ κ' νεῦ αὐτὸν ἐν τοῖς αὐτῶν σωνεδρίοις ἀφώμενοι, τ' ἐκ θεοῦ καθάρσεως ἐξ ἐκείνου καὶ εἰσέτι δοῦλοι καθ' ἑαυτῶν ἐπεσπάσαντο. διὰ καὶ τὴν ἑκάτερων ἀμοιρίαν τε καὶ φθορὰν οὐ παύονται ὀφθαλμοῖς ὁρῶντες. ἄξιον δὲ ὧδε θεῖναι τοῖς μ' χεῖρας τ' θεοῦ τὸν ἰούδαν τ' ἰακὼβ θεοφιλείαν, ἵν' κ' αὐτὴν ἐναργέσταται εἰς τὸν ἡμέτερον σωτῆρα ἐφαρμόζῃ θεοπρεπῆσαι μὴ, σωιδεῖν τε τ' ἐν ἑκατέροις συμφωνίαν. ὡς γὰρ ἐνταῦθ' εἴρηται, ἐξελθόντα μὴ θεσπίσαι ἐκ τῶν σπερμάτος αὐτοῦ, δῆλον ἦν ὅτι τῷ ἰακὼβ, οὕτω κἀκεῖ, ἐκ βλαστοῦ μέν μου ἀνέβης, εἴρηται ἐπ' αὐτοῦ τῷ ἰακὼβ θεοῦ τὸν θεοφιλοῦμενον. καὶ ὡς ὅτι τῷ πρόσωπος λέγεται ὃ, κ' κυριεύσει ἐθνῶν πολλῶν, ὁμοίως κ' ἐν ἐκείνοις ὃ, καὶ αὖθις ἔσται θεοδοκία ἐθνῶν. κ' πάλιν ἐνταῦθ' μὴ, ἔδεται, φησὶν, ἔθνη ἐχθρὸν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτοῦ καταρξάμενος ἐχθρόν· ὡσαύτως δὲ κ' ἐν ἐκείνοις, αἱ χεῖρές σου ὅτι νώτου τῶν ἐχθρῶν σου, εἶπε. κ' ὃ, σκύμνος λέοντος ἰούδα, κ' ὃ, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἀναστήσει αὐτόν; ταῦτα δὲ εἰκότως εἰς ταυτὸν σωνηγάγομεν, ἵν' ὥσπερ ὅτι σώματος δύο

© Centre d'Études Supérieures de la Renaissance - Tours

τος δύο μαρτύρων τῆς ἐν τῇ προφητείαις συμφωνίας, ἡ περὶ τοῦ σωτῆρος ἡμῶν ἀπόδειξις βεβαιοτέραν λάβοι τὴν κύρωσιν. πάντα δ' οὖν τὰ εἰς τὴν τοῦ ἰακὼβ πρόῤῥησιν τεθεωρημένα ἁρμόσει ἐν ἂν καὶ εἰς τὴν τοῦ βαλαὰμ, τῆς ὁμοιότητος τῶν λεγομένων ἕνεκα. εἰ δὴ ἐκεῖνα διὰ πολλῆς ἀποδείξεως ἐπὶ τὸν ἡμέτερον σωτῆρα πεπληρωμένα συνέστη, ἀκόλουθον ἂν εἴη καὶ τὰ παρόντα ὁμολογεῖν.

Ἀπὸ τοῦ ὠσηέ.

Ἐτὶ περὶ τοῦ, ὀξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, καὶ περὶ ἡρώδου τοῦ βασιλέως, καὶ περὶ τῆς καθαιρέσεως τῆς ἰουδαίων βασιλείας.

Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰ-
" χήσεται. ὡς ἄρχων σαλαμὰν ἐκ τοῦ οἴκου ἱεροβοὰμ, ἐν ἡμέραις πολέμου μητέ-
" ρα ἐπὶ τέκνοις ἠδάφισε· οὕτω ποιήσω ὑμῖν οἶκος ἰσραὴλ, ἀπὸ προσώπου τῶν ἀδι-
" κιῶν ὑμῶν. ὄρθρου ἀπερρίφη βασιλεὺς ἰσραὴλ, διότι νήπιος ἰσραὴλ, καὶ ἐγὼ ἠγάπη-
" σα αὐτὸν, καὶ ὀξ αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. δουλεύσας τῷ ἑβραϊκῷ, ὀξ
" αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, ἐξέδωκεν ὁ ἀκύλας. ἀναγκαίως δὲ τὸ ῥητὸν ἐπεσημειω-
σάμην, ἐπείπερ καὶ ὁ ματθαῖος τέθειται τὴν προφητείαν, ὁπηνίκα εἰς αἴγυπτον
διακομισθῆναι τὸν ἰησοῦν, κἀκεῖθεν ἐπανελθεῖν ἐπὶ τὴν γῆν τοῦ ἰσραὴλ ἐδήλου.
εἰ δὲ ἐπιμέμφοιτό τις τῇ εἰς αἴγυπτον ἀναχωρήσει τοῦ σωτῆρος ἡμῶν, ἴστω κατὰ λό-
γον αὐτὴν γεγονέναι. οὔτε γὰρ ἐπισχεῖν τὸν ἡρώδην τῆς αὐτοπροαιρέτου κακίας
προσῆκον ἦν, οὔτ' ἂν βρέφος ἔτ' ὄντα τὸν σωτῆρα τῶν θαυμάτων ἀπάρξασθαι,
καὶ πρὸ καιροῦ τὴν θείαν ἐπιδείκνυσθαι δύναμιν. ὅπερ ἂν ἐπράχθη, εἰ παραδό-
ξως ἐπιβουλεύοντα αὐτῷ τὸν ἡρώδην μετῆλθεν, μηδαμῶς ὑπομείνας τὴν εἰς αἴ-
γυπτον ἅμα τοῖς γονεῦσιν ἀναχώρησιν. ἀλλὰ γὰρ ἦν τῆς κρείττονος οἰκονομίας ἐπὶ
καιροῦ τοῦ προσήκοντος τῶν τῆς θεότητος ἀπάρξασθαι θαυμάτων, ὥγε διὰ παν-
τὸς τοῦ βίου τὸ πρᾷον καὶ ἀνεξίκακον μεμαρτύρηται, προχείρῳ μὲν εἰς τὰς εὐποιΐ-
ας καὶ τὰς κοινὰς εὐεργεσίας γενομένῳ, μηδένα δὲ τῶν μὴ ἀκουόντων ἀμυνομένῳ,
μηδὲ ὅτε ὡς πρόβατον ἐπὶ σφαγὴν ἤγετο, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄ-
φωνος. πῶς οὖν εἰκὸς ἦν τὸν τοιοῦτον δεῖν ἐν παιδίῳ μὴ οὐχὶ ὑποχωρῆσαι τῇ τοῦ ἡ-
ρώδου κακίᾳ, ᾧ καὶ ἐν ἀνδρὶ τὸ ἀναχωρεῖν καὶ τοὺς πονηροὺς ἐκκλίνειν μεμαρτύρηται,
ἐπικρύπτεσθαί τε καὶ ὑποφεύγειν τὸν ἐπὶ ταῖς παραδοξοποιΐαις ἔπαινον; παρῄ-
νει γοῦν τοῖς ὑπ' αὐτοῦ θεραπευομένοις μηδενὶ λέγειν. εἰ δ' ἐπὶ τὸν λαὸν τὴν προ-
φητείαν ἀναφέροι τις, φάσκων περὶ τοῦ ἐκ σπέρματος τοῦ ἰσραὴλ λαοῦ εἰρῆσθαι,
ἐπιστησάτω τῇ τοῦ λόγου ἀκολουθίᾳ, ταῦτα ἔσεσθαι φησάσῃ μετὰ τὸ εἰπεῖν ὡς πρὸς
" αὐτὴν τὴν ἱερουσαλὴμ, καὶ ὀξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα πε-
" ριτετειχισμένα σου οἰχήσεται. καὶ ἅπερ, φησὶν, ὁ τοιόσδε ἄρχων πέπονθεν κατὰ τὸν
ἐπελθόντα αὐτῷ πόλεμον, ἐν ᾧ μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, τὰ παραπλησία
καὶ ὑμῖν αὐτοῖς ποιήσω διὰ τὰς κακίας ὑμῶν. ὑμῖν δὲ τίσι ἢ τοῖς καλουμένοις
ἰσραηλίταις, οἳ καὶ ἀπερρίφητε σὺν τῷ βασιλεῖ ὑμῶν; τὸν ἡρώδην αἰνιττόμενος.
" καὶ ταῦτά γε πάντα πεπόνθατε, διότι παῖς, φησὶν, ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν,
" καὶ ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου. πῶς γὰρ οἷόν τε κατὰ τὸ αὐτὸ τοῖς αὐτοῖς ἐπι-
μέμφεσθαι, καὶ πάλιν τοὺς αὐτοὺς ἐπαινεῖν; ἀλλ' ἦν ὁ ἀληθὴς νοῦς ταύτην ἔχων θεω-

© Centre d'Études Supérieures de la Renaissance - Tours

είαν. ἰσραὴλ γὰρ ὁ χριστὸς καὶ κατ' ἐτέρας ἀνηγόρευται προφητείας, ὡς πρόδρομος καὶ ὅτι τῆς προύσης. ὅπερ οὖν ἐστί, φησὶν, ὑπήκοός μοι γλυκύθυμος, μορφὴν δούλου εἴληφε, καὶ γέγονε παιδίον ἀγαπητὸν ἐμοὶ, πᾶσαν τὴν ἐμὴν ἐκτελέσας βουλὴν, διὰ τοῦτο αὐτὸν μὴν ἀπὸ τῆς αἰγύπτου, εἰς ἣν ἀναθρέψασα κατελήλυθεν, οὐ τὸν δηλουμένου τοῦ προφήτου τόπου, ἢ καὶ ἐξ αὐτῆς τὸ προφήτου, οἷα γνήσιον καὶ ἀγαπητὸν υἱὸν ἀνακαλεσάμενον. ὑμᾶς δὲ, τοὺς προφὴς οὐδὲ ὁ λόγος, σὺν καὶ τῇ ὑμετέρᾳ βασιλείᾳ ὄλεθρος καὶ ἀπώλεια προδηλήψεται. ταῦτα μὴν ἡ προφητεία. προέδηλον δὲ ὅπως ἀπὸ τῶν τοῦ σωτῆρος χρόνων πολιορκηθείσης τὴν ἱερουσαλὴμ, καὶ διαρέθη καὶ εἰς ὃ πανωτελὲς ἀπερρίφη ἡ μέλλει ποτὲ συστᾶσα τῶν ἰουδαίων ἔθνους αὐτονομία τε καὶ ἀρχὴ πλείων ἄλλα τοσοῦτον ἤδη τοῖς τῆς αἰγύπτου καὶ τὴν αὐτὴν ἀφίξεως αὐτοῦ προεφήτευται. εἰ δέ τις αὐτὰ μυθαμῶς ἐφαρμόζῃ ὅτι τὸν ἡμέτερον λέγει σωτῆρα, ἀλλὰ τοῦ γε τῆς τοῦ μαθητοῦ προδοσίας ἀπὸ τῆς προφητικῆς μυστικῆς ἐκφωνήσεως ἀπὸ τῶν προφητῶν προφητευθέντα, εἰς καὶ ἀρχὴν διηκούσθαμεν, ὃ, ὁ θεὸς ὠδήνησεν αὐτὸν ἐξ αἰγύπτου, διηγούμενοι. ἐπεὶ μηδ' αὐτὸς ὁ εὐαγγελιστὴς ἀπὸ τοῦ ὡσπερ προφητείας εἰληφέναι αὐτῷ τὸ λόγιον ἔφησεν, ὡς δυνάσθαι καὶ πόθεν ὁπιζητήσαντας, εὑρεῖν αὐτὸ κείμενον, ὅθεν εἰκὸς τὸν εὐαγγελιστὴν πεποιῆσθαι αὐτὸ τὴν ἔκθεσιν.

Ἀπὸ τοῦ Ἡσαΐου.

Περὶ τοῦ κατὰ τὴν ἔρημον ἰωάννου κηρύγματος.

Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος, καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. καὶ ὀφθήσεται τὸ δόξα κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, ὅτι κύριος ἐλάλησεν. ἔδει δὲ ταῦτα τὸν ὅτε τῶν χρόνων τοῦ σωτῆρος ἡμῶν ὅτι πέρας λήψειν τὴν προφήτησιν. διὸ καὶ τὸν τὸν Ἰωάννην λευκαῖς, ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας τιβερίου καίσαρος, ὅτε δὴ πόντιος πιλάτου τῆς ἰουδαίας, καὶ τετράρχου τούτῳ συναριθμουμένων, ἐγένετο ῥῆμα θεοῦ ὅτι ἰωάννῃ υἱῷ ζαχαρίου ἐν τῇ ἐρήμῳ. ὃς ἐλθὼν εἰς πᾶσαν τὴν περίχωρον τοῦ ἰορδάνου, ἐκήρυσσε βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. τούτοις δὴ οὖν ὁ εὐαγγελιστὴς ὅτι μαρτυρῶν λέγων, καθὼς γέγραπται ἐν βίβλῳ λόγων ἡσαΐου τοῦ προφήτου· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου. καὶ τὰ ἑξῆς. τί δὴ οὖν ἐβόα ἡ διὰ τοῦ ἰωάννου φωνὴ ὅτι τῆς ἐρήμου κηρύσσουσα, ἢ τοῖς ἐκπορδομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, ὡς ἑρπετοῖς ἐρήμου τυγχάνουσιν, οἰκείως τῇ προφητείᾳ, γνησιώτατα ἐλπίσωμεν, ὡς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; πάλιν τε αὖ τὰς σκολιὰς ψυχὰς εἰς εὐθείας, καὶ τὰς τραχείας εἰς ὁδοὺς λείας μετασκευάζουσα ἔφασκε τοῖς αὐτοῖς, ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας. ἐπεὶ ταῦτά γε σπουδαιότερον προπαρασκευάζοντος ἰωάννου τοὺς ὀφθαλμοὺς τῆς δόξαν κυρίου, καὶ τὸ σωτήριον τοῦ θεοῦ, οὐκ ἄλλον ὄντα τοῦ χριστοῦ, ὡς ἐμοὶ τύρῳ λέγων, ἐγὼ μὲν ὑμᾶς ὕδατι βαπτίζω, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἄξιος τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. ὃς καὶ ἰδὼν ὃν ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν ἐφώνησεν, ἰδὲ ὁ ἀμνὸς

μνὸς

» σω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονε. ὃν αὐτὸν δὲ εἶναι τὸ σωτήριον τοῦ θεοῦ καὶ ὁ συμεὼν ἐμαρτύρησεν, ὃς λαβὼν ἐπὶ ταῖς ἀγκάλαις βρέφος ὄντα τὸν ἰησοῦν,
» ἔφη, νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀ-
» φθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
» φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. οἷς συνᾴδει καὶ ὁ προφήτης εἰπὼν, καὶ ὄψεται πᾶσα
» σὰρξ τὸ σωτήριον τοῦ θεοῦ. τὸ γὰρ πᾶσα σὰρξ, ἀντὶ πάντων εἴρηται τῶν ἐθνῶν. ὅπως δὲ ταῦτα τέλους ἔτυχε, καὶ τὰ ἔθνη τὸν χριστὸν ἐπέγνω τοῦ θεοῦ, μακρῶν οὐ δεῖ λόγων. καὶ τὰ μὲν ῥητὰ τοῦτον ἐπληροῦτο τὸν τρόπον. τί δ' ἦν τὸ αἴτιον τοῦ μὴ ἐν πόλεσι, μηδ' ἐπ' αὐτῆς τῆς ἱερουσαλὴμ, ἀλλ' ἐπὶ τῆς ἐρήμου ἰωάννην παρῆν ἠθόντα κηρύττειν; ὁ μὲν τῖς φήσαι ἂν εἰς ἀποπλήρωσιν τῆς προφητείας τοῦτο αὐτὸν πεποιηκέναι. ἀλλ' ὁ ἀκριβὴς εὐθέως ἐξετάζων, αὐτὴ δὲ ἡ προφητεία τί ποτ' ἄρα σημαίνειν βουλομένη τὴν ἔρημον καὶ τὰ κατ' αὐτὴν ἐδήλου, πεύσεται· πρὸς ὃν φήσομεν ὅτι καὶ τοῦτο σημεῖον ἦν καθαιρέσεως τῆς ἱερουσαλὴμ, καὶ τοῦ πρὸς αὐτῇ θυσιαστηρίου, τῆς τε κατὰ τὸν μωσέως νόμον λατρείας, ὅτε μηκέτ' αὐτοῖς διὰ τῶν κατὰ νόμον θυσιῶν τὰ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν προὐξένειτο, ἀλλὰ διὰ καθάρσεως λουτροῦ ἐπὶ τῆς πάλαι διψάδος καὶ ἐρήμου, λέγω δὲ τῆς τῶν ἐθνῶν ἐκκλησίας, παραδιδομένου, ἐν ᾗ καὶ ἡ προφητικὴ γενομένη φωνὴ ἑτοιμάζειν παρακελεύεται τὴν ὁδὸν κυρίου, τὰς μὲν κάτω που εἰς βάθος κακίας, ὡς ἐν φάραγγι κειμένας ψυχὰς ἐπαρθήσεσθαι, τὰ δὲ πάλαι ὑψώματα τῆς ἱερουσαλὴμ, καὶ τῶν ἐπ' αὐτῆς ἀρχόντων τε καὶ βασιλέων, ὄρη καὶ βουνοὺς ὀνομαζόμενα, ταπεινωθήσεσθαι θεσπίζουσα. ὧν ἐ-
» πιτελεσθέντων φησὶ, πᾶσα σὰρξ ὄψεται τὸ σωτήριον τοῦ θεοῦ, δῆλον δ' ὅτι πᾶσα ἡ ἐν σαρκὶ ἐπὶ γῆς ἀναστρέφουσα ψυχὴ ἡγήνων ὁμοῦ καὶ βαρβάρων, καὶ πάντων ἁπαξαπλῶς τῶν ἐθνῶν· ἃ καὶ τῇ προῤῥήσει ἀκολούθως εἰς πέρας ἠθόντα δείκνυται. ζητῶ δὲ παρ' ἐμαυτῷ τί ἄρα ἦν τὸ ἐκπλῆξαν τοὺς πολλοὺς ἐν τῷ ἰωάννῃ, ὡς θαυμάσαι αὐτὸν καὶ κηρύττοντι βάπτισμα μετανοίας πιστεῦσαι, πάντας τε πανταχόθεν τὰ οἰκεῖα ἀπολιπόντας συῤῥεῖν ἐπὶ τὸν ἔρημον, μάλιστα ὅτε μηδεμίαν αὐτοῦ πράξιν ἱστοροῦσιν οἱ λόγοι. οὔτε γὰρ νεκροὺς ἐγείρας, οὔτε ἕτερα θαύματα πεποιηκὼς ἀναγέγραπται. τί δὴ οὖν ἦν τὸ ἐκπλῆξαν τοὺς πάντας; ἢ μή ποτε ὁ ξένος καὶ παραλλάττων τῶν πολλῶν αὐτοῦ βίος; προῄει γὰρ ἐκ τῆς ἐρήμου ξένην ἠμφιεσμένος στολὴν, πᾶσαν δὲ τὴν κοινὴν ἀνθρώπων διατριβὴν ἐκτρεπόμενος. οὔτε γοῦν εἰς κώμην, οὔτε εἰς πόλιν, οὔτε εἰς κοινὸν σύλλογον ἀνδρῶν παρέβαλλεν, ἀλλὰ
» οὐδὲ τῆς κοινῆς μετεῖχε τροφῆς. γέγραπται γοῦν ὡς ἐκ τῆς τοῦ παιδὸς ἡλικίας ἦν
» ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν ἰσραήλ. ἀλλὰ καὶ τὸ ἔνδυ-
» μα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλων πεποιημένον, ἡ δὲ τροφὴ αὐτοῦ ἀκρίδες καὶ μέλι
» ἄγριον. μή πη οὖν ὁρῶντες ἄνδρα, ναζιραῖον μὲν θεοῦ τὸν τρίχα, θεοπρεπὲς δὲ πρόσωπον ὑποφαίνοντα, σχῆμά τε ξένον περιβολῆς ἠμφιεσμένον, ἀθρόως ποθὲν ἐξ ἀφανοῦς ἐρήμου φαινόμενον, καὶ μετὰ τὸ κήρυγμα πάλιν εἰς τὴν ἔρημον, καὶ εἰς τὸ ἀφανὲς ὑποχωροῦντα, καὶ ἄποτον, ἄτροφον, ἀκοινώνητον τοῖς πολλοῖς, εἰκότως ἐξεπλήττοντο, μηδ' ἄνθρωπον αὐτὸν ὑπονοοῦντες ὑπάρχειν; πῶς γὰρ τὸν μηδὲ ἐν χρείᾳ τροφῆς γινόμενον; διὸ καὶ ἄγγελον ὑπειλήφεσαν εἶναι τοῦτον αὐτὸν ἐκεῖνον
» τὸν διὰ τοῦ προφήτου δηλούμενον, κατὰ τὸ, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου

© Centre d'Études Supérieures de la Renaissance - Tours

» πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. κέχρηται γοῦν τῇ παραθέσει καὶ ταύτης τῆς γραφῆς μάρκος ὁ εὐαγγελιστής. καὶ ὁ σωτὴρ δὲ μαρτυρεῖ
» λέγων, ἦλθεν ὁ ἰωάννης πρὸς ὑμᾶς μήτε ἐσθίων μήτε πίνων, καὶ λέγετε, δαιμό-
» νιον ἔχει. τοὺς γὰρ ἀπιστοῦντας καὶ πρὸς τὰ ἀληθῆ δυσχερεῖς καὶ δυσενδότους, εἰκὸς ἦν διὰ τὸν εἰρημένον τοῦ ἰωάννου βίον τοιαῦτα αὐτὸν βλασφημεῖν, ὡς ἔμπαλιν τοὺς συνῃσθημένους τῆς κατ' αὐτὸν ἀρετῆς, ἄγγελον ὑπολαμβάνειν. ταῦτα γοῦν ἡγοῦμαι τοῖς τὸν ἰωάννην ὁρῶσι θαῦμα περὶ αὐτοῦ παραχεῖν. διὸ καὶ σὺν ἔτρεχον πανταχόθεν ἐπὶ τὴν δι' αὐτοῦ κηρυττομένην τῆς ψυχῆς κάθαρσιν. μέμνηται δὲ τῆς κατ' αὐτὸν ἱστορίας ἰώσηπος ἐν ὀκτωκαιδεκάτῳ τῆς ἰουδαϊκῆς ἀρχαιολογίας, οὗτον γρά-
» φων τὸν τρόπον, τισὶ δὲ τῶν ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν ἰουδαίων στρατὸν ὑπὸ τοῦ θεοῦ,
» καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν ἰωάννου τοῦ καλουμένου βαπτιστοῦ. κτεί-
» νει γὰρ τοῦτον ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπα-
» σκοῦσι, καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς θεὸν εὐσεβείᾳ χρωμένοις βαπτι-
» σμῷ συνιέναι. οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φαίνεσθαι.

Ἀπὸ τοῦ αὐτοῦ.

Ἔτι περὶ τῆς ἐρήμου, καὶ αὐτοῦ δὴ ὀνομαστὶ τοῦ ἰορδάνου ποταμοῦ, παρ' ᾧ ἰωάννης ἐβάπτιζεν.

Ευφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει
» καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ ἰορδάνου, καὶ ἡ δόξα τοῦ λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ
» τιμὴ τοῦ καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου. οἷς ἐπιλέγει, ἰσχύ-
» σατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα, παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ
» διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώ-
» σει. αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν
» ἀκούσονται. τότε ἅλεται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. ὅτι
» ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. καὶ ταῦτα διὰ τῶν τοῦ σω-
τῆρος ἡμῶν προφανῶς παραδόξων ἔργων ἐπληροῦτο, μετὰ τὸ ἰωάννου κήρυγμα.
ὅρα τοιγαροῦν ὅπως τὴν ἔρημον εὐαγγελίζεται, οὐχ ἁπλῶς, οὐδὲ τὴν τυχοῦσαν,
ἀλλ' ἐκείνην ἀφωρισμένως, καὶ μόνην τὴν παρὰ τῷ ἰορδάνῃ ποταμῷ. ἐπειδή-
περ παρὰ ταύτῃ διατρίβων ὁ ἰωάννης ἐβάπτιζεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγου-
» σα, ἐγένετο ἰωάννης ἐν τῇ ἐρήμῳ βαπτίζων, καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ
» ἰουδαία χώρα, καὶ οἱ ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ ἰορ-
» δάνῃ. τὴν μὲν οὖν ἔρημον, τῆς πάλαι πάντων τῶν κατὰ θεὸν ἀγαθῶν ἐρήμου, λέγω δὴ
τῆς ἐξ ἐθνῶν ἐκκλησίας, σύμβολον περιέχειν ἡγοῦμαι, τὸν δὲ ποταμὸν τὸν ἐπὶ τῆς
ἐρήμου καθαίροντα πάντας τοὺς ἀπολουομένους ἐν αὐτῷ, καθαρσίου τινὸς εἶναι κα-
» τὰ διάνοιαν θεωρουμένου εἰκόνα, περὶ οὗ διαλαλοῦσιν αἱ γραφαὶ λέγουσαι, τοῦ πο-
» ταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ. σημαίνει δὲ τοῦτο τὴν ἀέναον ἐπιῤῥοὴν τοῦ θείου πνεύματος, ἄνωθεν πηγάζοντος καὶ τὴν τοῦ θεοῦ πόλιν ἄρδοντος, οὕτω καλουμένης τῆς κατὰ θεὸν πολιτείας. οὗτος δὴ οὖν ποταμὸς τοῦ θεοῦ, καὶ μέχρι τῆς ἐρήμου κατελήλυθεν, δηλαδὴ τῆς ἐξ ἐθνῶν ἐκκλησίας, καὶ ταύτῃ τῶν ἐν αὐτῷ ζωτικῶν ναμάτων εἰσέτι νῦν ἐπιχορηγεῖ. πρὸς τούτοις ἡ προφητεία τῇ δηλωθείσῃ ἐρήμῳ δοθήσεσθαί φησι τὴν δόξαν τοῦ λιβάνου, καὶ τὴν τιμὴν τοῦ καρμή-
λου.

© Centre d'Études Supérieures de la Renaissance - Tours

λου. Τίς δ' ἐστὶν ἡ δόξα τῆς λιβάνου, ἢ τὶ ἀγὼ θυσιῶν, λέγει ὁ κύριος, ἐγὼ πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν καὶ στέαρ ἀρνίων καὶ αἷμα τράγων οὐ βούλομαι, οὐδὲ ἐὰν προσενέγκητε σεμίδαλιν μάτην θυμίαμα βδέλυγμά μοί ἐστιν, τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ τὰς ἑτέρας ἡμέρας καλέσω οὐκ ἀνέξομαι ἀπὸ νηστείας καὶ ἀργίας ὑμῶν, τὰς νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου, ἐγενήθησάν μοι εἰς ὄχλον, οὐκ ἔχω τοῦ βαστάσαι. καὶ ἐν τῷ ἐκτείνειν ὑμᾶς τὰς χεῖρας ὑμῶν ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀπὸ ὑμῶν, καὶ ἐὰν πληθύνητε προσευχὴν οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις εἰσίν. λούσασθε καθαροὶ γένεσθε, ἀφέλετε τὰ πονηρὰ ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε τοῦ κακοποιεῖν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανὸν καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς τὸ κόκκινον, ὡσεὶ χιόνα λευκανῶ, καὶ ἐὰν ὦσιν ὡς κόκκινον ὡσεὶ ἔριον λευκανῶ, καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε καὶ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται, ὅτι τὸ στόμα κυρίου ἐλάλησεν ταῦτα. πῶς ἐγενήθη πόρνη ἡ πόλις ἡ πιστή, πλήρης κρίσεως, δικαιοσύνη ηὐλίσθη ἐν αὐτῇ, νῦν δὲ φονεῖς. ὁ ἄργυρός σου ἐγενήθη εἰς δόκιμον, ὁ οἶνός σου κεκραμένος ὕδατι. οἱ ἄρχοντές σου ἀπειθοῦντες καὶ κοινωνοὶ κλεπτῶν, πάντες ἀγαπῶσι δῶρα, διώκουσι τὰς ἀνταποδόσεις, ὀρφανὸν οὐ κρίνουσι καὶ κρίσις χήρας οὐκ εἰσπορεύεται πρὸς αὐτούς. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς τῶν δυνάμεων ὁ ἰσχυρὸς Ἰσραήλ, οὐαὶ ἐπὶ τοῖς ἐχθροῖς μου καὶ ἐκδικήσω ἐν τοῖς ὑπεναντίοις μου, καὶ ἐπιστρέψω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ ἐκκαθαριῶ τὸν χάλυβά σου καὶ ἀφελῶ πάντα τὸν κασσίτερόν σου, καὶ ἀποκαταστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον καὶ τοὺς βουλευτάς σου ὡς τὸ ἀρχαῖον, καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μήτηρ πιστή, Σιὼν ἐν κρίσει λυτρωθήσεται καὶ ἡ ἐπιστροφὴ αὐτῆς ἐν δικαιοσύνῃ. καὶ συντριβὴ ἀσεβῶν καὶ ἁμαρτωλῶν ἐπὶ τὸ αὐτό, καὶ οἱ ἐγκαταλείποντες τὸν κύριον ἐκλείπουσιν. αἰσχυνθήσονται γὰρ ἀπὸ τῶν εἰδώλων ὧν ἐβουλήθητε, καὶ ἐπαισχυνθήσεσθε ἀπὸ τῶν ἐκλογῶν ὧν ἐξελέξασθε, ὅτι ἔσεσθε ὡσεὶ τερέβινθος ἐκπίπτουσα τὸ φύλλον καὶ ὡσεὶ παράδεισος μὴ ὕδωρ ἔχων, καὶ ἔσται ἡ ἰσχὺς ὑμῶν ὡς ἡ ἀρχὴ τῆς ὁδοῦ καὶ τὸ ἔργον ὑμῶν ὡς σπινθὴρ καὶ καυθήσεται ἀμφότερα ὁμοῦ καὶ οὐκ ἔσται ὁ σβέσων. ὁ λόγος ὃν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς περὶ Ἰούδα καὶ Ἰερουσαλήμ. καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἔκδηλον ἔσται τὸ ὄρος τοῦ οἴκου κυρίου ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων καὶ ὑψωθήσεται ὑπὲρ τοὺς βουνούς, καὶ ἥξουσιν πρὸς αὐτὸ πάντα τὰ ἔθνη καὶ πορεύσονται λαοὶ πολλοὶ καὶ ἐροῦσιν δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου καὶ εἰς οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ δείξει ἡμῖν τὰς ὁδοὺς αὐτοῦ καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ, ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἰερουσαλήμ, καὶ κρινεῖ ἐν τοῖς ἔθνεσιν καὶ ἐλέγξει λαοὺς πολλούς, καὶ συντρίψουσιν τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα, καὶ οὐ μὴ ἐπάρῃ ἔθνος ἐπὶ ἔθνος μάχαιραν καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. οἶκος Ἰακώβ, δεῦτε καὶ πορευθῶμεν ἐν τῷ φωτὶ κυρίου, ὅτι ἀπέρριψεν τὸν λαὸν αὐτοῦ τὸν οἶκον Ἰακώβ, ὅτι ἐνεπλήσθησαν ὡς ἀπ' ἀρχῆς καὶ οἱ μάντεις ὡς οἱ ἀλλόφυλοι καὶ ἐν παισὶν ἀλλογενῶν ἐκραταιώθησαν, καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἀργυρίου καὶ χρυσίου καὶ οὐκ ἔστιν πέρας τοῖς θησαυροῖς αὐτῶν, καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων καὶ οὐκ ἔστιν πέρας τοῖς ἅρμασιν αὐτῶν, καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν εἰδώλων, ἔργα χειρῶν αὐτῶν προσκυνήσουσιν ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ ταπεινωθήσεται ἄνθρωπος καὶ ταπεινωθήσεται ἀνήρ, καὶ οὐκ ἀφήσω αὐτοῖς. εἴσελθε εἰς τὴν πέτραν καὶ κρύβηθι ἐν γῇ ἀπὸ προσώπου φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς μεγαλοσύνης αὐτοῦ, ὀφθαλμοὶ ὑψηλοὶ ἀνθρώπου ταπεινωθήσονται καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσται πάντα ὑπερήφανα καὶ ὑψηλὰ καὶ ἐπηρμένα καὶ ταπεινωθήσεται, καὶ ἔσται ἐπὶ πάσας τὰς κέδρους τὰς ὑψηλὰς καὶ ἐπὶ πάσας τὰς δρυμοὺς τοὺς ὑψηλοὺς καὶ ἐπὶ πάντα τὰ ὄρη τὰ ὑψηλὰ καὶ ἐπὶ πάντας τοὺς βουνοὺς τοὺς ὑψηλοὺς καὶ ἐπὶ πάντα τὰ ἐπηρμένα καὶ ἐπὶ πάντας τοὺς πύργους τοὺς ὑψηλοὺς καὶ ἐπὶ πᾶν τεῖχος ὀχυρὸν καὶ ἐπὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης καὶ ἐπὶ πάντα τὰ θέατρα τὰ ἐπίσημα καὶ ἐπὶ πάντα τὰ ὑψηλὰ καὶ ἐπηρμένα καὶ ταπεινωθήσεται, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλοῦσιν ἄνθρωποι τὰ εἴδωλα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ἃ ἐποίησαν αὐτοῖς εἰς προσκύνησιν, καὶ εἰσελεύσονται εἰς τὰ σπήλαια καὶ εἰς τὰς ὀπὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῶν ὀρυγμάτων ἀπὸ προσώπου φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς μεγαλοσύνης αὐτοῦ, ὅταν ἀναστῇ συντρίβειν τὴν γῆν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκβαλοῦσιν ἄνθρωποι τὰ εἴδωλα τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ἃ ἐποίησαν αὐτοῖς εἰς προσκύνησιν, καὶ εἰσελεύσονται εἰς τὰ σπήλαια καὶ εἰς τὰς ὀπὰς τῶν πετρῶν καὶ εἰς τὰς τρώγλας τῶν ὀρυγμάτων ἀπὸ προσώπου φόβου κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς μεγαλοσύνης αὐτοῦ, ὅταν ἀναστῇ συντρίβειν τὴν γῆν. ἀπόστητε ἀπὸ τοῦ ἀνθρώπου οὗ τὸ πνεῦμα ἐν τοῖς ῥισὶν αὐτοῦ ἐστιν, ὅτι ποῖος λογισθήσεται; ἰδοὺ κύριος σαβαὼθ ἀφαιρεῖται ἀπὸ Ἰερουσαλὴμ καὶ ἀπὸ Ἰούδα ἰσχυρὸν καὶ δυνατόν, πᾶσαν ἰσχὺν ἄρτου καὶ πᾶσαν ἰσχὺν ὕδατος, δυνατὸν καὶ ἰσχυρὸν καὶ ἄνδρα πολεμιστὴν καὶ δικαστὴν καὶ προφήτην καὶ συνετὸν καὶ πρεσβύτην καὶ θαυμαστὸν καὶ σοφὸν καὶ ἐπαΐοντα καὶ ἐπιστήμονα καὶ ἀκροατὴν καὶ ἐπιστήμονα ἐν λόγοις καὶ ἐπιστήμονα ἐν ἀκροάσεσιν καὶ ἐπιστήμονα ἐν ἀκροάσεσιν καὶ ἐπιστήμονα ἐν ἀκροάσεσιν

» λέγων, ὅτι ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσῃς λέοντα καὶ δράκοντα.
» Ταῦτα οὐ μόνον ὃ ἀπὸ τούτων ῥυσθήσεται τὸν αὐτὸν, ἀλλὰ καὶ ἀπὸ λόγου παραχώδους φησίν. Τίς δ' ἂν εἴη καὶ ἔσται, ἢ ὅτι ἄρα αὐτῷ προσύτεινεν ὁ πειράζων κατὰ τὸ ἱερὸν ἄγγελον; τὸ δ' ἄξιον τῷ πειράζεσθαι τὸν τηλικοῦτον σωτῆρα ἡμῶν σκοπῆσαι ἄξιον. μυρίων δὲ δυσεφίκτων πάσῃ νόσῳ καὶ πάσῃ μαλακίᾳ, ταῖς τε ἐνοχλούσαις πνεύμασι, καὶ τοῖς ἀκαθάρτοις δαίμοσιν ἐξ αἰῶνος μακρόθεν ὅτε γῆς πόλεων δεσπόσαντος πολυθέου δυσδαιμονίας κεκεφαλικότας χαίνειν, οὐκ ἐν τοῖς ἀφανοῖς, ὥσπερ ὅτε κρυπτόμενος ὅτε ταῖς εἰρημέναις πρὸς ἡμᾶς. τοῖς πρὸς ἐνοχλοῦσι δὲ πρότερον ἀοράτοις ἀγγέλοις, δι' οὗ ἀνείληφεν ἀνθρώπου βαπτισθέντος, καὶ εἰς μέσον αὐτοῦ τοῦ Δαβὶδ τοῦ καὶ πρώτου τοῦ δαιμονικοῦ σίφους πρὸς ἡμᾶς, ἐπιβάς τε ἀσπίδι καὶ βασιλίσκῳ, καὶ καταπατήσας λέοντα καὶ δράκοντα, καὶ πολὺ πρότερον καθελὼν τὸν ἀρχοντικὸν ἐκεῖνον ἀέρων χιλιάδας καὶ μυριάδας, ταῖς μὲν ἐν τῷ δεξιῷ, ταῖς δ' ἐν ἀριστερῷ ἀνωνύμων πολεμούσας, ἀρχάς τε καὶ ἐξουσίας, καὶ δὴ καὶ τοὺς λεγομένους κοσμοκράτορας τοῦ σκότους τούτου, τά τε πανοῦργα καὶ τῆς πονηρίας, πόντια δὴ οὕτω ταῦτα ὁ μηδὲν ἰχνεύσας ἀπελέγξας, καὶ τέλος αὐτὸν τὸν κακῶν ἔξαρχον Δράκοντα ἐν λόγῳ τοῦ στόματος αὐτοῦ μακρὰν ἀποβήσας, διηθῶν τε καὶ ἐμπεριπατήσας τῷ ἀνεπιλήπτῳ ἅπασαν δυνάμιν, καὶ ἑαυτὸν μὴ ταράττων τοῖς θέλουσι πρᾶσιν καὶ πειράζειν, μηδενὸς ἐν ἕξιν παρὰ τὸν αὐτὸν δεδυνημένου, οὕτως ὅτι τῶν τῶν ἀνθρώπων σωτηρίαν πρὸς ἡμᾶς. διὸ καὶ ὁρῶντες αὐτὸν οἱ δαίμονες ἐπεγίνωσκον ἀπὸ τῆς
» προδηλωθείσης κατὰ τὸν ἔρημον διατριβῆς, φάσκοντες αὐτῷ, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ
» υἱὲ τοῦ θεοῦ; Ταῦτα μὲν οὖν πρὸ τῶνδε. Τὰ δ' ἑξῆς τοῦ ψαλμοῦ πρὸς αὐτὸν ἀναπεφώνηται τὸ χρεῖσσον, ἀπὸ τοῦ, ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, δηλονότι ὁ
» ὕψιστος, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπίς, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. καὶ ἐπειδὴ περ ἡμέραις τεσσαράκοντα, καὶ τοσαύτας νυκτὶν ἐπειράζετο, πρὸς μὲν τῶν ἀμφὶ τὰς νυκτὰς ἐπόντων αὐτῷ λέγεται, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ· πρὸς δὲ τὰ ἀμφὶ τὰς ἡμέρας αὖθις πολεμιωτάτων τὸ, ἀπὸ βέλους πετωμένου ἡμέρας. καὶ αὖθις μὲν τῶν ἐν νυκτὶ, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· πρὸς δὲ τῶν ἐν ἡμέρᾳ, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. εἶτ' ἐπεὶ περ ἐν ᾧ πειράζει δυνάμεις πονηραὶ ἐκύκλουν αὐτὸν, καὶ αἱ μὲν τὰ δεξιὰ πλεῦρα σωφρον αὐτοῦ, πολὺ δὲ πλείους τῶν ἀριστερῶν, ὡς δὴ κρατερώτερα μὲν τὰ δεξιὰ, εἰκότως αὐτῷ ἐπιλέγει, πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· κλίτους αὖτε τοῦ ἀριστεροῦ ὠνομασμένου, παρασεσιωπημένου δὲ εἰκότως τῷ ὀνόματος τοῦ ἀριστεροῦ, τῷ μηδὲν σκαιὸν, μηδὲ ἀριστερὸν ὑπείσπεσθαι ἐν αὐτῷ. καὶ ὅπῃ μὲν ὄχλη μυριὰς, ὁμοῦ δὲ καὶ χιλιὰς ἔκτε τοῦ κλίτους αὐτοῦ καὶ ἀπὸ τῶν δεξιῶν πεσεῖσθαι λέγονται, εἰκότως ὅτι τοῦτοις ἐξῆς εἴρηται, πλὴν τοῖς ὀφθαλμοῖς σου κατόψῃ, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ. καὶ ἔσται ταῦτα, φησὶ, πρὸς σε τὸν χρεῖσσον τοῦ θεοῦ, ἐπειδὴ περ σὺ αὖθις
» ὦ κύριε, ὅς τοι χρὼς ὢν ἡ ἐμὴ ἐλπὶς, τὸν ὕψιστον ἔθου καταφυγήν σου. σὺ δὲ καὶ ἐ-
» πισκήψας, ἵνα ἔσπον ὁ προφήτης πρὸς αὐτὸν τὸν κύριον φησιν, ὅτι σὺ κύριε ἐλπὶς
» μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου, διαφερόντως ἀκριβῶς ἕτερον ἰδίως κύριον, καὶ τὸν τοῦ πατέρα θεὸν ὕψιστον. διὸ ἐπειδὴ περ αὐτὸν, ὡς πατέρα καὶ θεὸν ὕψιστον καταφυ-

γὼν

» γὴν ἑαυτοῦ ὁ χριστὸς τέθειται, λέλεκται αὐτῷ δὲ, οὐ προσελεύσεται πρός σε κα-
» κὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί
» σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε
» προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. καὶ ἐπιμελῶς γε τήρει τίνα τρόπον ἐν ᾧ, ὅτι
» σὺ κύριε ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου, δὲ κύριε, διὰ τοῦ τετραγράμ-
μου ὀνόματος ἐν τῷ ἑβραϊκῷ φέρεται, ὅπερ ἀνεκφώνητον εἶναι λέγοντες ἑβραίων
παῖδες, ἐπὶ μόνου τοῦ θεοῦ παραλαμβάνειν εἰώθασιν· ἡμεῖς δὲ καὶ ἐπὶ τῆς τοῦ λό-
γου θεότητος ἐν πλείσταις κείμενον γραφαῖς προαπεδείξαμεν, ὥσπερ καὶ ἐν τῷ
» μετὰ χεῖρας ψαλμῷ, ὅς φησιν εἰς πρόσωπον αὐτοῦ τοῦ κυρίου, ὅτι σὺ κύριε ἐλπίς μου
» τὸν ὕψιστον ἔθου καταφυγήν σου· μονονουχὶ λέγων, ὅτι σὺ αὐτὸς ὦ κύριε, ὃς ἐμοῦ τοῦ
ταῦτα προφητεύοντος ἐλπὶς ὢν τυγχάνεις, μείζονα σαυτοῦ τὸν θεὸν τὸν ὕψιστον εἰ-
δὼς ἐκεῖνον, αὐτὸν ἔθου καταφυγήν σου. ὅθεν καὶ ἐν ἀρχῇ ἐλέγετο τοῦ ψαλμοῦ πε-
» ρὶ τοῦ αὐτοῦ, ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλι-
» σθήσεται. ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου, βοηθός
» μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. ἐπεὶ τοίνυν σὺ ὦ κύριε τὸν ὕψιστον ἔθου καταφυγήν σου,
» τούτου χάριν αὐτὸς ὁ ὕψιστος, φησὶ, ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου
» ταραχώδους, καὶ ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι. διόπερ τὴν τοιαύτην ἔ-
» χων πατρικὴν τοῦ ὑψίστου βοήθειαν, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, οὔτε ἀ-
πό τινος τῶν προκατειλεγμένων, ἀλλὰ οὐδὲ ἐκ τῶν ἑξῆς ἐπιφερομένων. ἐπεὶ γὰρ
» σὺ κύριε τὸν ὕψιστον ἔθου καταφυγήν σου, διὰ τοῦτο οὐ προσελεύσεται πρός σε
» κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. μάστιγας δὲ τὰς ἀπὸ δαιμόνων ἐνερ
γείας καὶ ἐν τοῖς εὐαγγελίοις ὀνομαζομένας ἀνεύροις, ἃς οὐδὲ πλησιάζειν τολμᾷν
τῷ σκηνώματι τοῦ χριστοῦ, τουτέστι τῷ σώματι αὐτοῦ, δυνατὰς εἶναί φησι. πῶς γὰρ ὅ-
τε λόγῳ μόνον αὐτὰς ἐξ ἀνθρώπων ἤλασε; περὶ τούτου δὲ τοῦ σκηνώματος καὶ
» ὁ δαβίδ ποτε ὤμοσε τῷ κυρίῳ, καὶ ηὔξατο τῷ θεῷ ἰακὼβ, λέγων, εἰ ἀναβήσομαι
» ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις
» μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ,
» σκήνωμα τῷ θεῷ ἰακώβ. καὶ τούτου γε ἕνεκα τοῦ σκηνώματος ἐλέγετο, οὐ φοβη-
» θήσῃ ἀπὸ φόβου νυκτερινοῦ· καὶ δὲ, αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀ-
» πὸ λόγου ταραχώδους· καὶ δὲ, οὐ προσελεύσεται πρός σε κακὰ, καὶ μάστιξ οὐκ ἐγ-
» γιεῖ τῷ σκηνώματί σου, καὶ ὅσα ἀνθρωπινώτερα περὶ αὐτοῦ λέλεκται. ὡς καὶ δὲ, τοῖς
» ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάξαι σε· καὶ δὲ, ἐπὶ χειρῶν ἀροῦσί σε
» μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. ταῦτα γὰρ οὐκ ἀνὼς πρὸς θεὸν λέ-
γεσθαι ἁρμόσοι, πρὸς δὲ δὲ σκήνωμα αὐτοῦ, ὅπερ δι' ἡμᾶς ἀνείληφεν, ὅτε ὁ λόγος
σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. δοκεῖ δέ μοι καλῶς ἔχειν ὑπὲρ ἀκριβοῦς βε-
βαιώσεως τῶν εἰρημένων, καὶ τὰς τῶν λοιπῶν ἑρμηνευτῶν παραθεῖναι φωνάς. ὧν ὁ
» μὲν ἀκύλας, οὕτως ἔφησεν, ὅτι σὺ κύριε ἐλπίς μου ὕψιστον ἔθηκας οἰκητήριόν σου. οὐ
» μεταχθήσεται πρός σε κακὰ, καὶ ἁφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου. ὅτι ἀγγέλοις αὐτοῦ ἐν-
» τελεῖται τοῦ φυλάξαι σε ἐν πάσαις τοῦ ὁδοῖς σου. ὁ δὲ σύμμαχος, σὺ γὰρ κύριε ἀφοβία
» μου, ὑψίστην ἔθου τὴν οἴκησίν σου. οὐ κατισχύσει σου κακὸν, οὐδὲ ἁφὴ ἐγγιεῖ τῇ σκηνῇ
» σου. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις ὁδοῖς

© Centre d'Études Supérieures de la Renaissance - Tours

» οὐκοῦν διὰ τούτων αὐτῶν τῷ κυρίῳ λέλεκται, ὡς περὶ ἑτέρου μείζονος τὸ, τοῖς
» ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάσσειν σε ἐν πάσαις τῆς ὁδοῖς. ἐπὶ χει-
» ρῶν ἀροῦσί σε, δηλαδή σε τὸν κύριον, μήποτε σὺ ὁ κύριος προσκόψῃς πρὸς λίθον
» τὴν πόδα σου. ταύταις δὲ καὶ ὁ διάβολος ταῖς λέξεσιν ἐν τῷ κατὰ τοῦ σωτῆρος ἡμῶν
πειρασμῷ κέχρηται, ὅτε παραλαβὼν αὐτὸν εἰς τὴν ἁγίαν πόλιν, ἔστησεν αὐτὸν ἐπὶ
» τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω.
» γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί σου, καὶ ἐπὶ χειρῶν ἀροῦσί
» σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. πρὸς ὃν ὁ κύριος ἡμῶν ἀπο-
» κριθεὶς εἶπε, γέγραπται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. εἶτ' ἐπεὶ ἐν ᾧ πειρα
» σμῷ μετὰ τῶν θηρίων, κατὰ τὸν εὐαγγελιστὴν, διέτριβε, ποίων δὲ, οὐκ ἀναγέγραπται,
καφέστερον τοῦτο αὐτὸ ἡ τοῦ ψαλμοῦ προφητεία τὰ εἴδη τῶν θηρίων αἰνιττομένη
» φησὶν, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.
αὐτὸς μὲν οὖν τὰ ἀρχικώτατα τῶν νοητῶν θηρίων λέοντα καὶ δράκοντα, ἀσπί-
δα καὶ βασιλίσκον, αὐτὸν δηλαδὴ τὸν διάβολον, καὶ τὰς μετ' αὐτοῦ ἀρχοντικὰς καὶ
πονηρὰς δυνάμεις καταπατήσειν μεμαρτύρηται. τοῖς δὲ τὴν ὁμοίαν ἀρετὴν
αὐτῷ κεκτημένοις μαθηταῖς καὶ ἀποστόλοις αὐτοῦ, τὴν ἐξουσίαν αὐτὸς τοῦ πατεῖν ἐ-
πάνω ὄφεων καὶ σκορπίων δωρεῖται, οὐκ ἐῶν αὐτοὺς πειρασθῆναι, ὑπὲρ ὃ δύναιντο.
μόνου γὰρ ἦν αὐτοῦ τὸ τὰς χείρους ἐν πονηρίᾳ δυνάμεις, καὶ αὐτὸν δὴ τὴν πάντων ἄρ-
χοντα καὶ τύραννον τοῦ αἰῶνος τούτου, τῇ ἐνθέῳ αὐτοῦ δυνάμει καθαιρεῖν.

Ἀπὸ τοῦ Ἡσαΐου.

Περὶ τῆς γαλιλαίας τῶν ἐθνῶν, ἐφ' ᾗ ὁ σωτὴρ ἡμῶν τὰ πλεῖστα τῶν παρα-
δόξων εἰργάσατο, καὶ περὶ τῆς τῶν ἀποστόλων αὐτοῦ κλήσεως.

Τοῦτο πρῶτον πίε, ταχὺ ποίει χώρα ζαβουλὼν, ἡ γῆ νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν
» παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ ἰορδάνου, γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πο-
» ρευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου,
» φῶς λάμψει ἐφ' ὑμᾶς. τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ
» εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρού-
» μενοι σκῦλα· διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ
» ἐπὶ τοῦ τραχήλου αὐτῶν. τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε κύριος, ὡς τῇ
» ἡμέρᾳ τῇ ἐπὶ μαδιάμ· ὅτι πᾶς στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ κα-
» ταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν εἰ ἐγενήθη πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη
» ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα
» αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, ἐξουσιαστὴς, θεὸς ἰσχυρὸς, πατὴρ τοῦ
» μέλλοντος αἰῶνος. πρὸς ἅπασι τοῖς ἀλλοῖς ἐπληροῦτο καὶ ταῦτα ἐπὶ τὸν σωτῆρα καὶ
κύριον ἡμῶν ἰησοῦν τὸν χριστὸν τοῦ θεοῦ, ὅτε κατὰ τὸν θαυμαστὸν εὐαγγελιστὴν, ἀκούσας
» ὅτι ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν γαλιλαίαν, καὶ καταλιπὼν τὴν ναζαρὲθ ἐγ-
» θὼν κατῴκησεν εἰς καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις ζαβουλὼν καὶ νεφθα
» λεὶμ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγοντος, γῆ ζαβουλὼν, καὶ γῆ
» νεφθαλεὶμ, ὁδὸν θαλάσσης, πέρ τοῦ ἰορδάνου, γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς καθήμενος ἐν
» σκότει, φῶς εἶδε μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτει-
» λεν αὐτοῖς. ἀπὸ τότε γοῦν ἤρξατο ὁ ἰησοῦς κηρύσσειν καὶ λέγειν, μετανοεῖτε, ὅτι ἤγγικε ἡ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» βασιλεία τῶν οὐρανῶν. περιπάτων δὲ παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας εἶδε δύο
» ἀδελφοὺς, σίμωνα τὸν καλούμενον πέτρον, καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βαλλοντας
» ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ λέγει αὐτοῖς, δεῦτε ὀπίσω μου,
» καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν
» αὐτῷ. καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς, ἰάκωβον τὸν τοῦ ζεβεδαίου, καὶ
» ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ ζεβεδαίου τοῦ πατρὸς αὐτῶν κατ-
» αρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον
» καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. καὶ περιῆγεν ὁ ἰησοῦς ὅλην τὴν γαλιλαίαν,
» διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασι-
» λείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἀπῆλ-
» θεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς
» ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, δαιμονιζομένους καὶ σεληνια-
» ζομένους, καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι
» πολλοὶ ἀπὸ τῆς γαλιλαίας. ὅλας δὲ ταύτας ἐκτεθείμην τὴν προφητείας ἕνεκεν, τὴν γα-
λιλαίαν μέγα φῶς ἐσεσθαι ἐπαγγελομένης, τῆτε χώρας ζαβουλὼν καὶ νεφθαλείμ, οὐ-
δετέραν τυγχανούσην τῆς γαλιλαίας τῶν ἐθνῶν. διὰ τί δὲ ὅτι ἡ γαλιλαίας * τῶν ἐθνῶν
κλήσεως προοίμια κατεδηλώθη. ἐνθένδε γοῦν ὁρμωμένους τοὺς αὐτοῦ μαθητὰς
ἀνεκήρυξε. διὸ μετὰ βραχέα τοῦ βαπτιστοῦ ἀνῃρημένου ἀπὸ τῆς γαλιλαίας ὁ μαθητὴς
κεκηρυγμένον, καὶ ἐν ἑτέρῳ δὲ πάλιν τῷ λόγῳ. καὶ ὁ φίλιππος δὲ μετὰ τὸν ἰωάννην ἀπὸ βηθ-
σαϊδὰ ὡρμᾶτο ἐκ τῆς πόλεως ἀνδρέου καὶ πέτρου· καὶ αὐτὴ δὲ τῆς γαλιλαίας ἦν.
ἀλλὰ καὶ πρὸ αὐτοῦ ὁ βαπτιστὴς γάμος ἐγένετο ἐν κανᾷ τῆς γαλιλαίας, ἐνθα
δὴ δόξης ὁ κύριος τὸ ὕδατος οἶνον μεταποιήσας, ἤρχετο αὐτόθι τῶν σημείων
ἐποιήσατο, ὅτε καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταί. θέα δὲ
εἰ μὴ αὐτὸ τοῦτο προῆν τοῦ σωτῆρος λίμνῃ θαῦμα, ἐν κανᾷ τῆς γαλιλαίας γενό-
μενον ὅτι τοῦ οἴνου μεταβολῆς, θαυμάζων ἐν ἀρχῇ τῆς προφητείας πρίσηται ὁ
» πρὸ ὧν λόγος, φάσκων, τοῦτο προῆν πίε, ταχὺ ποιῇ. χώρα ζαβουλὼν καὶ γῆ νεφθα
» λείμ, γαλιλαία τῶν ἐθνῶν. εἰ δὲ σύμβολον ἐστὶ τὸ προδόδοξον μυστικωτέρου κερ-
ματος, μεταβληθέντος ἐκ τῆς σωματικωτέρας ὅτι τὴν νοερὰν καὶ πνευματικὴν
διαφορωτέραν τοῦ πιστικοῦ τῆς καινῆς διαθήκης κεράματος, ὅρα μήποτε ἐκ τούτου τοῖς
περὶ τῆς γαλιλαίας δηλουμένοις ἀκολούθως ἠνίπερθε, θαυμάζων ὡς ἄρα μνημόσυ-
σιν ὅτι τῇ χερσοῦ πρόοιμα προῆλθον πόντων οἱ τὴν ζαβουλὼν καὶ νεφθαλείμ οἰ-
κοῦντες, ἀλλ' ἐκ οἱ τὴν ἰουδαίαν καὶ τὴν ἱερουσαλήμ, τοῦ πάσχα τοῦ διαβατικοῦ
κηρύγματος μεταλήψεσθαι. αἰτίαν δὲ τούτοις ἡ διαφορωτέρα φησὶ γεγενῆσθαι τὴν τοῦ
μεγάλου φωτὸς ἐκλαμψιν, οἱ περὶ τῆς προοιμίας ἐν σκότει καθεζόμενοι, ἐν χώ-
ρᾳ καὶ σκιᾷ θανάτου διῆγον· ἀνατεταλκότος δὲ αὐτοῖς τοῦ σωτηρίου φωτὸς, τοῦτον δι-
» φραν θήσονται ἐν τρόπον, ὡς οἱ διφρανόμενοι ἐν ἀμπτῷ, καὶ ὃν τρόπον οἱ διαρού-
» μενοι σκῦλα. καὶ ταῦτα δὲ ἔργῳ ἐπληροῦτο, ὅτε τοὺς ἀποστόλους ὁ σωτὴρ καὶ κύριος
ἡμῶν ἀπὸ τῆς γαλιλαίας προσκαλεσάμενος, τὰ πρόδοξα τῶν ἔργων καὶ τὴν δι-
δασκαλίαν αὐτοῖς ἐπεδείκνυτο. διφραν θήσεσθαι δὲ αὐτοὺς ἐναντίον αὐτοῦ ἡ προφη
τεία θαυμάζει, δίκην τῶν διφρανομένων ἐν ἀμπτῷ. ποίῳ δὲ τούτῳ, ἢ προεδίδα-
» σκων αὐτοὺς ἔλεγεν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τὰς χώρας, ὅτι λευκαί
» εἰσι πρὸς θερισμὸν ἤδη; ἐδήλου ὅτι διὰ τούτων τῶν ἐθνῶν ὑπισχνεῖται λόγω, πρὸ

» τῶν αὐτῶν δὲ εἴρηται, ὅτι διφραν θήσονται, ὃν τρόπον οἱ διαφεύλθυοι σκῦλα. διῳ-
λθυοι γοῦν εἰς ἀμηλόεις τὰς χώρας τῶν ἐθνῶν, καὶ τὸν ὑφ' ἥλιον πᾶσαν, οἱ τὸ σωτη-
ρος ἡμῶν μαθηταί τε καὶ διάκονοι, μυρίους ὅσους ἐσκύλευσαν ἀρχοντας ἀμῶ-
νος τούτου, πρὸς τοσοῦτον τῶν ἐθνῶν κρατοῦντας. οὐ μικρὰ δὲ καὶ ἄλλο αἴτιον τοῦ διφρα-
νθήσεσθαι αὐτοὺς φησι, τὸ ἆρθαι ἀπ' αὐτῶν τὸν σωματικὸν τοῦ νόμου ζυγὸν, τὸν
πάλαι ποτὲ ὑπικείμενον αὐτοῖς, οὐ οὔτε αὐτοὶ, οὔτε οἱ πατέρες αὐτῶν ἠδυνή-
θησαν βαστάσαι. οὐ μόνον δὲ ὁ ζυγὸς ἀφῄρηται αὐτῶν, ἀλλὰ καὶ ἡ ῥάβδος τῶν ἀ-
παιδευτῶν ἡ ποτὲ ὑπὸ τοῦ βαχήλου αὐτῶν ὑπικειμένη. δηλοῖ δὲ τοὺς ἀπαι-
» δευτοὺς ἐν ἑτέρῳ, λέγων, λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, ἐξ οὗ
» ἀπαιδευτοῦντες κυριεύουσιν ὑμῶν. διὸ ἕτοιμοι οἱ ἀπὸ τῆς βαβυλῶνος καὶ νεφθαλεὶμ
τὸ μέγα φῶς τεθεαμένοι, διφραν θήσονται ἀφ' οἷς ποτε ὑφρήνθυσαν· οἱ δὲ πάλαι ἀ-
παιδευτοῦντες αὐτοὺς, ἐκ τοσοῦτον θήσονται μέρους κεδραίνου ἑαυτοῦ, πᾶσάν τε σχολὴν
καὶ πᾶν ἱμάτιον ἀποτίσαντες, πυρίκαυστοι γενήσονται ἐν τῷ τῆς ἐκτοσέξεως καὶ-
» ροῦ. καὶ ταῦτά γε πάντα φησὶ πεῖσεσθαι, διότι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡ-
» μῖν, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος. τίσι δὲ ἡμῖν, ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι, καὶ πά-
σῃ δηλαδὴ τῇ γαλιλαίᾳ τῶν ἐθνῶν, οἷς ὃ μέγα φῶς ἀνατέταλκε; τί δὴ καὶ τοῦτο,
ὅτι ἢ τὸ γεγεννημένον παιδίον, καὶ ὁ αὐτὸς θεὸς δοθεὶς υἱὸς, μεγάλης βουλῆς ἄγγε-
λος, ἐξ οὗ χων εἰρήνης, καὶ ἐξουσιαστὴς, καὶ θεὸς ἰσχυρὸς, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶ-
νος ὠνομασμένος; ταῦτα δὴ ἤδη φθάσαντες ὑπὲρ μόνου διαφέρεσθαι τὸν σωτῆρα καὶ
κύριον ἡμῶν Ἰησοῦν οἰκεῖον καιρὸν ἐποιησάμεθα.

Ἀπὸ ψαλμοῦ ξζ'.
Περὶ τῆς τῶν ἀποστόλων κλήσεως.

Ε-θεωρήθησαν αἱ πορφαί σου, ὁ θεὸς, αἱ πορφαὶ τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁ-
» γίῳ. προέφθασαν ἄρχοντες ἑπόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανι-
» στριῶν. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν ἰσραήλ. ἐκεῖ βενιαμὶν
» νεώτερος ἐν ἐκστάσει, ἄρχοντες ἰούδα, ἡγεμόνες αὐτῶν, ἄρχοντες ζαβουλὼν, ἄρ-
» χοντες νεφθαλείμ. καὶ ἐνταῦθα τοὺς δηλουμένους ἄρχοντας νεφθαλεὶμ ὄντας δηλονότι
μιᾷ τῶν ἀποστόλων τυγχάνειν. ἐνθένδε γὰρ αὐτοὺς ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἀναλέγε-
σθαι τοῦ μαθήματος προσήκεσιν. τὴν εἰς ἀνθρώπους δὲ πορείαν, καὶ τὴν ἐνέργειαν ὑπιδη-
» μίαν δὲ τοῦ λόγου θεσπίζουσα ἡ γραφή φησιν, ἐθεωρήθη αἱ πορφαί σου ὁ θεὸς, καὶ τὰ
ἑξῆς. ταύτης γ' τ' ὑπεφαινέτο ἀσαφῶς προοδοποιοὶ γενησόμενοι οἱ πάλαι θεοφιλεῖς προ-
φῆται, διὰ ψαλτηρίου καὶ κιθάρας καὶ πνευματικῶν ὀργάνων κηρύττοντες, καὶ
αὐτομολοῦντες προέφθασαν ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. πρώτως γάρ που τὴν
ἐκ προβολῆς σωτηριαγωγὸν εἰς μέσον προϊόντες οἱ θεῖοι προφῆται τῷ δεσπό-
ζοντι προκατήγγελλον ἄφιξιν. οἱ δὲ αὐτοὶ τῷ θείῳ πνεύματι τοῖς δὲ σωτῆρος ἡμῶν ἀπο-
» στόλοις προεφώνουν λέγοντες, ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πη-
» γῶν ἰσραήλ. πηγαὶ δὲ ἰσραὴλ οἱ λόγοι αὐτοῦ εἶεν, οἱ τῶν ἰσραὴλ προδεδομένοι.
πρῶτοι γὰρ ὑπεδέχθησαν τὰ λόγια τοῦ θεοῦ, ὅθεν ἀντλοῦντας καὶ ἡμᾶς ἀποδύσῃ δεῖσθαι
τὰς ἐκκλησίας τοῦ χριστοῦ. νεανίδας δὲ καὶ τυμπανίστριας, τὰς πάλαι σωματικώτερον
καὶ ὑπὸ μωσέως νόμον βιούσας ψυχὰς ἠνίξατο, διὰ μὲν τὸ νεώτερον καὶ ἀτελὲς τοῦ
φρονήματος,

νεανίδας, διὰ δὲ τὸ περὶ σωματικὴν κατατρίβεσθαι θρησκείαν, τυμπανιστρίας αὐτὰς ἀποκαλέσας.

Ἀπὸ τοῦ ἡσαΐου.

Περὶ τῆς προφητικῆς ἀναγνώσεως, ἣν αὐτὸς ὁ κύριος ἡμῶν διῆλθεν ἐπὶ τῆς συναγωγῆς τῶν ἰουδαίων.

Γ νεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ
» με, ἰάσασθαι τοὺς συντεθριμμένους τὴν καρδίαν, καὶ κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ
» τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως.
καὶ ταύτην αὐτὸς ὁ κύριος ἡμῶν τὴν πρόῤῥησιν εἰς ἑαυτὸν ὁμολογεῖ πεπληρῶ-
σθαι, ὅτε εἰθὼν εἰς τὴν ναζαρὲθ, οὗ ἦν ἀνατεθραμμένος, εἰσῆλθεν, κατὰ τὸ εἰωθὸς αὐ-
τῷ, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν, ἀναστάντι δὲ αὐτῷ ἐπεδό-
θη ἡσαΐας ὁ προφήτης, οὗ καὶ ἀναπτύξας τὴν βίβλον, ἀνέγνω τὸ ἐγγεγραμμέ-
» νον, πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέ-
» σταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τε-
» θραυσμένους ἐν ἀφέσει, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν. καὶ πτύξας τὸ βιβλίον ἀ-
» ποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν. καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀ-
» τενίζοντες αὐτῷ. ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς, ὅτι σήμερον πεπλήρωται ἡ γρα-
» φὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. ὁ μὲν οὖν σωτὴρ καὶ κύριος ἡμῶν διὰ ταύτης φαί-
νεται σαφῶς τῆς γραφῆς διαφερόντως καὶ κρειττόνως παρὰ τοὺς πάλαι σωματικώ-
τερον χριομένους ἱερέας, οὐκ ἐλαίῳ σκευαστῷ, οὐδὲ ὑπ' ἀνθρώπων, ὁμοίως τοῖς
ἄλλοις, ἀλλ' ἐνθέῳ πνεύματι αὐτοῦ δὴ τοῦ θεοῦ, καὶ πατρὸς αὐτοῦ κεχρισμένος, παρ'
οὗ καὶ τῆς ἀγεννήτου θεότητος μεταχών, θεὸς καὶ κύριος πρὸς τῶν ἱερῶν ἀνηγόρευ-
ται γραφῶν. ἀκολούθως δὲ τῇ μετὰ χεῖρας προφητείᾳ πτωχοῖς εὐαγγελιζόμενος
» εἰσάγεται παρὰ τῷ ματθαίῳ, ὅτε ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαν-
» τος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν
» αὐτοὺς, λέγων, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν
» οὐρανῶν. καὶ τυφλοῖς δὲ ἀνάβλεψιν παρεσχημένος οὐκ ὀλίγοις ἀναγέγραπται. οὐ μό-
νον γὰρ τοῖς τὰς ὄψεις τοῦ σώματος ἠφανισμένοις τὸ βλέπειν ἐδωρεῖτο, ἀλλά γε καὶ τοῖς
πρότερον τῇ ψυχῇ τυφλώττουσιν αἴτιος τῆς κατὰ νοῦν θεωρίας, καὶ τῆς ἐπιγνώσεως τῶν τῶν
ὅλων θεοῦ γέγονεν. καὶ ἀλλὼς δὲ τῆς οὖσι δεσμίοις καὶ ἀπηγμένοις αἰχμαλώτοις ὑπὸ
τῆς ἀσράτου καὶ δαιμονικῆς δυνάμεως, κακῶν τε σειραῖς πεπεδημένοις, εἰσευθερίαν
καὶ ἄνεσιν τῶν συνεχόντων ἐκήρυττεν, εἰ καὶ αὐτοὶ τῷ κηρύγματι πιστεύσαντες,
οἷα λυτρωτῇ καὶ σωτῆρι προσδράμοιεν αὐτῷ, καὶ τοῖς αὐτοῦ πεισθεῖεν παραγγέλμασι.
καὶ τὰ λοιπὰ δὲ τοῦ λογίου κατὰ καιρὸν ἐν τοῖς περὶ τῶν ἐπαγγελιῶν ἐξετασθήσεται.

Ἀπὸ τοῦ δευτερονομίου.

Περὶ τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ χριστοῦ νομοθεσίας.

Π ροφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει κύριος ὁ θεός σου, ὡς ἐμὲ αὐτοῦ ἀκούσε-
» σθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ σου ἐν χωρὴβ, τῇ ἡμέρᾳ τῆς ἐκ-
» κλησίας, λέγοντες, οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν,

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐχ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν· καὶ εἶπε κύριος
πρός με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀνα-
στήσω αὐτοῖς ὥσπέρ σε, καὶ δώσω τὸ ῥῆμά μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς
κατὰ ὅ, τι ἂν ἐντείλωμαι αὐτῷ, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν
λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ· ἐπίστησον ὅτι
μηδεὶς παρ' ἑβραίοις μωσεῖ παραπλήσιος προφήτης ἐγήγερται, τουτέστι νομοθέ-
της, καὶ εὐσεβείας ἀνθρώποις εἰσηγητὴς, καὶ μόνος ὁ ἡμέτερος σωτὴρ, ὁ χριστὸς τοῦ
θεοῦ. πρὸς γοῦν τῷ τέλει τοῦ δευτερονομίου λέγεται, οὐκ ἀνέστη ἔτι προφήτης
ἐν ἰσραὴλ ὡς μωσῆς. καὶ μὴν μυρίοι προφῆται μετὰ τοῦτον γεγόνασιν, ἀλλὰ οὐχ
ὡς αὐτός. ὅλον δὲ τοῦτο ἡ τοῦ θεοῦ ὑπόσχεσις ἐπαγγέλλεται, ἕνα τινὰ, οὐχὶ δὲ πολλοὺς,
καὶ ὅμοιον ἀναστήσειν αὐτῷ. δηλοῖ δὲ τοῦτον νομοθέτην, καὶ εὐσεβείας ἀνθρώπων δι-
δάσκαλον, οἷος μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἰησοῦς ὁ χριστὸς, καὶ οὐδὲ ἄλλος ἀνα-
δέδεικται, νομοθέτης ὁμοῦ καὶ προφήτης τῶν τῶν ὅλων θεοῦ, καὶ πατρὸς αὐτοῦ γενόμενος.
ἀλλ' ὁ μὲν ἔθνους ἑνὸς ὁ μωϋσῆς ἡγήσατο, καὶ κατάλληλα δὴ τούτῳ μόνῳ, οὐχὶ δὲ
καὶ ἄλλοις ἔθνεσι νομοθετῶν ἀποδέδεικται· ὁ δέ γε χριστὸς τοῦ θεοῦ, λαβὼν ἐπαγ-
γελίαν παρὰ τοῦ πατρὸς τοῦ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν
σου· ὡς ἂν μὴ μόνον ἰουδαίοις, ἀλλὰ καὶ τῷ παντὶ τῶν ἀνθρώπων γένει καινὸς νομο-
θέτης εὐσεβείας ὑπὸ τοῦ πατρὸς καταστῆναι τῇ, πάντων τῶν ἐθνῶν κλήσει δυνα-
τὴν καὶ ἁρμόδιον προβέβληται νομοθεσίαν. θειοτέρᾳ γοῦν καὶ κατὰ μωϋσέα δυνά-
μει κατὰ πάντος τοῦ κόσμου τοὺς ἱεροὺς αὐτοῦ νόμους διὰ τῶν εὐαγγελιστῶν αὐτοῦ διε-
τάξατο, μείζονι καὶ κατ' ἄνθρωπον ἐξουσίᾳ νομοθετήσας, εἰπὼν, κἰκούσατε ὅτι
ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀργίζεσθαι εἰκῇ, καὶ τὰ
τούτοις ἀκόλουθα ὅσα δὴ ἐν ταῖς ἀναγράπτοις αὐτοῦ διδασκαλίας ἐμφέρεται, ἐφ' οἷς
μαρτυρεῖ λέγων ὁ εὐαγγελιστὴς, ὅτι ἐξεπλήττοντο πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ. καὶ
γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν. τὸν δὲ τρό-
πον τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ νομοθεσίας ἐν ἀρχαῖς τῆς παρούσης
ὑποθέσεως διελθόντες, ὅτε τὴν χριστιανισμὸν, ὅ, τι ποτέ ἐστιν εἰς φανερὸν ἤγομεν, ἐπ'
ἐκεῖνα καὶ νῦν τοὺς ἐντυγχάνοντας παραπέμψομεν. ἐπιστῆσαι δὲ ᾧ λόγῳ ἄξιον,
δι' ὃν ὁ κύριος ὑπισχνεῖται προφήτην ἀναστήσειν αὐτοῖς. ἐπεὶ γὰρ κεκελεύκει μὲν αὐ-
τὸς τῷ μωϋσεῖ ἁγνίσαι τὴν πάντα λαὸν ἐφ' ἡμέραις τρισὶν, ὡς ἂν γένοιντο θεαταὶ
ὁμοῦ καὶ ἀκροαταὶ τῆς ἐνθέου ἐπιφανείας, οἱ δὲ ἐξησθένησαν πρὸς τὴν τοῦ θεοῦ χά-
ριν· διὸ ἐν ἀρχῇ γενόμενοι τῆς θεωρίας, παρῃτοῦντο λέγοντες τῷ μωσεῖ, σὺ λάλει
πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεὸς, ἵνα μὴ ἀποθάνωμεν· εἰκότως
διὰ ταῦτα ἀποδέχεται μὲν αὐτοὺς ὁ κύριος τῆς εὐλαβείας, φησὶ δὲ, ὀρθῶς πάντα
ὅσα ἐλάλησαν, προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν, ὥσπέρ σε. οὐκ-
οὖν τὸ αἴτιον ἐδίδαξε τοῦ δίκην προφήτου μελλεῖν αὐτὸν εἰς ἀνθρώπους ἐπιφά-
νειαν ποιεῖσθαι· τοῦτο δ' ἦν, ἀσθένεια ἀνθρώπων, καὶ τῆς κρείττονος θεωρίας παραί-
τησις. ἔχεις τοιγαροῦν καὶ τὴν αἰτίαν τῆς ἐνανθρωπήσεως τοῦ θεσπιζομένου προ-
φήτου. εἰκότως, οὖν προσδοκῶντες αὐτὸν οἱ ἐκ περιτομῆς, ἐπυνθάνοντο τοῦ βα-
πτιστοῦ ἰωάννου, καὶ ἔλεγον, ὁ προφήτης εἶ σύ; ὁ δὲ ἔφη, οὔ. ἀλλ' ὁ ἰωάννης τἀλη-
θὲς ὁμολογῶν, οὔτε προφήτης εἶναι ἠρνήσατο, καὶ γὰρ· ἀλλὰ τὸ αὐτὸς εἶναι ὁ προ-
φήτης

© Centre d'Études Supérieures de la Renaissance - Tours

φήτης ὁ πρὸς τοῦ μωσέως δεδηλωμένος· ὅτι δὲ ἀπεσταλμένος εἴη ἔμπροσθεν τοῦ προφήτου ἐκείνου ἐδίδασκε. καὶ ἐπειδήπερ ὁ λόγος αὐτοῖς δὴ τοῖς ἐκ περιτομῆς ἀναστήσεσθαι τὸν προφήτην ἐθέσπιζεν, εἰκότως ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἅτε δὴ αὐτὸς ὢν ὁ προκεκηρυγμένος, οὐκ ἦλθον, φησὶν, εἰ μὴ εἰς τὰ πρόβατα ἀπολωλότα οἴκου ἰσραήλ. τοῖς δὲ ἀποστόλοις αὐτοῦ παρῄνει λέγων, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. Σαφῶς διδάσκων ὅτι δὴ αὐτοῖς προηγουμένως ἀπέσταλτο, τῇ προφητείᾳ ἀκολούθως. ἐπεὶ δὲ οὐκ ἐδέξαντο τὴν χάριν, ἀπελέγχει μὲν αὐτοὺς ἐν ἑτέροις, λέγων, διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὑπακούων. φησὶ δὲ πρὸς αὐτοὺς, ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ τοῖς γε αὐτοῦ μαθηταῖς μετὰ τὴν ἐκείνων παραίτησιν προστάττει, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου. οὕτω δῆτα ἡμεῖς μὲν τὰ ἔθνη, τὸν προαναφωνηθέντα καὶ πρὸς τοῦ πατρὸς ἀπεσταλμένον προφήτην, ἅτε νομοθέτην ἅπασι γενόμενον ἀνθρώποις τῆς εἰς τὴν τῶν ὅλων θεὸν εὐσεβείας, διὰ τῆς σωτηρίου καὶ εὐαγγελικῆς διδασκαλίας ἔγνωμεν καὶ κατεδεξάμεθα, πληρουμένης κατὰ τὸ αὐτὸ καὶ ἑτέρας προῤῥήσεως, δι' ἧς εἴρηται, κατάστησον κύριε νομοθέτην αὐτοῖς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. τὸ δὲ ἰουδαίων ἔθνος μὴ παραδεξάμενον τὴν προφητευόμενον δίκην ἔτισε τὴν ἀξίαν, κατὰ τὴν θείαν πρόῤῥησιν φήσασαν, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. ἐκδεδίκηται γοῦν ἐκ τῶν λαοῦ ἐκείνου πᾶν αἷμα ἐκχυθὲν ἐπὶ τῆς γῆς, ἀπὸ αἵματος ἄβελ ἕως αἵματος ζαχαρίου, καὶ αὐτοῦ γε ἐπὶ πᾶσι τοῦ χριστοῦ, οὗ τὸ αἷμα καθ' ἑαυτῶν ἐξαιτησάμενοι, καὶ κατὰ τῶν ἰδίων παίδων, εἰσέτι νῦν τῆς τολμηθείσης αὐτοῖς ἀσεβείας τὴν τιμωρίαν ὑπέχουσιν.

Ἀπὸ τοῦ ἰώβ.

Περὶ τῆς ἐν θαλάττῃ πορείας τοῦ χριστοῦ.

Ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης, ὡς ἐπ' ἐδάφους. καὶ ταῦτα μόνῳ τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν, ὡς ἂν θεοῦ λόγῳ, δημιουργῷ τῶν ὅλων τυγχάνοντι ἁρμόζοι ἀνμόνος γοῦν τῶν πώποτε κατὰ τοὺς τῆς ἐνανθρωπήσεως χρόνους, σῶμα καὶ σχῆμα ἀνθρώπινον ἀναλαβών, ἐπὶ τῆς θαλάσσης περιπατῆσαι λέγεται, ὅτε τοὺς ἑαυτοῦ μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ αὐτὸς ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. τὸ δὲ πλοῖον ἤδη ἦν ἐν μέσῳ τῆς θαλάσσης. ἰδόντες δὲ αὐτὸν ἐπὶ τῆς θαλάσσης ἐταράχθησαν, λέγοντες ὅτι φάντασμά ἐστιν, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ ἐλάλησεν αὐτοῖς, λέγων, θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἀλλὼς δὲ οὐκ ἂν γένοιτο ἀξιοπρεπῆ θεολογεῖ δοκεῖν περιέχειν, εἰ ἐπὶ τοῦ ἀνωτάτω θεοῦ καὶ πατρὸς τῶν ὅλων ἐκλαμβάνοι τὶς τὸ λόγιον. τί γὰρ ἔχει σεμνὸν καὶ ἀξιόλογον ἐπὶ τοῦ θεοῦ τῶν ὅλων περιπατεῖν λέγεσθαι ἐπὶ τῆς θαλάσσης; πῶς δὲ καὶ νοηθείη περίπατος ἐπὶ τῆς θαλάσσης τοῦ τὰ πάντα περιέ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» χονλος, καὶ τὸν οὐρανὸν ⸂τὸν⸃ γῆν πληροῦντος; καὶ μονονουχὶ λέγοντος, ὁ οὐρανός
» μοι θρόνος, εἰ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου; καὶ, ὃν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ
» πληρῶ, λέγει κύριος; ὁ δέ γε σωτὴρ καὶ κύριος ἡμῶν ἑαυτὸν κενώσας, καὶ μορφὴν
δούλου λαβών, καὶ σχήματι ἀνθρωπείς ὡς ἄνθρωπος, δεῖγμα τῆς λανθανούσης τοὺς
πολλοὺς ἐν θεοῦ δυνάμεως αὐτῷ παρέχων ὁρᾶν τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ τοῖς θα-
λαττίοις ὑπιβαίνων κύμασι, καὶ τῇ καλύδνῃ καὶ τοῖς ἀνέμοις ὑπιμένων ἀναγέρσα
» σθαι. ὅτε καὶ οἱ ὁρῶντες ἐξεπλήττοντο λέγοντες, ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνε-
» μοι καὶ τὰ θάλασσα αὐτῷ ὑπακούει; ὡς ἂν καὶ ἔστι δηλοῦ τινος μείζονος σύμβολον,
νοουμένης ἑτέρας θαλάσσης, ἐν ᾗ λέγεται δράκων τις εἶναι πεποιημένος ἐγκαθα-
παίζεσθαι τοῦ τῶν ἀγγέλων τοῦ θεοῦ, ἐφ' ᾧ καὶ αὐτῷ ὁ σωτὴρ καὶ κύριος ἡμῶν
ἐμπεπαικὼς, τῷ κεφαλῷ τοῦ ἀρχηγοῦ δράκοντος, καὶ τῶν λοιπῶν ὑποβεβηκό-
» των δρακόντων λέγει συντετριφέναι, κατὰ τὸ, σὺ συνέθλασας τὰς κεφαλὰς τῶν
» δρακόντων ἐπὶ τοῦ ὕδατος, ⸂καὶ⸃ σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος. ἄφωνος
» ἑτέρας νοερᾶς θαλάσσης, περὶ ἧς αὖθις πάλιν ἐν ψαλμῷ φησιν, ἦλθον εἰς τὰ βά-
» θη τῆς θαλάσσης. καὶ περὶ τοῦ ἰοῦβ τὰ περὶ ἑαυτοῦ διεξιών, ἦλθες δὲ ἐπὶ πηγὴν
» θαλάσσης, ἐν ᾗ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ὡσαύτως δέσμοι φόβῳ πύλαι θα-
» νάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπηξαν; εἰκότως οὖν καὶ τῷ καθ' ἡμᾶς βίῳ
ὑπιβὰς τῇ θαλάττῃ, καὶ τοῖς ἀνέμοις ὑπιμείνας, καὶ τῇ καλύδνῃ, τὰ σύμβολα
τῶν ἀποῤῥητοτέρων ὑπετέλει.

Ἀπὸ τοῦ ἡσαΐου.

Περὶ τῶν ὑπιτελεσθέντων ⸂ὑπ' αὐτοῦ⸃ παραδόξων.

I λύσατε χεῖρες ἀφειμέναι, καὶ γόνατα παραλελυμένα, παρακαλέσατε οἱ ὀλιγό-
» ψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε, ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ
» ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ
ὦτα κωφῶν ἀκούσουσι. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ σαφῆ ἔσται γλῶσσα μο-
» γιλάλων. καὶ τούτων ἔχεις ἐν τοῖς διαλόγοις τὰ ἀποτελέσματα. τούτου μὲν, ὅπως νί-
κα ὁ σωτὴρ ⸂καὶ⸃ κύριος ἡμῶν παρεσκεύασεν παραλυτικὸν ὑπὸ κλίνης βεβλημένον,
ὃν καὶ ὑγιῆ λόγῳ κατεσκεύασεν. τούτου δέ, ὅτε μυρίοι τυφλοὶ καὶ δαιμονιῶντες, ἔτι
μὲν ⸂ἀφ' ἑαυτοῦ⸃ φθορᾶς νόσοις καὶ μαλακίαις καταπονούμενοι παρὰ τοῦ σωτηρίου
δυνάμεως τῶν παθῶν ἀπηλλάττοντο. οὐ μόνον ἀλλὰ καὶ δι' ὧν εἰσέτι νῦν καθ' ὅλης
τῆς οἰκουμένης μυρία πλήθη πολυτρόποις κακίας εἴδεσι δεδεμένα, ἀγνοίας τε
ὑπὸ πάντων θεοῦ τὰς ψυχὰς πεπληρωμένα, θαυμασίως καὶ ⸂ὑπὲρ⸃ πάντα λό-
γον τοῖς τῆς διδασκαλίας αὐτοῦ φαρμάκοις ἰᾶται καὶ θεραπεύει. πλὴν ὅτι ὁ θεὸς ἐν
τούτοις μὴ ἠρκέσθη καιρὸν, ὡς μὴ τοιαῦτα ἐνεργῶν, ἤδη ποτὲ ἐν τῷ τοῦ
τῆς θεότητος αὐτοῦ μυρίμειας ἀπεδέδεικται. καὶ ἐφρόντισε πάντων, εἴ καὶ μή ποτε, θεὸν
αὐτὸν ὁμολογεῖσθαι, ὅτι καὶ ἔργα θεία καὶ ὡς ἀληθῶς ἐν θεῷ δυνάμεως ἐπεδείκνυτο.
θεῶν γὰρ μόνῳ ἔξεστιν ἀδεῶς μὴ πρὸ μιᾶς, ζωογονεῖν ἢ νεκροὺς, σώζειν τε
ἀσθενοῦσι πρόχειρον, ἀνοίγειν τε ὀφθαλμοὺς τυφλῶν, καὶ κωφῶν ὡσαύτως ἀκοὰς ἰᾶσθαι,
χωλούς τε ἀνορθοῦν, καὶ τοὺς τῇ γλώττῃ δεδεμένους ἀλαλους ἀποκαθιστᾶν. ἀπὸ
ἀπόλλυται ⸂τοῦ⸃ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ πέφανται, οἷα ⸂τοῦ⸃ θεοῦ, καὶ
μεμαρ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

μεμαρτύρηταί γε ὑπὸ πλειόνων τῶν καθ' ὅλης τῆς οἰκουμένης κηρυξάντων αὐτόν. ὧν τὸ ἄπλαστον καὶ ἀληθὲς τῆς μαρτυρίας πιστοῦται ἡ διὰ βασάνων πεῖρα, καὶ ἡ μέχρι θανάτου ἔνστασις, ἡν ἐπὶ βασιλέων, ἀρχόντων τε καὶ ἡγεμόνων, καὶ ὅλων ἐθνῶν ἐνεδείξαντο, τοῖς ὑπ' αὐτῶν κηρυττομένοις ἀλήθειαν ἐπιμαρτυρήσαντες. τούτοις δὲ αὐτοῖς ἡγοῦμαι τοῖς εὐαγγελισταῖς αὐτοῦ καὶ ἀποστόλοις ἐπιφωνεῖν τὸ πνεῦμα
» ὃ προφητικὸν τὰ ἀπὸ τοῦ, ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. ἐπεὶ γὰρ τὰς χεῖρας καὶ τὰς πρακτικὰς δυνάμεις οὗτοι, τάς τε βάσεις καὶ τὴν πορείαν ἀπὸ τῆς μακρᾶς περιόδου τῆς κατὰ τὸν μωσέως νόμον λατρείας παρείθησαν,
» διεγείρων αὐτοὺς ἐπὶ τὴν κατὰ τὸ εὐαγγέλιον πολιτείαν, ἰσχύσατε, φησὶ, χεῖρες ἀνειμέναι,
» καὶ γόνατα παραλελυμένα, εἰς ἑτοιμασίαν δηλαδὴ τοῦ κατὰ τὸ εὐαγγέλιον δρόμου. ἰσχύσατε δὲ καὶ εἰς ὃ παρακαλεῖν ἑτέρους, καὶ παρορμᾷν ἔχεσθαι τῆς εὐαγγελικῆς σωτηρίας, ὑμεῖς οἱ ὃ πρὶν ὀλιγόψυχοι. καὶ μή τις ὑμᾶς αἱρείτω φόβος τῶν ἔξωθεν ἀνθισταμένων τῷ εὐαγγελικῷ κηρύγματι, ἀλλὰ καὶ πρὸς τούτοις ἰσχύσατε, καὶ μὴ φοβεῖσθε. θεὸς γὰρ ἡν καὶ θεοῦ λόγος, ἀλλ' οὐ μωσεῖ τις παραπλήσιος, οὐδέ τις τοῖς προφήταις ὅμοιος, οὐ μόνον τῶν παραδόξων ποιητὴς θαυμάτων, ἀλλὰ καὶ ὑμῖν αὐτοῖς τῆς ἰσχύος γεγονὼς αἴτιος. πίστις δ' ἂν γένοιτο ἐναργεστάτη τῆς τοῦ προφητευομένου σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως, δι' ἧς ἀληθῶς χωλοὺς καὶ τυφλοὺς καὶ λεπροὺς καὶ παρειμένους ἰάσατό ποτε λόγῳ, κατὰ τὰς περὶ αὐτοῦ γραφὰς, ἡ καὶ εἰσέτι νῦν ἐνεργουμένη πρὸς τῆς αὐτοῦ θεότητος καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀρετὴ, δι' ἧς αὐτοῖς ἔργοις ὁποῖός τις ἡν καὶ τότε, τοῖς οἵοις τε συνορᾷν ἐπιδείκνυται, ὅτε καὶ ἐπὶ τοσούτοις μετὰ ταῦτα χρόνοις διαρκὴς καὶ ἀνίκητος, καὶ ὡς ἀληθῶς θεοῦ λόγος, ὁ πρὸς αὐτοῦ καταγγελθεὶς ἀποδείκνυται, πάντας ὑπερβαλλόμενος τοὺς ἀρχῆθεν καὶ μέχρι τοῦ νῦν τὴν διδασκαλίαν αὐτοῦ πολεμεῖν παρεσκευασμένους, ἐξ ἁπάσης τε τῆς οἰκουμένης ὑπαγόμενος ἑαυτῷ μυρία πλήθη, καὶ πάσης μὲν ἁμαρτίας καὶ τῶν κατὰ ψυχὴν παθῶν τε καὶ νοσημάτων, τοὺς αὐτῷ προσιόντας ἀπαλλάσσων, ἐπὶ δὲ τὴν εὐσεβῆ διδασκαλίαν αὐτοῦ πᾶν γένος ἑλλήνων καὶ βαρβάρων προσκαλούμενος, μυρίους τε ὅσους προσάγων ἐπὶ τὴν τοῦ μόνου καὶ ἀληθοῦς θεοῦ γνῶσιν, ἐπί τε ὃν ὑγιῆ καὶ σώφρονα βίον, ὃς δὴ καὶ πρέπων εἴη ἂν ἐπαγγελίᾳ θρησκείας τοῦ ἐπὶ
» πάντων θεοῦ. ἔστι δὲ αὐτὸς ὁ θεὸς ἡμῶν, ἅτε τυγχάνων θεοῦ λόγος, κρίσιν, φησὶν, ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. κατὰ γὰρ τὸν ψαλμὸν φήσαντα, ὁ
» θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν, δι' ἧς εἴρηται, ὁ
» πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, παρὰ τοῦ πατρὸς τὴν τοῦ κρίνειν εἰληφὼς ἐξουσίαν, δικαιοσύνῃ κρίνων, τῷ μὲν ἐκ περιτομῆς λαῷ τὴν προσήκουσαν τῶν εἰς αὐτόν τε καὶ τοὺς αὐτοῦ προφήτας τετολμημένων δίκην ἀποδέδωκε, πάντας δὲ ἁπαξαπλῶς ἀνθρώπους τοὺς αὐτῷ προσιόντας ἐξ ἴσου κατὰ τὸ δίκαιον ἀνεσώσατο· ὧν τὰ ὦτα τῆς διανοίας καὶ τοὺς ὀφθαλμοὺς ἀνέῳξεν. διὸ καὶ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ, καιρὸν ἀνταποδόσεως ὁ θεῖος ἀποκαλεῖ λόγος, ἐν ἑτέ-
» ροις φάσκων, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως. ἔστι δὲ ἡν καιρὸς τῆς ἀνταποδόσεως, καὶ καθ' ὃν πᾶν αἷμα ἐκχυθὲν ἀπὸ αἵματος ἄβελ, ἕως αἵματος ζαχαρίου, καὶ αὐτοῦ γε τοῦ τιμίου αἵματος ἰησοῦ, ἐκδεδίκηται ἀπὸ τῆς γενεᾶς τῶν εἰς αὐτὸν. πεπλημμεληκότων, ὡς ἐξ ἐκείνου τὸν ἔσχατον αὐτοὺς ὑπομεῖναι ὄλε

© Centre d'Études Supérieures de la Renaissance - Tours

θρον, καὶ τὴν ἐσχάτην πολιορκίαν. καὶ ἡ μὲν κατ' ἐκείνους κρίσις τοιαύτην ἐποιήσατο
» κατ' αὐτῶν τὴν ἀνταπόδοσιν. διό φησιν ἡ προφητεία, ἰδοὺ ὁ θεὸς ἡμῶν κρί-
» σιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει. ἡ δὲ περὶ τῶν δι' αὐτοῦ σωθησομένων, ἑξῆς δη-
» λοῦται διὰ τοῦ, αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν,
» καὶ ὦτα κωφῶν ἀκούσονται. καὶ τὰ ἑξῆς. ταύτην δὲ τὴν σωτήριον κρίσιν καὶ ἀλλὴ προ-
» φητεία ἐξοίσειν τὸν χριστὸν ἐπαγγέλλεται φάσκουσα, ἰδοὺ ὁ παῖς μου, ἀντιλήψομαι
» αὐτοῦ, ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει.
» διὸ καὶ περὶ τοῦ λόγου τῆς καινῆς διαθήκης εἴρηται, ἐκ γὰρ σιὼν ἐξελεύσεται νό-
» μος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. κρίσει γὰρ θείᾳ καὶ
λόγοις ἡμῖν ἀῤῥήτοις καὶ τὰ τῆς κλήσεως τῶν εἰς αὐτὸν ἐπιστρεφόντων εἰκὸς αὐτὸν ἐ-
νεργεῖν. ἀλλὰ καὶ τὴν θείαν διδάσκων ἡμᾶς κρίσιν, καὶ πάντα κεκριμένως ἡμᾶς πράτ-
τειν παιδεύων, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσειν λέγεται.

Ἀπὸ τοῦ αὐτοῦ.

Περὶ τῶν σημείων καὶ τεράτων ὧν κατειργάσατο.

Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. καὶ ἐρεῖ, μενῶ τὸν
» θεὸν ὃν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰακὼβ, καὶ πεποιθὼς ἔ-
» σομαι ἐπ' αὐτῷ. ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία ἅμοι ἔδωκεν ὁ θεός. καὶ ἔσται σημεῖα καὶ τέ-
» ρατα ἐν τῷ ἰσραὴλ παρὰ κυρίου σαβαὼθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει σιών. καὶ ἐὰν εἴ-
» πωσι πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ γῆς φωνοῦντας, τοὺς
» κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν· οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ; τί ἐκζη-
» τοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν. ἐν τῇ πρὸς ἑ-
» βραίους ἐπιστολῇ παραθεὶς ὁ ἀπόστολος τὴν φάσκουσαν λέξιν, ἰδοὺ ἐγὼ, καὶ τὰ παι-
» δία ἅμοι ἔδωκεν ὁ θεὸς, ἐπεξεργάζεται περὶ τοῦ χριστοῦ λέγων, ἐπεὶ οὖν τὰ παιδία
» κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα
» διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. παῖδας δὲ αὐτοῦ ἐν
τούτοις τοὺς ἀποστόλους ὀνομάζει, ἐφ' ὧν σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ ἰσραὴλ ποιή-
σειν τὸν κύριον σαβαὼθ, τὸν κατοικοῦντα ἐν τῷ ὄρει σιὼν διδάσκει. τούτους δὲ αὐτοὺς
φανεροὺς ἔσεσθαι συνήθως ἡμῖν τὰ πρόσωπα σφραγιζομένους τῇ τοῦ χριστοῦ
σφραγῖδι, παιδευομένους τε μηκέτι τὸν μωϋσέως νόμον μανθάνειν, τῷ μηκέτι
συνεστάναι αὐτὸν, καὶ τῷ τὸν καλούμενον οἶκον ἰακὼβ καταλελεῖφθαι ὑπὸ τοῦ θεοῦ. ἀ-
» σαφῶς δὲ παρὰ τοῖς ἑβδομήκοντα εἰρημένον, τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμε-
» νοι τὸν νόμον τοῦ μὴ μαθεῖν. καὶ ἐρεῖ, μενῶ τὸν θεὸν ὃν ἀποστρέψαντα τὸ πρόσω-
» πον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, σαφέστερον ὁ σύμ-
» μαχος ἐξέδωκεν εἰπὼν, δῆσον μαρτύριον, σφράγισον νόμον ἐν τοῖς διατάγμασί
» μου. καὶ προσδοκήσω τὸν κύριον τὸν κρυβόντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰα-
» κὼβ, καὶ ἀναμενῶ αὐτόν. καὶ ὁ ἀκύλας δὲ τοῦτον καὶ αὐτὸς ἐξέδωκε τὸν τρόπον, ἐνδη-
» σον μαρτύριον, σφράγισον νόμον ἐν διδακτοῖς μου. καὶ προσδέξομαι τὸν θεὸν τὸν ἀπο-
» κρυβόντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰακὼβ, καὶ ὑπομενῶ αὐτόν. ταῦτα δ'
» οὖν οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι διδάσκονται ποιεῖν. οἷς ἑξῆς ἐπιλέγει, ἰδοὺ ἐγὼ
» καὶ τὰ παιδία, ἅμοι ἔδωκεν ὁ θεός. καὶ ἔσται εἰς σημεῖα καὶ τέρατα ἐν τῷ ἰσραὴλ παρὰ
κυρίου

© Centre d'Études Supérieures de la Renaissance - Tours

» κυρίου βαβαώθ. ὁ δὲ θεοῦ λόγος ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ καὶ τὰς διατριβὰς πεποιημένος ἐν τῷ ὄρει σιὼν, σημεῖά τε καὶ τέρατα διαπραξάμενος, ὁμοῦ τοῖς αὐτοῦ μαθηταῖς, καὶ πᾶσι τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐξ ἁπάντων τῶν πρὶν εἰδωλολατρῶν παρακελεύεται, μηκέτι δεδιέναι κατὰ μηδένα τρόπον τὴν δεισιδαίμονα πλάνην· ἀλλ' εἰ καὶ παρασαλεύοιεν αὐτοὺς, ἢ καὶ ἀναγκάζοιεν οἱ ἐξ ἐθνῶν εἰδωλολάτραι ζητεῖν τοὺς ἐγγαστριμύθους, καὶ τὰ τῶν δαιμόνων μαντεῖα ὡς θαυμάσια, καὶ κατ' οὐδὲν λείποντα τῆς τῶν θείων καὶ θεοφιλῶν ἀνδρῶν προφητικῆς διαίτης, αὐτοὺς δεῖν » ἀποκρίνεσθαι καὶ λέγειν διδάσκει, τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον » γὰρ εἰς βοήθειαν δέδωκε. καὶ τὰ τούτοις ἀκόλουθα. τοὺς γὰρ ἅπαξ νόμον εἰληφότας καὶ βοηθείους ἐντολὰς ἐπὶ βοηθείᾳ καὶ θεραπείᾳ τοῦ ἰδίου βίου, περιττὸν μαντείας πολυπραγμονεῖν διὰ τῆς δαιμονικῆς ἀπάτης ἐνεργουμένας.

Ἀπὸ τοῦ αὐτοῦ.

Περὶ τοῦ μὴ φανητιᾷν ἐν τῷ παραδοξοποιεῖν ὃν χριστόν.

Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν » ἡ ψυχή μου. κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει, οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως » ἂν θῇ ἐπὶ γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. οὕτω λέγει κύριος ὁ » θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ » διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν. ἐγὼ κύριος » ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ » ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. καὶ ταύτης ὁ εὐαγγελιστὴς μνημονεύει τῆς λέξεως, ὅτε ἐξελθόντες οἱ φαρισαῖοι συμβούλιον ἔλαβον κατὰ τοῦ σωτῆρος ἡμῶν, ὅπως αὐτὸν ἀπολέσωσιν, ἐπεὶ τοῖς σάββασιν » τοὺς κάμνοντας ἐθεράπευε. τὸ τηνικαῦτα γὰρ, ὥς φησι, γνοὺς ὁ ἰησοῦς τὴν καθ' » αὐτοῦ συσκευὴν ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, καὶ ἐπέπληξεν αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. οἷς » ἐπιφέρει λέγων, καὶ ταῦτα πάντα γέγονε, τουτέστι τὸ ἀναχωρεῖν αὐτὸν, καὶ τὸ ἐκκλίνειν τοὺς ἐπιβούλους, καὶ τὸ λανθάνειν σπουδάζειν ἐν οἷς ἔπραξε παραδόξοις, καὶ τὸ » παρεγγυᾶν τοῖς θεραπευομένοις μὴ φανερὸν αὐτὸν ποιεῖν, ἵνα πληρωθῇ τὸ ῥηθὲν » διὰ τοῦ προφήτου λέγοντος, ἰδοὺ ὁ παῖς μου, ὃν ἠρέτισα, ὁ ἀγαπητός μου εἰς ὃν » εὐδόκησεν ἡ ψυχή μου. θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσεταί τις ἐν τῇ πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, » ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. τήρει δὲ » ἐπιμελῶς τίνα τρόπον ὁ μαθθαῖος εἰπὼν, ἰδοὺ ὁ παῖς μου, ὃν ἠρέτισα, ὁ ἀγαπητός » μου, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου, οὔτε τοῦ ἰακὼβ, οὔτε τοῦ ἰσραὴλ ἐμνήσθη. οὐ γὰρ » εἶπεν ἰακὼβ ὁ παῖς μου, ἰσραὴλ ὁ ἐκλεκτός μου, ἀορίστως δὲ ἐξηνέγκεν εἰπὼν, » ἰδοὺ ὁ παῖς μου καὶ ὁ ἀγαπητός μου. ὅθεν, ὡς μηδὲ ἐν τῷ ἑβραϊκῷ τῆς προφητείας » κειμένης, παρὰ μὲν τοῖς ἑβδομήκοντα ὠβέλισται τὸ τοῦ ἰακὼβ καὶ τὸ τοῦ ἰσραὴλ ὄνο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

μα. καὶ τοῖς λοιποῖς δὲ ἑρμηνευταῖς τοῦτο πεποίηται, ἐπεὶ μηδ' ἐν τῷ ἑβραϊκῷ φέρεται. ὅθεν εἰκότως οὐδὲ τοῦτο ὁ Διαλεξῆ εἴρηται ἑβραίῳ ὄντι, καὶ ἀκολούθως τῇ ἑβραίων γραφῇ τὴν προφητείαν ἐκτεθεικώς. διὸ φρονῶ οὔτε τὰ ὀφθαλμοῦ ὁ ἐκ περιτομῆς λαὸς τὰ θεοσημαινόμενα ἐρμηνεύει, μόνῳ δὲ τῷ χριστῷ τοῦ θεοῦ μυστηριωμένῳ διὰ τῆς ἀναργείας καὶ τῆς τῶν προσταγμάτων ἐκβάσεως. μόνος γὰρ οὗτος τὴν μηνουσαν κρίσιν τοῖς ἔθνεσι προεκήρυξεν, ἡσυχῇ ὡς βίᾳ τῶν ἀνθρώπων ἐπιδημήσας, καὶ κρίσιν ὀπὴ τῆς γῆς θεμένος· καὶ οὐ μόνον κάλαμον σεσωτερημένον οὐ κατέαξεν, ἀλλά, εἰ ἔστιν εἰπεῖν, σωέδησεν, ἀνορθώσας καὶ ἰαμενος ἀφραγὲς μηνος τοῖς ἀσθενεῖς, καὶ τοῖς σωντετριμμένοις τὴν καρδίαν. ὡσαύτως γὰρ τοῖς ἀσθενεῖς καὶ σαθροῖς, καὶ τῆς αὐτοῦ θεραπείας δεομένοις οὐ προσέφη, οὐδὲ μετανοοῦντας κατακρίνων σωέτριβεν· οὕτως οὐδὲ τοῖς τῆς κακοῦς ὀπιμηνοντας, καὶ τοῦ τῶν παθῶν τυφλοῦς ἐσβέννυε, κωλύων πρὸς τὴν αὐτῶν προαίρεσιν ἐνεργεῖν. οὐδὲ μὴν πρὸς καιρὸν ἐλυμορφώτο ἵνα τούτων, τὴν κατ' ἀξίαν αὐτῶν
» κόλασιν εἰς τὸν τοῦ καθόλου κρίσεως καιρὸν ὑποβάλῃ θεμένος. διὸ λέλεκται, καὶ λίνον τυ-
» φόμενον οὐ σβέσει. ἀλλ' ἵκρις δὲ πέρας εἴληφε δ, καὶ ἐν ᾧ ὀνόματι αὐτοῦ ἔθνη ἐλ-
» πιοῦσιν. ὀπὴ μόνῳ γοῦν ᾧ τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ὀνόματι ἤλπισε τὰ χριστιανῶν ἔθνη, τὴν ἐπωνυμίαν αὐτοῦ ὡς παθῶν ἧς προφήσαιν δυσεβείας ὀπιγραφόμενα. καὶ γὰρ εἰς φῶς ὁδὸν ἄλλοις, ἢ τοῖς ἔθνεσι δεδόσθαι προεφώνηται, δι' αὐτοῦ τε, τῇ προρρήσει ἀκολούθως, ὀφθαλμοὶ τυφλῶν τῶν πάλαι τὴν σκότωσιν πεπηρωμένων, καὶ ὄ μόνον τούτων, ἀλλὰ δὲ τὸ αὐτὸ σῶμα πεφανισμένων, καὶ οἱ δεσμοῖς τε καὶ σφραγῖς ἀμυήτων, ἐν σκότει καὶ ἀγνοίᾳ τὸ ἀληθοῦς δυσεβοῦς ὄντων κεκλινδημένοι, δι' αὐτοῦ τῶν ἁμαρτιῶν λυθέντες, τοῦ φωτὸς τῆς γνώσεως, καὶ τῆς τοῦ θεοῦ ἀληθείας πεπείσονται. καὶ σὺ ὅτι χολῆς τοῖς ἀποδεδομένοις ἀκολούθως βασανίσας τὸ λέξιν, ὅτι μόνῳ δὲ ὕδατος τοῦ κυρίου καὶ σωτῆρι ἡμῶν ἕκαστον ἀκριβῶς τῶν δι' αὐτοῦ δηλουμένων πεπληρωμένων.

Ἀπὸ τοῦ αὐτοῦ.

Περὶ τοῦ μὴ πιστεύσαν εἰς αὐτὸν ὃν τῶν ἰουδαίων λαόν.

Ἔ ἴδον ὃν κύριον καθήμενον ὅτι θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ σεραφεὶμ εἱστήκει-
» κειν κύκλῳ αὐτοῦ. εἶτα ἐπιβαὰς φησι, καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος, ἵνα
» ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ εἰμι, ἀπό-
» στειλόν με. καὶ εἶπε, πορεύθητι, καὶ εἰπὲ πρὸς λαὸν τοῦτον, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆ-
» τε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου,
» καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσε, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσε, μή ποτε
» ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι,
» καὶ ἰάσομαι αὐτούς. ἔχεις καὶ τούτων τὸ ἀποτέλεσμα ὅτι τοῦ σωτῆρος λέγων, καὶ μὴ τὸ
» ἰωάννου φήσαντα, τοσοῦτο δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ
» ἐπίστευσαν εἰς αὐτόν, ἵνα ὁ λόγος ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε, κύριε,
» τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ
» ἠδύναντο πιστεύειν· εἶπε γὰρ πάλιν ἡσαΐας, τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ
» ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρ-
δίᾳ,

» δία, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Ταῦτα εἶπεν ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν
» αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ· κατὰ δὲ τὸν ματθαῖον, ὅτε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶ-
» πον αὐτῷ, διατί ἐν παραβολαῖς αὐτοῖς λαλεῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν, ὑμῖν δέδο-
» ται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, ἐκείνοις δὲ οὐ δέδοται. διὰ τοῦτο ἐν παραβο-
» λαῖς αὐτοῖς λαλῶ, ἵνα βλέποτες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ ἀκούωσι, μή-
» ποτε ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. τότε ἐπληρώθη ἐπ' αὐτοῖς ἡ προφητεία
» ἡσαΐου ἡ λέγουσα, πορεύθητι, καὶ εἰπὲ τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ
» συνῆτε. καὶ τὰ τούτοις ἑξῆς. ἐπιτήρει δὲ τίνα τρόπον ὁ ἰωάννης ἐπάγει λέγων, ταῦτα
» εἶπεν ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ, ὡς τὸν χριστὸν ἑωρα-
» κότος καὶ τὴν χριστοῦ δόξαν τοῦ προφήτου, κατὰ τὴν ὀπτασίαν ἐν ᾗ ἔφησεν, εἶδον τὸν κύ-
» ριον καθαιρὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ τὰ ἑξῆς. τίς δ' οὐκ ἂν ἐκπλαγείη τὴν προῤῥησιν, ἐναργῶς οὕτως εἰσέτι νῦν ὁρῶν τῶν ἐκ περιτομῆς τὴν εἰς χριστὸν ἀπιστίαν; καὶ πάλαι μὲν γὰρ ἐναν θρωποῦντα καὶ παραδοξοποιοῦντα ἐναυτοῖς ὁρῶντες αὐτὸν, ὀφθαλμοῖς ψυχῆς καὶ διανοίας ὄμμασιν οὐκ ἐθεῶντο, οὐδέ τις ἦν ἐν αὐτοῖς νοερᾶς ἐνθυμήσεως ὅρασις, εἰς τὸ συνιέναι τίς ποτ' ἄρα ἦν ἡ τὰ τοσαῦτα καὶ τηλικαῦτα θαυματουργοῦσα ἐν αὐτοῖς δύναμις· ἀλλὰ καὶ αὐταῖς ἀκοαῖς ῥήματα ζωῆς αἰωνίου δέξασθαι κατηξιωμένοι, καὶ φωνῆς ἐνθέου σοφίας ἀκροώμενοι, ὠσὶ διανοίας οὐκ ἤκουον, ὡς ἐναργὲς τέλος ἐπαγαγεῖν αὐτοὺς τῇ προφητείᾳ. καὶ εἰς δεῦρο δὲ τὴν ἐνθεον τοῦ χριστοῦ δύναμιν, δι' ἧς πᾶν γένος ἀνθρώπων ἀποστήσας τῆς πατρίου δεισιδαιμονίας, ὑπηγάγετο τῇ κατ' αὐτὸν θεοσεβείᾳ, ἐναργῶς οὕτως ἐμφαινομένην ὁρῶντες, οὐδαμῶς ἐφιστῶσιν τῇ διανοίᾳ, οὐδ' ἐπιβαλλοῦσιν, ὅπως τὸ μήτε μωσεῖ, μήτε τοῖς μετὰ μωϋσέα προφήταις ἐπὶ μόνων αὐτῶν κατορθωθὲν, τοῦτο δὴ τὸ μὴ εἰδωλολατρεῖν, μηδὲ τῇ πολυθέῳ προσέχειν πλάνῃ, τοῦτ' ἐπὶ πάντων ἐθνῶν ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος ἀρετὴ συνεστήσατο. εἶτα δὲ ταῖς προφητικαῖς ἐντυγχάνοντες περὶ αὐτοῦ μαρτυρίαις, ἀκοῇ μὲν ἀκούουσιν, ἀλλ' οὐ συνίασιν, ἔργῳ πληρουμένης εἰσέτι καὶ νῦν κατ' αὐτῶν τῆς ἐν χερσὶ προφητείας.

Ἀπὸ τοῦ ζαχαρίου.

Ὡς ἐπὶ πῶλον ὀχούμενος εἰσέτι εἰς τὰ ἱεροσόλυμα προφητεύεται.

Χ αῖρε σφόδρα θύγατερ σιὼν, κήρυσσε θύγατερ ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρ-
» χεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον
» νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ ἐφραεὶμ, καὶ ἵππον ἐξ ἱερουσαλὴμ, καὶ ἐξολοθρευ-
» θήσεται τόξον πολεμικὸν, καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως
» θαλάσσης, καὶ ἀπὸ ποταμῶν εἰς διεκβολὰς γῆς. Ταῦτα μετὰ τὴν ἀπὸ βαβυλῶνος ἐπάνοδον τοῦ ζαχαρίου εἰς τὰ ὕστατα τῶν προφητῶν θεσπίσαντος, οὐδεὶς μετὰ τοὺς τῆς προφητείας χρόνους βασιλεὺς παρὰ ἰουδαίοις γεγονὼς ἱστορεῖται, οἷς ἡ προφητεία παρίστησιν, εἰ μὴ μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἰησοῦς χριστὸς τοῦ θεοῦ, καθ' ὃν καὶ αὕτη τέλους
» ἐτύγχανεν ἡ προῤῥησις, ὅτε τοῖς ἑαυτοῦ μαθηταῖς πρὸς λέξιν εἰπὼν, πορευθέντες
» εἰς τὴν ἀπέναντι κώμην εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένον· λύσαντες αὐτὸν
» ἀγάγετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ, τί ποιεῖτε; εἴπατε αὐτῷ, ὁ κύριος αὐτῶν χρείαν ἔχει. καὶ
» ἀπελθόντες ἐκεῖνοι ἐποίησε καθ' ἃ προσέταξεν αὐτοῖς. Τὰ μὲν οὖν τῆς προῤῥήσεως

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ τὰ τοῦ συμπεράσματος τοῦτον ἔχει τὸν τρόπον. Τί δὲ ἄρα ἐβούλετο σημαίνειν τὸ ἐπὶ ὄνῳ ὄχησις αὐτοῦ, ἀλλ' ἢ τὴν ταπεινὴν καὶ ἄδοξον αὐτοῦ παρουσίαν, καθ' ἣν ἐποιήσατο τὴν πρώτην ἄφιξιν; οὔσης γὰρ καὶ δευτέρας ἐνδόξου, περὶ ἧς καὶ δανιὴλ γυμνότερον ἐκκαλύπτων τὴν θεωρίαν εἴρηκεν, ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μυρίαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος. καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ, καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι αὐτῷ δουλεύουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. Τὰ μὲν τῆς πρώτης ἀφίξεως τῆς ἐνανθρωπικωτέρας καὶ ταπεινῆς, μετὰ τῶν ἀλλῶν καὶ τοῦτο ἔχει μέγα δεῖγμα καὶ σημεῖον, τὸ πρᾷον λέγεσθαι καὶ ἡσύχιον, ἥξειν τε ὀχούμενον ὑποζυγίῳ προφητεύεσθαι. τοῦτο γὰρ κοινοῦ καὶ ἀνθρωπίνου βίου γένοιτ' ἂν τεκμήριον. Τὰ δὲ τῆς δευτέρας καὶ ἐνθέου λαμπρότατα δηλοῦται διὰ τῆς ἐπὶ νεφελῶν οὐρανοῦ παρακομιδῆς, καὶ τῆς αἰωνίου πάντων τῶν ἐθνῶν βασιλείας. Καὶ ἦν γε καλὸν ἀμφοτέρας παραθεῖναι τοῖς ἐκ περιτομῆς, λόγον τε αὐτοὺς ἀπαιτῆσαι, πῶς ἂν σώσαιεν τὰς προφητείας, μίαν ἄφιξιν χριστοῦ προσδοκῶντες. ἐπεὶ γὰρ ἑκατέραν τῶν παρατεθεισῶν προφητειῶν καὶ αὐτοὶ τὸν χριστὸν ὁρᾷν ὁμολογοῦσιν, ὥρα λέγειν καὶ πυνθανομένοις ἡμῖν ἀποκρίνασθαι, πῶς οἷόν τε ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν, καὶ ὑπὸ μίαν ἄφιξιν, ἐπὶ νεφελῶν οὐρανοῦ φέρεσθαι τὴν αὐτὸν, καὶ ἐπὶ ὑποζυγίου καὶ πώλου νέου ὀχεῖσθαι. ἐπὶ πολὺ γὰρ ταῦτα διέστηκεν ἀλλήλων. μυρίας δ' οὖν τοιαύτας καὶ ἄλλας περὶ τοῦ χριστοῦ προφητείας συναγαγὼν, παραθεὶς τε καὶ συγκρούσας τὰ διαφόρως σημαινόμενα, ἐναργέστατα καταλήψῃ, τινὰς μὲν τῆς πρώτης αὐτοῦ παρουσίας δηλώματα περιεχούσας, πεπληρωμένας κατὰ τὴν πρώτην ἐπιφάνειαν αὐτοῦ· τινὰς δὲ εἰς τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἄφιξιν ἀναφερομένας. ἐξωλόθρευσε γὰρ λεληθότως ἅρματα, καὶ ἵππον καὶ πᾶν τόξον πολεμικὸν ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος δύναμις, κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν, ἐκ τῆς σωματικωτέρας ἱερουσαλὴμ, καὶ τοῦ καλουμένου ἐφραὶμ λαοῦ. διὸ ἐξ ἐκείνου καὶ εἰς δεῦρο οὐκ ἔτι συνέστη αὐτῶν τὸ βασίλειον, οὐδὲ ἡ πάλαι ἐν πολέμοις ἰσχύσασα παρασκευή τε αὐτῶν καὶ ὁπλιτικὴ δύναμις. καλῶς δὲ ἐν τούτοις τὸν πάντα ὧν ἰουδαίων λαὸν ἐφραὶμ ὠνόμασεν, ἀλλ' οὐχὶ ἰσραὴλ, οὐδὲ ἰούδαν, ἵνα μὴ τὰς σεμνοτέρας διαβάλλοι προσηγορίας. εὕροις δ' ἂν καὶ ἐν ταῖς ἄλλαις προφητείαις τὸ πᾶν ἔθνος ἐφραὶμ μετὰ πολλῆς διαβολῆς καὶ κατηγορίας ὠνομασμένον, ὥσπερ καὶ νῦν. μετὰ γοῦν τὴν ἀπὸ βαβυλῶνος ἐπάνοδον, μηκέτ' ὁμοίως, ὡς τὸ πρὶν, διῃρημένου τοῦ λαοῦ, τίνας ἦν εἰκὸς δηλοῦσθαι διὰ τοῦ ἐφραὶμ, ἢ αὐτοὺς τοὺς τὴν ἱερουσαλὴμ οἰκοῦντας; ὧν τὴν πολεμικὴν καὶ ὁπλιτικὴν δύναμιν μέχρι τῶν ῥωμαϊκῶν χρόνων διαρκέσασαν, ἡ τοῦ σωτῆρος ἡμῶν παρουσία ἐνθέῳ καὶ ἀπορρήτῳ δυνάμει καθεῖλεν, ὁμοίως τῇ προφητείᾳ. Ταῦτα δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν εὐαγγελίζεται ὁ λόγος, οὐχ ἁπλῶς χαίρειν, ἀλλὰ καὶ σφόδρα χαίρειν αὐτῇ παρακελευόμενος, διὰ τὴν τοῦ θεοῦ λόγου εἰς αὐτὴν παρουσίαν, ἣν καὶ θυγατέρα τῆς ἐπουρανίου σιὼν, ἢ καὶ τῆς προτέρας συναγωγῆς ἀποκαλεῖ, διὰ τὸ πάντας ἡμᾶς τοὺς ἐξ ἐθνῶν εἰς τὸν χριστὸν τοῦ θεοῦ πεπιστευκότας, γεννήματα εἶναι καὶ τέκνα

χριστοῦ,

© Centre d'Études Supérieures de la Renaissance - Tours

χριστοῦ, καὶ τῶν ἀποστόλων αὐτοῦ, οἷα ἐκ μητρὸς τῆς τῶν ἰουδαίων συναγωγῆς προεκθόντας. καὶ τὸ ἑξῆς δὲ ἐπληροῦτο ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν παρουσίᾳ. εἰρήνη γοῦν ἐξ ἐθνῶν γέγονεν ἀπὸ τῶν χρόνων τῆς ἀφίξεως αὐτοῦ, οἷα οὐδεπώποτε, οὐκ ἔτι γοῦν πόλεις πόλεσιν, ὡς τὸ πρὶν, πολεμοῦσιν, οὐδὲ ἔθνη ἔθνεσι συρράσσουσιν, οὐδ', ὡς τὸ παλαιὸν, ὁ τῶν ἀνθρώπων βίος ἀκαταστατεῖ, οὐδ' ἀθηναῖοι μὲν λακεδαιμονίοις ἐπιστρατεύονται, σύροι δὲ φοίνιξιν, ἀράβιοι δὲ παλαιστίνοις, καὶ αἰγύπτιοι τοῖς πλησιοχώροις. ἡνῶται δὲ ἐξ ἐκείνου σὺν θεῷ τὰ πάντα, καὶ ἀληθῶς πλῆθος εἰρήνης ἐξ ἐθνῶν ἐξ ἐκείνου καὶ εἰς δεῦρο γέγονεν, ἀκολούθως τῇ προφητείᾳ. μόνος δὲ ἰησοῦς, καὶ ὁ δι' αὐτοῦ κηρυχθεὶς τῆς εὐαγγελικῆς διδασκαλίας λόγος ἦρξεν ἀπὸ τῆς θαλάσσης ἕως θαλάσσης, ἀπὸ τῆς ἕω εἰς τὴν καταδυόμενον ἥλιον, καὶ ἀπὸ ποταμῶν εἰς τὰς διεκβολὰς τῆς γῆς, ἀκολούθως τοῖς ἐν τῷ προφήτῃ προλελεγμένοις. ἅπερ καὶ ὁ ἀ-
» κύλας ὧδέπως ἡρμήνευσεν εἰπὼν, καὶ λαλήσει εἰρήνην ἐν τοῖς ἔθνεσι, καὶ ἡ ἐξου-
» σία αὐτοῦ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς γῆς. ταῦτα δὲ τοῖς ἐν τῷ ψαλμῷ σύγκρινον τῷ ἐπιγεγραμμένῳ εἰς τολόμωνα, περὶ τοῦ υἱοῦ τοῦ βασιλέως, δηλαδὴ τοῦ ἐκ σπέρματος τολόμωνος προελευσομένου,
» λεγομένοις, περὶ οὗ φησιν ὁ ψαλμὸς, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θα-
» λάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. σημαίνει δὲ καὶ τὴν ἐνταῦθα
» δηλουμένην εἰρήνην ὁ αὐτὸς ψαλμὸς φάσκων, ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ
» δικαιοσύνη, καὶ πλῆθος εἰρήνης. καὶ ἡσαΐας δὲ τούτοις συντρέχει δι' ὧν φησι, καὶ συγ-
» κόψουσι μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ
» λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. εὕροις δ' ἂν καὶ μιχαίαν τούτοις συνᾴδοντα, καὶ ἄλλους πλείους τῶν προφητῶν. ἐπιστήσας δὲ, ὡς ἔφην, τοῖς χρόνοις, δυνήσῃ συνιδεῖν, ὡς ἀπὸ τῶν αὐγούστου χρόνων καὶ τῆς κατ' αὐτὸν ἐπιλαμψάσης τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας, τῆς ῥωμαίων μοναρχίας ἐπικρατησάσης, αἱ πάλαι τῶν ἐθνῶν διεκύθησαν διαστάσεις καὶ πολυαρχίαι, καὶ τόνδε ἐξ ἐκείνου τρόπον τέλους ἤρξατο τυγχάνειν τὰ τῆς προφητευομένης εἰρήνης. ἀλλὰ νῦν μὲν τέως ἤρξατο, ἔσται δὲ ὅτε πληρέστατα ἡ προφητεία συμπερασθήσεται, ἐπὰν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ τὸ πρὸς τοῦ ἱεροῦ ἀποστόλου δεδηλωμένον.

Ἀπὸ τοῦ ψαλμοῦ ριζ.

Περὶ, ὡς ἀννὰ τῷ υἱῷ δαβὶδ, ἐπιφωνήματος.

Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ
» κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. αὕτη ἡ ἡμέρα ἣν ἐ-
» ποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ὦ κύριε σῶσον δὴ, ὦ
» κύριε εὐόδωσον δή. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. θεὸς κύριος, καὶ
» ἐπέφανεν ἡμῖν. τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ εἰσελθόντος ποτὲ εἰς τὰ ἱεροσόλυμα, ὅτε κατὰ τὴν πρὸ ταύτης προφητείαν ὀχούμενος ὄνῳ τὴν ἐν τῷ ζαχαρίᾳ προῤῥ-
» ῥησιν ἐπλήρου, κατὰ τὴν θεῖον εὐαγγελιστὴν, οἱ ὄχλοι προάγοντες αὐτὸν καὶ ἀκολου-
» θοῦντες ἐπευφήμουν λέγοντες, ὡς ἀννὰ τῷ υἱῷ δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν
» ὀνόματι κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις. ὅτε καὶ εἰσελθόντος αὐτοῦ εἰς τὰ ἱεροσόλυμα
» ἐσείσθη πᾶσα ἡ πόλις λεγόντων, τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον, οὗτός ἐστιν ὁ προ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

φήτης ἰησοῦς, ὁ ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας. ἐπεὶ τοίνυν ἐκ τοῦ προκειμένου ψαλμοῦ εἴρηται, τὸ, ὡς ἀνὰ, ὅπερ ἑρμηνευθὲν δηλοῖ, σῶσον δὴ, τὸ δὲ ἑβραϊκὸν ἀννὰ ἀδωναὶ ὡς ἀνὰ, περιέχει. ἀλλὰ καὶ τὸ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ἐπεὶ δήπερ καὶ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ψαλμοῦ μετείληπτας, ταῦτα δὲ σαφῶς ἐπὶ τὸν χριστὸν τοῦ θεοῦ ἀνενήνεκται· εἰκότως εἰς αὐτὸν καὶ τὰ λοιπὰ τῆς προῤῥήσεως ἐξειλήφαμεν. οὗτος γὰρ ὢν τυγχάνει εὐλογημένος, ὁ καὶ δι' ἑτέρου προφήτου ὠνομασμένος
» ὁ ἐρχόμενος, τοῦ φήσαντος, ἔτι μικρὸν, καὶ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὃς καὶ ἐλήλυθεν ἐν ὀνόματι κυρίου τοῦ θεοῦ, καὶ πατρὸς αὐτοῦ. αὐτὸς δ' ἂν εἴη καὶ θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν. ἐν ὀνόματι γοῦν τοῦ πατρὸς αὐτοῦ ὁμολογεῖ ἐληλυθέναι λέ-
» γων πρὸς τοὺς ἰουδαίους, ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμ-
» βάνετέ με· ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. αὐτὸς δὴ οὖν ὁ ἐπιφανεὶς ἡμῖν θεὸς κύριος, ὁ εὐλογημένος, ὁ ἐλθὼν ἐν ὀνόματι κυρίου, αὐτὸς ἦν καὶ ὁ λίθος, ὃν ἀπεδοκίμασαν οἱ πάλαι πρότερον τὸν ἐκ περιτομῆς λαὸν διὰ τῆς μωσαϊκῆς διδασκαλίας οἰκοδομοῦντες, ὃς καὶ ἀποδοκιμασθεὶς ὑπ' αὐτῶν, εἰς κεφαλὴν ἑτέρας γωνίας τῆς ἐξ ἐθνῶν ἐκκλησίας κατέστη, ἣν ὡς μὴ τοῖς πᾶσιν ὁρωμένην, μόνοις δὲ τοῖς προφητικοῖς ὀφθαλμοῖς, θαυμαστὴν εἶναί φησιν ὁ λόγος φά-
» σκων, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. τὴν δὲ ἐπιφάνειαν αὐτοῦ πάλιν ἡ-
» μέραν ὀνομάζει, ἣν ἐποίησεν ὁ κύριος, ἐπεὶ καὶ φῶς ἦν αὐτὸς τὸ ἀληθινὸν, καὶ ἥλιος δι-
» καιοσύνης, καὶ ἡμέρα τοῦ θεοῦ, ἐν ᾗ γένοιτο καὶ ἡμᾶς εἰπεῖν, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν
» ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. καὶ τούτων δὲ οὕτω συντετμη-
» μένων τὸν τρόπον, καιρὸς καὶ ἐπὶ τὰς περὶ τοῦ πάθους αὐτοῦ μεταβῆναι προφητείας.

Τάδε ἐνέστιν ἐν τῷ δεκάτῳ συγγράμματι τῆς περὶ τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς ἀποδείξεως.

Περὶ τοῦ ἰούδα τοῦ προδότου, καὶ τῆς σὺν αὐτῷ κατὰ τοῦ χριστοῦ γενησομένης συσκευῆς, ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν.

α' Απὸ τοῦ ψαλμοῦ μ'.
β' Απὸ τοῦ ψαλμοῦ νδ'.
γ' Απὸ τοῦ ψαλμοῦ ρη'.
δ' Απὸ τοῦ ζαχαρίου.
ε' Απὸ τοῦ ἱερεμίου.

Περὶ τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

ϛ' Απὸ τοῦ ἀμώς.
ζ' Απὸ τοῦ ζαχαρίου.
η' Απὸ τοῦ ψαλμοῦ κα'.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Προοίμιον.

Επὶ ταῖς ἀποδεδομένοις τοῦ ῥήσεως περὶ τῆς εἰς ἀνθρώπους ἀφίξεως τοῦ κηρυττομένου θεοῦ, καλῶς ἂν ἔχοι καὶ τὰ περὶ τῆς ἀπαλλαγῆς τοῦ ἐξ ἀνθρώπων αὐτοῦ βίου διεξελθεῖν, σωιδεῖν τε αὖθις οἷα συμβήσεται περὶ αὐτῶν ἀνθρώπων ἐκ τῶν τοῦ φυτικοῦ ἐθεασάμεθα χρόνων. τοῦτο δὲ διελθόντα τὰ περὶ τὸν θάνατον αὐτοῦ συσκιαγραφηθέντα, μέρος ἂν μικρὸν τοῦ χρόνου τὰ πολλάκις λιμὴν εἰρηνικὸν τοῦ κειμένου τοῦτο λόγου τὰ πολλάκις λιμὴν εἰρήνης

λογίων αὐτῶν ἐφαψώμεθα, περὶ τῆς ἰούδα τοῦ προδότου, καὶ τῶν σὺν αὐτῷ κατὰ τοῦ χριστοῦ γενομένης συσκευῆς, περί τε τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

Ἀπὸ ψαλμοῦ μ'.

Περὶ ἰούδα τοῦ προδότου, καὶ τῶν σὺν αὐτῷ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν συσκευασαμένων.

Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος.
» κύριος διαφυλάξαι αὐτὸν, καὶ ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παρα-
» δῶ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ,
» ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἴα-
» σαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖ-
» ται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία
» αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ· ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. κατ' ἐμοῦ
» ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. μὴ ὁ κοιμώμενος
» οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα,
» ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. σὺ δὲ κύριε ἐλέησόν με, καὶ
» ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ
» ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβε-
» βαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. ἐπειδὴ τινὲς ὑπειλήφασιν τὴν βίβλον τῶν
ψαλμῶν ὕμνους μόνον εἰς θεὸν, καὶ ᾠδὰς θεολογικὰς περιέχειν, οὐ μὴν καὶ προ-
γνώσεις, οὐδὲ μελλόντων προφητείας, τοῦτο πρῶτον ἐπιτηρητέον, ὡς μυρία θε-
πίζεται δι' αὐτῶν, ἃ καὶ μακρὸν ἂν εἴη συναγαγεῖν ἐπὶ τοῦ παρόντος, ἀρκεῖ δὲ
χρήσασθαι εἰς μαρτυρίαν τοῦ λόγου δύο ψαλμοῖς * ἐπιγεγραμμένως δὲ κατὰ τὸν
δαβὶδ χρόνους. τὸ τηνικαῦτα γὰρ εἷς τῶν ἱεροψαλτῶν ὁ ἀσὰφ τυγχάνων, ὡς ἐν τῇ
βίβλῳ φέρεται ὧν παραλειπομένων, τοὺς ἐπιγεγραμμένους αὐτὸν ψαλμοὺς θείῳ
πνεύματι προσεφώνησε. τί δὴ οὖν περιέχουσιν οἱ ψαλμοί; προῤῥήσεις τῆς πολιορ-
κίας τῆς βασιλικῆς πόλεως τοῦ ἰουδαίων ἔθνους, ἥτις γέγονεν ἐγγύς που πεντακοσίοις
ἔτεσι μετὰ τὴν προῤῥησιν. λέγει δ' οὖν ὁ ἑβδομηκοστὸς τρίτος ἐπιγεγραμμένος
» συνέσεως τῷ ἀσὰφ, ἵνα τί ἀπώσω ὁ θεὸς εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρό-
» βατα νομῆς σου; μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβ-
» δον κληρονομίας σου. ὄρος σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ, ἔπαρον τὰς χεῖράς
» σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις
» σου, καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. ἔθεντο τὰ σημεῖα αὐτῶν
» σημεῖα, καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξ-
» έκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ, ἐν πελέκει καὶ λαξευτηρίῳ κατέῤῥαξαν αὐ-
» τήν. ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ
» ὀνόματός σου. ταῦτα μὲν ὁ ἑβδομηκοστὸς τρίτος ψαλμός. καὶ ὁ ἑβδομηκοστὸς δὲ ὄγδοος
» τοῦ ἀσὰφ καὶ αὐτὸς τυγχάνων, τάδε περιέχει, ὁ θεὸς εἰσήλθοσαν ἔθνη εἰς τὴν κλη-
» ρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. ἔθεντο ἱερουσαλὴμ ὡς ὀπωροφυλά-
» κιον, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς

σάρκας

© Centre d'Études Supérieures de la Renaissance - Tours.

» ἄρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Τούτων δὲ τὰ μὲν πρῶτα, λέγω δὲ τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ τρίτου ψαλμοῦ, εἴρητο βασιλεύοντος ἔτι τοῦ δαβίδ, πρὸ τοῦ τὸν ναὸν ὑπὸ Σολόμωνος κατασκευασθῆναι· τέλους δὲ ἔτυχεν οὐκ ἄλλοτε, ἢ πρῶτον μὲν ἐπὶ τῆς βαβυλωνίων πολιορκίας· δεύτερον δὲ ἐπὶ τοῦ ῥωμαϊκοῦ πρὸς ἰουδαίους πολέμου. ἕκαστα γὰρ τῶν εἰρημένων ἐπληροῦτο ἐπί τε τῆς πρώτης καὶ δευτέρας τοῦ ἱεροῦ κατασκαφῆς, προγνωσθέντα καὶ ἀναφωνηθέντα ἐν τοῖς εἰρημένοις ψαλμοῖς ὑπὸ τοῦ ἀσάφ. τὰ δὲ δεύτερα ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου, ἐπληροῦτο κατὰ τοὺς ἀντιόχου χρόνους, τοῦ κληθέντος ἐπιφανοῦς, ὃς τῆς συρίας βασιλεύσας, ὑπάγεται μετὰ τὰ ἱεροσόλυμα, μιαίνει δὲ τὸν ναὸν, καὶ καθαιρεῖ τὸ θυσιαστήριον, ἔπειτα τοὺς ἰουδαίους ἑλληνίζων, πλείστους ὅσους αὐτῶν ἄνδρας καὶ γυναῖκας ὑπὲρ τοῦ οἰκείου νόμου καὶ τῆς πατρῴας εὐσεβείας ἀνῄρει, ποικίλαις προαικιζόμενος τιμωρίαις. εἰς ἐκεῖνον τοιγαροῦν τὸν καιρὸν, καὶ εἰς τοὺς μετὰ ταῦτα τῷ ἀντιόχῳ τὰ ἴσα πράξαντας, ἀναφωνεῖ ὁ ἀσάφ τὸ ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου ψαλμοῦ. μάρτυρεῖ δὲ ᾧ λόγῳ ἡ τῶν κα-
» λουμένων μακκαβαίων γραφὴ, τοῦτον ἔχουσα τὸν τρόπον, καὶ προσεπισυνήχθη εἰς
» πρὸς ἰάκειμον καὶ βακχίδην συναγωγὴ γραμματέων ἐκζητοῦσα δίκαια. καὶ
» ἑξῆς ἐπιλέγει, καὶ ὤμοσεν αὐτοῖς λέγων, οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν, καὶ τοῖς φί-
» λοις ὑμῶν· καὶ ἐνεπίστευσαν αὐτῷ· καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀ-
» πέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ, κατὰ τὸν λόγον ἀσὰφ ὃν ἔγραψεν, ἔδωκαν τὰ θνη-
» σιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, ἄρκας ὁσίων σου τοῖς
» ζώοις τῆς γῆς, αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.
Τούτων οὕτω προῤῥηθέντων καὶ ἀποτελεσθέντων, οὐ θαυμαστὸν εἰ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ προεκτεθέντα τοῦ τεσσαρακοστοῦ ψαλμοῦ λόγια σημαίνει τὰ μέλλοντα ἔσεσθαι κατὰ τὸν τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς χρόνον, ἅπερ μὴ πάντων ἀνθρώπων συνιέντων, ὅπως λόγος ὢν θεοῦ, καὶ σοφία καὶ ζωὴ, καὶ φῶς ἀληθινὸν, καὶ πάντα πλοῦτον ἀγαθῶν κεκτημένος, δι' ἡμᾶς ἐπτώχευσε ἄρκα λαβὼν, καὶ τοῖς τὸ γένος θνητοῖς ἀνθρώποις καὶ πτωχοῖς ὁμοιωθεὶς, μορφήν τε δούλου καὶ πένητος ἀνειληφὼς, καὶ μάλιστα κατὰ ὃν καιρὸν ἐπλήρου τὴν ἀπὸ τοῦ ψαλμοῦ προφητείαν, εἰκότως ἐν ἀρχῇ τοῦ ψαλμοῦ μακαρίζεται ὁ ταῦτα περὶ αὐτοῦ συνιεὶς, ἐπαγγελίας τυγχάνων τῆς ἀναγεγραμμένης. εἶτα ἑξῆς ἐκ προσώπου λοιπὸν δὴ τοῦ πένητος, καὶ
» πτωχοῦ, αὐτοῦ δηλαδὴ τοῦ δι' ἡμᾶς πτωχεύσαντος σωτῆρος ἡμῶν, ἐπιλέγεται, ἐγὼ
» εἶπα, κύριε ἐλέησόν με. ὅτι δὲ ἐκ προσώπου τοῦ σωτῆρος τὰ ἐν τῷ ψαλμῷ
» θεσπίζεται, αὐτάρκης μάρτυς ὁ εὐαγγελιστὴς ἰωάννης τυγχάνει. ἱστορεῖ γὰρ ὅτι λαβὼν
» ὁ ἰησοῦς ποτε λέντιον περιεζώσατο, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ εἶπεν,
» ἐγὼ οἶδα οὓς ἐξελεξάμην. ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν
» ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. ποίαν γὰρ πεπληρῶσθαι γραφὴν ἐν τούτοις
» ἐδήλου, ἀλλ' ἢ τὴν τοῦ μετὰ χεῖρας ψαλμοῦ ἐν ᾧ εἴρηται, καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου
» ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνε ἐπ' ἐμὲ πτερνισμόν; φησὶν οὖν ἀρ-
» χόμενος, ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. καὶ δι'
» ὅλου τοῦ ψαλμοῦ. ἅπερ σαφέστερον ὁ σύμμαχος τοῦτον ἐξέδωκε τὸν τρόπον, ἐμοῦ
» λέγοντος, κύριε οἰκτειρόν με, ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι, οἱ ἐχθροί μου

BBb.i.

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἔλεγον περὶ ἐμοῦ κακά, πότε ἀποθάνῃ, καὶ ἀπολῆται τὸ ὄνομα αὐτοῦ; καὶ εἰσερχόμε-
» νος ὑπισκέψασθαι, μάταια ἐλάλει ἡ καρδία αὐτοῦ. ἠθροίζεν ἀδικίαν ἑαυτῷ. ἐξερχό-
» μενος δὲ ἔξω κατελάλει. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές
» με, περὶ ἐμοῦ ἐνεθυμοῦντο κακά μοι. λόγος παράνομος ἐκκέχυται ἔνδον αὐτῶν, καὶ
» πεσὼν οὐκέτι ἀναστήσεται. ἀλλὰ καὶ ἄνθρωπος, ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν,
» σιτευθίων μου ἔφαγον ἐμόν, καὶ ἐμεγαλύνθη μου. ἀκολούθησον, σὺ δὲ κύριε οἰκτειρόν
» με, καὶ ἀνάστησόν με, ἵνα ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ γνώσομαι ὅτι θελήσεις, ἐὰν μὴ
» καταγελάσῃ ὁ ἐχθρός μου. ἐμοῦ δὲ ἕνεκα τῆς ἀπλότητα, ἀντέσχου, καὶ παρέστησάς
» με ἔμπροσθέν σου εἰς αἰῶνος. ἐυδόκησα μεῖ δὲ θεὸς τοῦ συμμάχου καὶ τοῦ ἀκόλου-
θου. πρῶτον οὖν περὶ τοῦ δοκεῖν ἀπεμφαίνειν ἐκ προσώπου τοῦ σωτῆρος ἡμῶν τὸ εἰ-
» ρημένον τὸ, ἵασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι, τηρήσῃς τὸ παρὰ τοῦ συμμά-
» χου μὴ οὕτως ἔχον, ἀλλὰ, ἵασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι. καὶ οὕτως δὲ τοῦτό
» φησιν, ὅτι ἀφ' ἑαυτῆς ἰδιοποιεῖ εἰς ἑαυτὸν ἁμαρτίας. διὸ λέλεκται, καὶ κύριος
» παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. ἐκ, αὐτὸς ἁμαρτίας ἡμῶν φέρει. γέγονε
γοῦν ὑπὲρ ἡμῶν κατάρα, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἂν
καὶ μὴ γνόντα ἁμαρτίαν ὁ θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἀντίψυχον ὑπὲρ
πάντων ἡμῶν παρέμενος αὐτὸν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.
ἀλλ' ἐπεὶ καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος κατέκρινε τὴν ἁμαρτίαν ἐν
τῇ σαρκὶ, εἰκότως παρέφερεται καὶ ἐκ μέρους. ὅτι δὲ ταῖς ἡμετέραις ἁμαρτίαις ἀλλοι-
κειούμενος, διὰ τὴν παρὰ ἡμᾶς ἀγάπην καὶ φιλανθρωπίαν, ταῦτά φησιν, ἐξῆς
» ὑποκαταβαίς ἐν αὐτῷ ὡς ψαλμῳδὸς ὑπιφέρει, λέγων, ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν
» αὐτελάβου. σαφῶς τὸ ἀπειρήκειν τοῦ θεοῦ πρίσεις. πῶς δὲ ταῖς ἡμε-
» τέραις ἁμαρτίαις ἀλλοιουῦται, καὶ πῶς φέρειν λέγεται ταῖς ἀνομίαις ἡμῶν, ἢ καθ' ὃ
» σῶμα αὐτοῦ ἐσμεν λεγόμεθα; κατὰ τὸν ἀπόστολον φήσαντα, ὑμεῖς δέ ἐστε σῶμα χριστοῦ,
» καὶ μέλη ἐκ μέρους· καὶ καθ' ὃ πάσχοντος ἑνὸς μέλους συμπάσχει πάντα τὰ μέλη, οὕ-
τω τὴν πολλῶν μελῶν παθόντων καὶ ἁμαρτανόντων, καὶ αὐτὸς κατὰ τοὺς τῶν συμπα-
θείας λόγους· ἐπειδὴ καθ' ὑπόκρισιν θεοῦ λόγος ὤν, μορφὴν δούλου λαβὼν, ἐν ᾧ κοι-
νῷ πάντων ἡμῶν σκηνώματι σεσαφήνικε τοὺς τῶν παθόντων μελῶν πόνους εἰς
ἑαυτὸν ἀναλαμβάνει, καὶ ταῖς ἡμετέραις νόσοις ἰδιοποιεῖται, καὶ πάντων ἡμῶν ὑπομέ-
νει καὶ ὑποφέρει, κατὰ τοὺς τῆς φιλανθρωπίας νόμους. οὐ μόνον δὲ ταῦτα παρέξας ὁ
ἀμνὸς τοῦ θεοῦ, ἀλλὰ καὶ ὑπὲρ ἡμῶν κολασθεὶς καὶ δικαιωθεὶς ὑποφαίνει, ἵνα αὐτὸς μὲν
οὐκ ὤφελεν, ἀλλ' ἡμεῖς τοῦ πλήθους ἕνεκεν τῶν πεπλημμεληκότων, ἡμῖν αἴτιος τῆς
τοῦ ἁμαρτήματος ἀφέσεως καταστῇ, ἅτε τοῦ ὑπὲρ ἡμῶν ἀναδεξαμένου θάνατον, μάστιγάς
τε καὶ ὕβρεις καὶ ἀδικίας ἡμῶν ἐποφλομένου εἰς ἑαυτὸν μεταθεὶς, καὶ τοῦ ἡμῶν κατα-
δικασθέντος κατάραν ἐφ' ἑαυτὸν ἕλκυσας, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. καὶ ἵ-
» νά δὲ λόγος, ἢ ἀντίψυχον; διὰ φησὶν ὀξὺ ἡμετέρου προσώπου τὸ λόγιον, τοῦ μέλλοντι
» αὐτὸν ἡμεῖς ἰάσασθαι μᾶλλον, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, ὥστε εἰκό-
τως ἐνδὺς ἑαυτὸν ἡμῖν, ἡμᾶς τε αὐτῷ, καὶ τὰ ἡμέτερα πάθη ἰδιοποιούμενος, φησὶν,
» ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἵασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. ὁρῶν ταῖς ὑπὲρ εἰκότως
τοὺς ὑπερβουλεύοντας οὐ μόνον αὐθέκτους, ἀλλὰ καὶ ἀορασίους δυναμένους τὴν ὑπὲρ
δικαίου ἐμοῦ αὐτοῦ τὴν ἡδὺν παρρησίας καὶ τὸ ὄνομάζος, διὰ μικρὸν ὕστερον χρισα-
νῶν

ῶν τ̃ παᾶ ϛ κατέπλησεν οἰκου μήτου, σϐέσῃ αὐτὴν οἶμαι ὑπειληφέναι, εἰ τὰ ϖερὶς
» θανάτου ὑπεβουλεύσαμεν αὐτ̣ῷ. τοῦτο δὴ οὖν αὐτὸ διελέγχῃ φάσκων, οἱ ἐχθροί μου
» εἶπόν μοι κακά, πότε ἀποθάνῃ καὶ ἀπόληται τὸ ὄνομα αὐτοῦ; ἐπεὶ δὲ καὶ ὑποκρινόμενοι ϖερισήεσθαι πειράζοντες ὅπως αὐτὸν παγιδεύσωσιν, ὡς ἡ θεία γραφὴ μάρτυρς, μήποτε μήτας αὐτοῖς ϖερφάσῃς καὶ καθηγεῖας κατ' αὐτοῦ συσκιάζεσθαι ἰσορρόσα, τούτων ἕνεκα ὑπελέγχῃ, καὶ εἰ εἰσπορεύεται τὴν ἰδεῖν, μάτην ἐλάλῃ ἡ καρδία αὐτ̃, σωνήγαγεν ἀνόμιαν ἑαυτῷ. ἐξεπορεύετο ἔξω καὶ ἐλάλῃ ὑπὲρ τοῦ αὐτὸν κατ' ἐμοῦ. ἐξῆς ὴ τούτοις ἤδη σαφῶς ἐμφαίνῃ καὶ αὐτὸν σκῆνον τὸν δυσεβέσατον ϖερὶ τοῦ τίνα, ὑπ̃ σωνέβαινεν μὴ ἂς πεποίηται ζωὴν ἐκ τῶν ἐχθρῶν τῶν ἰουδαίων ϖερὶ ἧς τ̃ διδασκάλου ϖερὶ δόσιας, μηκέτ' ἀπέχεσθαι αὐτὸν σωνήγεν ὑπὲρ τοῦ τῶν θείων μαθημάτ̃ διδασκαλίαν, μηδ' ὡς ϖερὶ διδάσκαλον φοιτᾶν, μηδ' ὁμοίως τοῖς ἑτέροις ϖερὶ τὴν τ̃ σωτῆρος ἀφικνεῖσθαι, ἀλλ' ὑπὲρ τοῦ καθαίρειν καὶ θεραπεύειν καιρὸν, ὅτε δέοι ὑπὲρ θέσθαι αὐτ̣ῷ. τοῦτο δ' οὖν ἐκ καθηγορᾶ
» τοῦ ϖερὶ τῶν ἱερῶν ἀναγελιστῶν, ὧν ὁ μὲν ματθαῖός φησι, τότε πορευθεὶς εἷς τ̃ δώδεκα, ὁ λεγόμενος ἰούδας ἰσκαριώτης, ϖερὶς τοὺς ἀρχιερᾶς, εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν ϖαραδώσω αὐτόν; οἱ δὲ ἔσησαν αὐτῷ τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν ϖαραδῶ αὐτοῖς. ὁ δ̃ μᾶρκος, καὶ ἰούδας ὁ ἰσκαριώτης εἷς τ̃ δώδεκα ἀπῆλθεν ϖερὶς τοὺς ἀρχιερᾶς, ἵνα αὐτὸν ϖαραδῶ αὐτοῖς. οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγείλαντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει πῶς αὐτὸν εὐκαίρως ϖαραδῶ. ὁ δ̃ λουκᾶς γράφῃ λέγων, εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς ἰούδαν τὸν ἐπικαλούμενον ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν σωνῆλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ τοῖς στρατηγοῖς τοῦ ἱεροῦ, ἵνα αὐτὸν ϖαραδῶ αὐτοῖς. καὶ ἐχάρησαν, καὶ σωνέθεντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει εὐκαιρίαν τοῦ ϖαραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. ταῦτα δὴ οὖν αὐτὰ θεασάμεθα καὶ μ̃ χεῖρας ϖεῤῥήσεις ὑπελέγχῃ, ϖῶς εἰ εἰσπορεύεται τὴν ἰδεῖν, μάτην ἐλάλῃ ἡ καρδία αὐτ̃, σωνήγαγεν ἀνόμιαν ἑαυτῷ. ἐξεπορεύετο ἔξω, καὶ ἐλάλῃ ὑπὲρ τοῦ αὐτ̃. κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου. ὁ ϑεὸς σύμμαχος, εἰσερχόμενος, φησὶν, ὑπισκοπῆσαι, μάταια ἐλάλῃ ἡ καρδία αὐτ̃, ἠθροιζεν ἀδικίαν ἑαυτῇ. ἐξερχόμενος δὲ ἔξω κατελάλῃ. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με. μόνος μὴν οὖν ὡς δ̃ γνώριμος καὶ μαθητὴς ϖαρὰ διδάσκαλον εἰσιὼν, ϖερισκόπει καὶ κατεμάθανεν, εἰ δον ὑπὲρ τ̃ ἑαυτ̃ καρδίας κρύπτων τὴν ὑπουλίαν. ἐξιὼν δὲ, μ̃ πλέονων ὁμοθυμαδὸν καὶ ὑπὲρ τοῦ αὐτὸ κατελάλῃ, τοῖς ἐχθροῖς ϖαραδιδοὺς τὸν σωτῆρα, καὶ σωνπατόμενος τοῖς τῶν ἰουδαίων ἀρχιερεῦσι λελησότως ϖερὶ ἑτέρων, οὐ μὴν ἀλλὰ καὶ ϖερὶ τῶν χεν μ̃, ἐφ' οἷς ϖαραδώσῃ αὐτὸν ὑπισχνῆτο, ϖερὶ ὧν μετ' αὐτῶν ἐκείνων ἐψιθύριζε. δ̣ὸ φησὶν, ἐξεπορεύετο ἔξω, καὶ ἐλάλῃ ὑπὲρ τοῦ αὐτ̃. κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ λογίζοντο κακά μοι. λόγον ϖαράνομον κατέθεντο κατ' ἐμοῦ. ἔοικε δὲ τὸν σωνπαλὼ τὸν ϖερὶ τῶν ἀργυρίων, λόγον ϖαράνομον διὰ τ̃ ϖερηφανείας ὀνομάζῃ· ἢ καὶ ὅτι ἀσεβῆ καὶ ϖαράνομα κατ' αὐτοῦ διενοοῦντο, ὡς ἂν σὲ ϑανατώσωσι καὶ διαφθαρτώσωσι μ̃ ὄν θανάτου, ϖῶς μηκέτι ζῶσιν ἐξεταϑανατώσωσι. τοιοῦτον γὰρ ὄντι ὁ, μὴ ὁ κυριώτατος οὐκὶ ϖερὶ ϖολοῦ τῶ ἀνάξιον; ὅσῳ

» λυπότερον ὁ σύμμαχος ὀξέφωνεν εἰπών, καὶ πεσὼν ὡκέτ' ἀνέστη); ὁ δ' ἀκύλας
» φησίν, καὶ ὃς δὴ κοιμηθῇ, οὐ προσθήσῃ τοῦ ἀναστῆναι; καὶ ταῦτα ἔτι κοινῶς περὶ
πάντων εἴρηται τῶν ἁγίων· καιρὸν δὲ πάντως ὑπιβεβουλευκότων αὐτῷ· ἰδίως δ' πά-
» λιν περὶ τοῦ προδότου, ὡς δὴ περὶ μαθητεύσαντος αὐτῷ, ἐξῆς ὑπιφέρῃ λέγων, καὶ
» γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυ-
» νεν ἐπ' ἐμὲ πτερνισμόν. ἀνὴρ δὲ πάλιν ὁ σύμμαχος, καὶ ἄνθρωπος, φησίν, ὃς εἰρή-
» νευέ μοι, ᾧ ἐπεποίθην, σιτευσάντων μοι ἄρτον ἐμόν, καὶ τεμεγαλυνθη μου. χείριστος
γὰρ ἀληθῶς ἀπάντων καὶ ἀναρνέσασθος ὁ μετὰ κοινωνῶν τραπέζαις ἐπὶ τοῦ ἐν λόγοις τοῦ
διδασκάλου ἔφυ, ὅτι τὰ χείρω βαπτεὶς, καὶ τοῖς ἀναιδίοις ὄν ἀνεγκέτευν ἀνταπε-
» μειφάμενος. ἀλλ' ἐπειδήπερ ὑπιβουλεύοντες οἱ ἐχθροὶ ἔλεγον, πότε ἀποθανῇ καὶ
» ἀπολῇ τὸ ὄνομα αὐτοῦ; φόνου τε κοινωνήσαντα μηκέτ' ἀναστήσεσθαι, τούτου χά-
ριν αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἱλεώς τοῖς ἀναιδίοις τούτοις ἀνθρώποις, καὶ τῆς ἀναστάσεως
» ἀκωλύτως τυχεῖν ἀξιοῖ τὸν πατέρα, φησί, σὺ δὲ κύριε ἐλέησόν με, καὶ ἀνάστησόν
» με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ὑπιχα-
» ρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. καὶ προδηλόν γε τίνα ἔσπον μετὰ τὸν ἐκ νεκρῶν ἀνάστα-
σιν αὐτοῦ, πρόσχημα καὶ σκιὰν εἰς μακρὰν μετῆλθε τοὺς ὑπιβεβουλευκότας αὐ-
τῷ ἡ ἀνταπόδοσις, ὅπως τε ὁ ἐχθρὸς αὐτοῦ ζωῆς τυγχάνοντος, θάνατος καθηκμάσθη,
» ὥστε τοὺς ἐπονειδίζοντας εἰπεῖν, ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου θάνατε τὸ νῖκος;
ἐντυχὼν δὲ ἡμῖν ταῖς μετὰ τὸν ἀνάστασιν τοῦ σωτῆρος ἡμῶν ἰσοτιμίαις ὡς ἰωσήπου γρα
φείσας, εἴσεται τὰς μετελθούσας τὸ ἰουδαίων ἔθνος, καὶ τοὺς ἄρχοντας αὐτῶν συμ
φορὰς, ἃς εἰκότως περιπεπόνηκαι, τὰ ὑπιχθέντα ὧν εἰς αὐτὸν ἐδρασθη ἀπολαμ-
βάνοντες. καὶ ταῦτα μὲν εἰς ἐκείνους ἐπληρώθη τὰ πρώτα, κατὰ τὸν ἐῤῥήθην. τοῦ
δὲ σωτῆρος ἡμῶν ἡ ἐκ νεκρῶν ἀνάστασις, διέδειξε τοῖς πᾶσιν, ὅπως ἐν αὐτῷ ἐδόθ-
» κησεν ὁ πατὴρ, ὃς καὶ αὐτὸς διδάσκει λέγων, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταπο-
» δώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ὑπιχαρῇ ὁ ἐχθρός μου ἐπ'
» ἐμοί. τούτοις ὑπιλέγει, ἐμοὶ δὲ διὰ τὴν ἀκακίαν μου ἀντελάβου. καὶ τήρδε ἵνα ἔσ-
πον αὐτῶν τῶν λεῶν καὶ πατρὶ αὐτοῦ τῷ ἐμῷ ἀνάπεμπτον, ὅτι τοσαύτη τεθάῤ-
» ῥηκε παῤῥησία, ὡς ἀκακίαν ἑαυτῷ μαρτυρῆν, καίτοι ἀνωτέρω φήσας, ἴασαι τὴν
» ψυχήν μου, ὅτι ἥμαρτόν σοι. ἀλλὰ τὸ μὲν ἱλέμαρτόν σοι, οἵαις ἔχει διανοίας πρὸς
» διάφαμεν. καὶ ὁ σύμμαχος ὃν καθέστεργον πάρεσπεν εἰπών, ἴασαι τὴν ψυχήν μου,
» καὶ εἰ ἥμαρτόν σοι. ὃ καὶ αὐτὸ λέγοιτ' ἂν πρὸς τὴν ἡμετέρων ἁμαρτημάτων, ἅπερ ὁ σω-
» τὴρ καὶ κύριος ἡμῶν εἰς ἑαυτὸν ἀνεδέξατο. τὸ δὲ, ἐμοὶ γὰρ τὴν ἀκακίαν ἀντε-
» λάβου, τὴν δι' ὅλου καθαρότητα τῆς αὐτοῦ φύσεως παρίστησι, δι' ἣν καὶ ὃ ἑδράσαν
» καὶ ἀσθενὲς τῆς ζωῆς, καὶ ἧς μετὰ τὴν ἀνάστασιν αὐτοῦ σωτηρίας διδάσκων ὑπιλέγει, καὶ ἔβε
» βαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. ἵλεως καὶ πρόσχημά με ἔμπροσθέν σου δι'
» αἰῶνος, κατὰ τὸν σύμμαχον.

Ἀπὸ τοῦ ψαλμοῦ νθ'.

Ἐπὶ τοῖς τοῦ ἰούδα, καὶ τῶν συναὐτῷ τὴν κατὰ τοῦ χριστοῦ συσκευὴν ποιησαμένων.

Ἐνώπιόν σου ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ παρίδῃς τὰς δεήσεις μου, προσάχες μοι, καὶ

» καὶ εἰσάκουσόν μου. ἡγυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς
» ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ
» ἐνεκότουν μοι. ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ'
» ἐμέ. φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. καὶ τὰ ἑξῆς. οἷς ἐπιλέ-
» γει, καταπόντιον κύριε καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντι-
» λογίαν ἐν τῇ πόλει. ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνο-
» μία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς
» τόκος καὶ δόλος. ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγα-
» λορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνω-
» στέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθη-
» μεν ἐν ὁμονοίᾳ. τὸ, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμε-
» γαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου
» καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ὅμοιόν ἐστι τῷ, καὶ γὰρ ὁ ἄν-
» θρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπιζα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ
» πτερνισμόν, περὶ τοῦ ἰούδα ἐν τῇ πρὸ ταύτης προφητείᾳ κειμένῳ. ὥσπερ οὖν
ἐν ἐκείνῳ ἐδείκνυτο ἄνθρωπος εἰρήνης ποτὲ γεγονὼς, ὅτε τῷ σωτῆρι ἐμαθητεύε-
το εἷς καὶ αὐτὸς τοῦ τῶν ἀποστόλων ἀριθμοῦ χρηματίσας· οὕτω καὶ ἐν τῷ προ-
κειμένῳ ἰσόψυχος καὶ ἡγεμὼν καὶ γνωστὸς αὐτῷ προσαγορεύεται. καὶ πάλιν ὡς ἐν ἐ-
κείνῳ περὶ αὐτοῦ εἴρητο, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν· τὸν
» αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ παρόντος εἰς αὐτοῦ πρόσωπον λέγεται τὸ, ὃς ἐπὶ τὸ αὐτὸ ἐ-
» γλύκανάς μοι ἐδέσματα. καὶ γὰρ τῶν καταξιουμένων καὶ αὐτὸς εἷς ἦν τῆς ἀπορρήτου
πρὸς τοὺς μαθητὰς τοῦ σωτῆρος ἡμῶν ὁμιλίας τε καὶ πνευματικῆς τροφῆς. τοῖς μὲν
γὰρ ἔξω πλήθεσι καὶ τοῖς ὄχλοις ἐν παραβολαῖς ἐλάλει, μόνοις δὲ τοῖς ἑαυτοῦ μα-
» θηταῖς, ἐν οἷς καὶ ὁ ἰούδας ἐξητάζετο, ἐπέλυεν ἅπαντα. διὸ λέλεκται, ὁ ἐσθίων ἄρ-
» τους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν, καὶ, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέ-
» σματα. ἅπερ σαφέστερον ἐξέφηνεν ὁ μὲν ἀκύλας εἰπὼν, οἳ ὁμοῦ ἐγλυκάναμεν
» ἀπόρρητον. ὁ δὲ σύμμαχος, οἵ τινες ἐκοινολογούμεθα γλυκεῖαν ὁμιλίαν. ἀντὶ δὲ τοῦ,
» σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου, ὁ σύμμαχός φησιν, σὺ
» δὲ ἄνθρωπε ὁμότροπέ μοι, καὶ ἡγεμών μου, καὶ γνωστέ μου. ἐπειδήπερ τοσούτων ἠ-
» ξιωμένος φίλος ἐν τοῖς μάλιστα ἦν τοῦ σωτῆρος, εἰκότως φησὶ περὶ αὐτοῦ τὸ, ὅτι εἰ ἐ-
» χθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. καὶ τὰ ἑξῆς. ταῦτα δὲ περὶ τοῦ ἰούδα θεσπίσας, ἀ-
κολούθως τὴν ἐκ τοῦ θανάτου σωτηρίαν καὶ ἀποφυγὴν ἑαυτοῦ προδιδάσκει λέ-
» γων, ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος ἔσωσέ με. ἑσπέρας καὶ πρωῒ καὶ με-
» σημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. λυτρώσεται ἐν
» εἰρήνῃ τὴν ψυχήν μου. ὡς ἐν εὐχῇ, τὸν πρὸ τοῦ θανάτου καιρὸν σημαίνει, καθ' ὃν
καὶ ὁ ἰούδας τὰ τῆς κατ' αὐτοῦ προδοσίας συνεσκευάσατο. τότε οὖν ὁ σωτὴρ καὶ κύ-
ριος ἡμῶν, ὡς ἐπὶ ὀλέθρῳ καὶ ἀπωλείᾳ τοῦ γνωρίμου δυσφορῶν, καὶ ἔτι μᾶλλον ἐπὶ
τῇ τοῦ παντὸς ἰουδαίων ἔθνους ἀποβολῇ, ὥσπερ ἐπὶ μεμηνόσιν οἰκείοις, καὶ ὡς ἐπὶ
φιλτάτοις συμπάσχων, πᾶσαν τὴν πρὸς αὐτοὺς ὁμιλίαν καὶ διδασκαλίαν, διὰ τὸ μη-
» δὲν αὐτοὺς ὠφεληκέναι, ἀδολεσχίαν ἀποκαλεῖ φάσκων, ἡγυπήθην ἐν τῇ ἀδολεσχίᾳ
» μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. ὅτι ἐξέκλι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ναν, φησὶν, ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. ἄφρ δύναται μὲν καὶ ὑπὲ
τοὺς ἄρχοντας τῶν ἐκ περιτομῆς ἀναφέρεσθαι, τοὺς ἐμφρόνως δ' ὑπὲρ βουλομένους
ἐνεφρόνουν αὐτὸν πειρωμένους. δύναται δὲ καὶ περὶ δυνάμεων ἀοράτων ἐξωθεν
αὐτὸν περιστοιχουσῶν, καὶ τὸν δι' ἀνθρώπων καθ' ὑποκρισιν ἐνεργουσῶν λέγε-
σθαι. ἃ καὶ σωφρόνως μοι δοκεῖ τοῖς ἐν τῷ βαλανείῳ ὑπ' αὐτοῦ λελεγμένοις, κατὰ
» τὸν τοῦ πάθους καιρὸν, ὅτε λέγει τοῖς ἑαυτοῦ μαθηταῖς, περίλυπός ἐστιν ἡ ψυχή μου
» ἕως θανάτου. μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ. καὶ πάλιν, νενέκρωται ἡ ψυχή μου τε-
» τάραχται. ὅμοια γοῦν τούτοις ἐστὶ καὶ τὰ ἐν τῷ ψαλμῷ, ἐν ᾧ λέλεκται, ἐξέκαρ-
» δία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. φόβος καὶ τρόμος
» ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. δι' ὧν τὰ αὐτόκειμένων δυνάμεων τὰς κατ'
αὐτὴν ὁρμὰς σημαίνει. ὡς γοῦν ἐν ταῖς προφητείαις ὠνόμασται τὸ πνεῦμα πορ-
» νείας, καὶ τὸ, πνεῦμα πορνείας ἐπλανήθησαν, καὶ πάλιν πνεῦμα πλανήσεως ἐν τῇ
ἐρήμῳ· ὃν αὐτὸν τρόπον καὶ πνεῦμα θανάτου εἶπε δι' δειλίας ποιητικὸν, ὡς καὶ πνεῦ-
μα ἰσχύος καὶ δυνάμεως καὶ αὐθαδείας τῆς κατὰ θεὸν ἐνεργητικόν. οὕτω δ' ἂν λεχθείη
πνεῦμα φόβου καὶ τρόμου, καὶ πάλιν ἕτερον τοιοῦτον πνεῦμα φόβου καὶ συγ-
χύσεως, ἃ καὶ ἀρεστὸν εἰπεῖν, ἅπασι μὲν τοῖς ἐν μυστηρίῳ τὸν ὑπὲρ ἀσεβῶν θάνατον
ἀναδεχομένοις ἐφορμᾶν εἴωθε, πολὺ πλέον δὲ καὶ μᾶλλον ὑπετέθη αὐτῷ τὸν ὑ-
πὲρ ἁπάντων θάνατον ὑπομείναντι. πλὴν ἀλλ' εἴτε πνεῦμα δειλίας καὶ θανά-
του, εἴτε φόβου καὶ τρόμου, ἢ εἴτις ἑτέρα τοιαύτη δυνάμις ὑπεπέπωκεν αὐτῷ,
ἀλλ' οὔτι γε κατέῤῥαξεν αὐτὸν, ἐπεὶ, οἷα γενναῖος ἀθλητὴς, πρὸ μὲν δειλίαν καὶ θα-
νάτου, πεποιθὼς ζωῆς, αὐδὲς γὰρ ἡ ζωὴ, μακρὰν ἀπέῤῥιψεν ἀπὸ σώματος. ὡσαύ-
τως ἂν καὶ ὁ ἐπελθὼν αὐτῷ πνεῦμα φόβου ἢ τρόμου ποιητικὸν, πνεῦμα μὲν θάρσους
» καὶ δυνάμεως καὶ ἰσχύος παῤῥησιαστικὸν ἀπηχήσασιν. ἐπεὶ κατ' ὄν ἠσαΐαν, ἐπῆλθε παύ-
» σασθαι ἐπ' αὐτὸν μετ' ὀλίγων πνεῦμα καὶ πνεῦμα βουλῆς καὶ ἰσχύος· ὅτω καὶ ὁ πνεῦ-
» μα τῆς σκότους τῇ τοῦ ἰδίου φωτὸς ἀπεσκέδασε δυνάμει. ἐπεὶ ὁ φῶς ἐν τῇ σκοτίᾳ
» αὐτὸ οὐ κατέλαβεν. Ἄρεσις δ' ἂν τὰ ὡσαπλήσια τούτοις καὶ ἐν εἴκοσιν ἑξῆς
» ψαλμῷ, ἐν ᾧ πάλιν ἐκ τοῦ αὐτοῦ λέλεκται προσώπου, περιεκύκλωσάν με μόσχοι
» πολλοὶ, ταῦροι πίονες περιέσχον με. ἠνοιξάν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρ-
» πάζων καὶ ὠρυόμενος. καὶ πάλιν, ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονη-
» ρευομένων περιέσχον με. καὶ αὖθις, ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ
» χειρὸς κυνὸς τὴν μονογενῆ μου. σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων
» μονοκερώτων τὴν ταπείνωσίν μου. Ταῦρος μὲν ἐν τούτοις δυνάμεις πονηρὰς, ταύ-
ρους καὶ μόσχους καὶ λέοντας καὶ κύνας καὶ μονοκέρωτας ἀποκαλεῖ, αἳ περιέχουσιν αὐ-
τὸν καὶ περικυκλοῦσιν κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν, οὐ μόνον καὶ ἐνεργήσαι τι
κατ' αὐτοῦ δεδυνῆσθαι. καὶ ταῦτα μὲν, εἰ * καὶ ταῦτα δὲ ψαλμοῦ τὰ μέρη ὑπὲρ τῆ
σωτηρίας καὶ κύριον λιμένα ἀνάγοιτο. εἰ δὲ μὴ ἐπ' αὐτὸν, ἀλλ' ἐφ' ἕτερον πρόσω-
πον, ὑπερῆσται καὶ αὐτὸς ὡς ἂν ἐξομαλισθέντα τὰ κατὰ τὸν τόπον. πλὴν ἀλλὰ καὶ
περὶ τῆς τῶν ἰουδαίων μητροπόλεως, αὐτῆς δὴ τῆς ἱερουσαλὴμ, ἀκολούθως μετὰ
τῶν κατὰ τῶν βουλευσάντων αὐτῷ πρόῤῥησιν ὑπολέλεκται ἑξῆς, εἶδον δόμον
» καὶ ἀντιλογίαν ἐν τῇ πόλει. καὶ τὰ τούτοις ἀκόλουθα. ἃ καὶ ὁποίας ἔχεται διανοίας οὐ νῦν σχολὴ διηγεῖσθαι.

Ἀπὸ τοῦ

Ἀπὸ τοῦ ψαλμοῦ ρη.

Ἐτὶ περὶ τοῦ ἰούδα, καὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ ἀντεισαχθέντος ἀποστόλου, καὶ περὶ τοῦ ἰουδαίων ἔθνους.

Ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος. καὶ τῆς τῶν προκειμένων ἐπὶ τῇ προδότην ἰούδαν ἀναφορᾶς ἐχέγγυος μάρτυς ὁ ἀπόστολος πέτρος, μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν συνηγμένων τῶν ἀποστόλων πάντων, σὺν καὶ ἁγίοις πλείοσιν ἀδελφοῖς, μέσος ἀναστὰς, καὶ ταῦτα φήσας, ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος δαβὶδ, περὶ ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν ἰησοῦν, ὅτι κατηριθμημένος ἦν ἐν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας αὐτοῦ, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκ ἑνὸ τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, ἀκελδαμὰχ, ὅ ἐστι χωρίον αἵματος. γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν, γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος. ταῦτα γοῦν ὁ πέτρος εἰπὼν ὑποτίθεται ἕτερον ἀντὶ τοῦ ἰούδα δεῖν παραλαβεῖν, εἰς τὴν λείποντα τῶν δώδεκα ἀποστόλων ἀριθμὸν, ὅπως πληρωθῇ τὸ τῆς προφητείας. ὅτε κλήρου γενομένου, ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν δώδεκα ἀποστόλων. τούτων οὕτως ἐκτελεσθέντων, ἀκολούθως ἂν εἴη τὸ λέγον ἐν τῷ ψαλμῷ πρόσωπον, οὐχ ἕτερον τοῦ σωτῆρος ἡμῶν, ὃς ὧν πατρὶ τὴν ἀναπεμφθεῖσαν αὐτῷ παρὰ τὸν τοῦ πάθους καιρὸν εὐχὴν, τῆς διὰ τοῦ ἁγίου πνεύματος ἀναγραφῆς προλαβὼν κατηξίωσε, τὸ μέλλον περὶ αὐτοῦ συμβήσεσθαι θεσπίσας. φησὶν οὖν, ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, τὴν ὑπ' αὐτοῦ παραδοθεῖσαν τοῖς αὐτοῦ μαθηταῖς διδασκαλίαν, καὶ τῆς καινῆς διαθήκης τὴν αἴνεσιν παρακαλῶν μὴ κατασιγασθῆναι, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα παραμεῖναι τῷ βίῳ. στόμα δὲ ἁμαρτωλοῦ καὶ στόμα δολίου κυρίως ἂν λεχθείη τὸ τοῦ ἰούδα, ὃς πορευθεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. τοιαῦτα γοῦν κατ' αὐτοῦ συνθέμενος, εἷς ἦν τῶν μετὰ ταῦτα σὺν αὐτῷ ἀνακειμένων ἐν τῷ τοῦ πάσχα συμποσίῳ. ὅτε καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν ἀνέκειτο μετὰ τῶν δώδεκα, ἐσθιόντων τε αὐτῶν εἶπεν, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν ἕκαστος αὐτῶν, μή τι ἐγώ εἰμι κύριε; ἐν οἷς ἦν καὶ ἰούδας, ὃς τὸ πλῆρες παντὸς δόλου καὶ εἰρωνείας ἀνοίξας στόμα ἀποκριθεὶς εἶπεν, μή τι ἐγώ εἰμι ῥαββί; δόλιον στόμα, δι' οὗ τὸ σημεῖον τοῖς ἐπιβούλοις τοῦ σωτῆρος ἡμῶν ἐδήλου, λέ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

" γων, ὃν ἐὰν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. ὁ καὶ εἰπών, ἔρχου τὸν δίλον ἀπε-
" πλήθου, ὅτε παρελθὼν τῷ Ἰησοῦ, εἶπεν αὐτῷ, χαῖρε ῥαββεί, καὶ κατεφίλησεν αὐ-
" τόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, ἑταῖρε ἐφ' ᾧ πάρει; καὶ πάλιν, Ἰούδα φιλήματι τὸν υἱὸν τοῦ
" ἀνθρώπου παραδίδως; τούτων δ' οὕτω ἕνεκα παρελαβὼν δέκα ψαλμοὶ φησιν,
" ὅτι σῖτόν μου ἐμίσησαν καὶ σῖτόν μου δολίου ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησε κατ' ἐμοῦ γλώσ-
" σῃ δολίᾳ καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. οὗτος μὲν
Ἰούδας καὶ τῶν λοιπῶν ὧν ὑπεβουλεύσαντο αὐτῷ μνημονεύει. λέγει δ' οὕτω ὁ ψαλ-
" μῳδός, ὡς ἄρα σωτῆρος ἡμῶν ἐπὶ τοῖς ἑαυτοῦ μαθηταῖς λαλοῦντος, ἰδοὺ Ἰούδας
" εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολύς, μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν
" ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. οἷς καὶ εἶπεν ὁ κύριος, ὡς ἐπὶ λῃστὴν ἐξήλθετε,
" μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην ἐν
" τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν
" αἱ γραφαὶ τῶν προφητῶν. ἐπὶ δὲ φησὶν ἐν τῷ ψαλμῷ, ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνε-
" διέβαλόν με, ἐγὼ δὲ προσηυχόμην. αὐτὸ τέλος ἐτύγχανεν, ὅτε ὁ σωτὴρ ἡμῶν
ἐν ᾧ καλουμένῳ Γεθσημανῆ χωρίῳ, μετὰ τῶν ἑνδεκα ἀποστόλων προσευχόμενος,
μικρόν τε ἀναχωρήσαντος αὐτῶν, καὶ προσαισθόμενος τῶν παρεῖναι δυσὶ τε καὶ δύο
μόνοις καὶ τελευτῶν, ὁ Ἰούδας σὺν τοῖς ἄρχουσι τῶν Ἰουδαίων τὰ τῆς ὑποβουλῆς αὐτῷ
κατήρτυσεν, σὺν ἀγῶνι καὶ προξενοῦσι τὸ πλῆθος τῶν μετὰ μαχαιρῶν καὶ ξύλων συλ-
" λαβόντων αὐτὸν παρεσκευασμένων. κακὰ δὲ εἰς αὐτὸν ἔθετο ἀντὶ ἀγαθῶν, καὶ μῖσος
" ἀντὶτ ἀγαπήσεως αὐτοῦ, ὅτε πονηρὰ διετέθη ὃν σωτὴρ καὶ εὐεργέτιν καὶ δι-
δάσκαλον, μυρίας ὅσας ἰάσεις καὶ θεραπείας, λόγων τε διδασκαλίας, καὶ πολλοῖς ὠ-
" φελείας αὐτοῖς παρεχομένου. ἀνθ' ὧν, ἐπειδήπερ κακὰ ἀντὶ ἀγαθῶν ἔθετο κατ'
" αὐτοῦ, καὶ μῖσος ἀντὶτ ἀγαπήσεως αὐτοῦ, εἰκότως ὑπολέλοιπε, κατάσχοι ἐπ' αὐτὸν
" ἁμαρτωλόν, καὶ διάβολος εἴτω ἐν δεξιᾷ αὐτοῦ. ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξελθοι
" καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενηθήτω αἱ
" ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ὑπισχνῆν αὐτοῦ λαβέτω ἕτερος. αἱ καὶ αὐταὶ ὁπόσαι
εἵληφε τὴν ἔκβασιν ὁ ἱερὸς ἀπόστολος πέτρος προλαβὼν διεσάφησεν, ἐπ' αὐτὸν
προσδόκιμα ἐφαρμόσας τὴν γραφήν. καὶ οἱ δὲ αὐτῷ πάρεσαν σεμνοράν, εἰ μὴ κα-
θέσταται ὅτι ὁ Ἰουδαίων ἔθνος ἔχων καὶ λιγυόμυθος ἁμαρτωλός, ᾧ μὲν τὰ ὑλ-
μηθέντα αὐτοῖς καὶ ὁ σωτὴρ ἡμῶν παρεδόθησαν, ἀντὶ τῶν πάλαι οἰκείων καὶ θεο-
φιλῶν ἀρχόντων ἀνομοφύλοις καὶ εἰδωλολάτραις δουλεύειν καταδεδικασμένοι. ὅς
" δ' οὐκ ἂν θαυμάσαιτε προῤῥήσεως ὁ ἀποτέλεσμα; φήσαντος γὰρ τοῦ λόγου, γενη-
" θήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, σαφὲς ὅπως βεβαχὺς ὁ πᾶς διεληλύθε μετὰ τὴν
τοῦ σωτῆρος ἡμῶν ὑπισχνῆν αὐτῶν χρόνος, καθ' ὃν ἔδοξαν δεδεμένον. μεθ' ὃν τὴν
ὑστάτην ὑπέμειναν πολιορκίαν, καὶ τὴν πάντελῆ καθαίρεσιν. ἐφ' ᾗ καὶ τὴν ὑπισχ-
νῆν αὐτῶν ἔλαβεν ἕτερος, ὁ δεδεμένος χριστοῦ συγχρονισθείς. καὶ τὰ λοιπὰ δὲ τοῦ ψαλμοῦ
αὐτοῖς τούτοις καταλλήλως νοήσας. τὰ δὲ ἑξῆς, ὡς περί τινων ἐγὼ τοῦ Ἰούδα λεγόμε-
" να, ὧν φησι, γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ τὰ πάντα πλήσια, ἀνάγκη δὴ καὶ
ἐπ' αὐτὸν μὴν προσηυρημένως τὴν Ἰούδα, μετ' ὀκνηρὸν δὲ, καὶ ὅτι πάντας τοὺς ὁμοί-
ους αὐτοῦ ὃν σωτήριον λόγον προδιδόντας. καταλλήλως δὲ νοήσας καὶ τὴν γυναῖ-
κα αὐτοῦ, καὶ τὰς ἁμαρτίας τῶν πατέρων αὐτοῦ, καὶ τὴν λεγομένης μηδὲς αὐτοῦ, τῆς τοῦ

Ἰουδαίων

» ἰουδαίων ἔθνους συναγωγῆς. περὶ αὐτῆς γὰρ ἡγοῦμαι λέγεσθαι τὸ, καὶ ἡ ἁμαρτία τῆς μη-
» τρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. πλὴν ὥσπερ ἐν τῇ πρὸ ταύτης προφητείᾳ πτωχὸς καὶ
» πένης ὠνομάζετο ὁ σωτὴρ, καὶ κύριος ἡμῶν, καθάπερ ἀπεδείξαμεν ἐν ᾧ, μακάριος
» ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· τὸν αὐτὸν τρόπον καὶ ἐν ᾧ παρόντι ψαλμῷ τούτοις
ἐπικέκληται τοῖς ὀνόμασι. τάδε γὰρ καὶ τάδε γενηθήτω ᾧ ἰούδᾳ, καὶ τοῖς τὰ ὅμοια αὐτῷ
» ἐζηλωκόσι, διὰ τὰ τετολμημένα αὐτῷ, φησί. τίνα δὲ ταῦτα, ἐπιφέρει λέγων, ἀνθ' ὧν
» οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κα-
» τανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ
» ἠθέλησεν εὐλογίᾳ, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. οἷς ἑξῆς ἐπικαταβὰς, αὖθις πένητα καὶ
» πτωχὸν ἑαυτὸν ὀνομάζει λέγων, καὶ σὺ κύριε κύριε ποίησον μετ' ἐμοῦ ἔλεος, ἕνεκεν τοῦ
» ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. ῥῦσαί με ὅτι πτωχὸς καὶ πένης εἰ μὶ ἐγώ. οἷς μεθ'
» ἕτερα ἐπιλέγει, τὰ γόνατά μου ἠσθένησε ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔ-
» λαιον, καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς. εἴδοσάν με, καὶ ἐσάλευσε κεφαλὰς αὐτῶν. ἃ καὶ
αὐτὰ τέλους ἐτύγχαν ὅτε οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς
» κεφαλὰς αὐτῶν, καὶ λέγοντες, ἀλλοῦς ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ἐπεὶ δὲ εἰσέτι
νῦν οἱ ἐκ περιτομῆς τὴν τῶν πατέρων αὐτῶν εἰς ἑαυτοὺς ἀρὰν ἐπισπώμενοι,
βλασφήμοις καὶ ἀσεβέσι ῥήμασιν ἀναθεματίζειν τὸν σωτῆρα καὶ κύριον ἡμῶν, καὶ
» τοὺς εἰς αὐτὸν πεπιστευκότας ἅπαντας εἰώθασι, τούτου χάριν ἑξῆς ἐπιλέγει, κα-
» ταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις. οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦ-
» λός σου εὐφρανθήσεται. ἐνδυσάσθωσε οἱ ἐνδιαβαλλόντες με ἐντροπὴν, καὶ περιβαλέ-
» σθωσε ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. ἐγὼ δὲ ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα
» ἐν ᾧ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος,
» τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. καὶ προδηλόν γε ὁπόσοις εἰσέτι καὶ
νῦν οἱ τὰς κατ' αὐτοῦ ἀρὰς ἐν ταῖς ἑαυτῶν συναγωγαῖς ποιούμενοι παλαίουσι
κακοῖς, ἀπὸ τῶν αὐτῶν χρόνων μηδ' ὅλως ἀνανεῦσαι δεδυνημένοι, ὅπως τὲ αὐ-
τὸς αἶνον ᾧ πατρὶ ἐν μέσῳ πολλῶν ἐθνῶν τὸν διὰ τῆς καινῆς διαθήκης αὐτοῦ κα-
ταρτίζεται, συνεργὸν τὸν πατέρα, καὶ τῆς ἑαυτοῦ δεξιᾶς πάρεδρον κεκτημένος. διὸ,
» φησὶν, ἐν μέσῳ πολλῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος. καὶ τὴν μετὰ τὸν
» θάνατον αὐτοῦ σωτηρίαν διδάσκει, λέγων, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυ-
» χήν μου. ἀνωτέρω γοῦν φήσας τὸ, κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ
» κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι, καὶ σαφῶς δηλώσας ἑαυτοῦ τὸν θάνατον
» περιγράφων τὴν προφητείαν, τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν ἠνίξατο εἰπὼν,
» ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Ἀπὸ τοῦ ζαχαρίου.

Ἔτι περὶ τοῦ ἰούδα, καὶ τῶν ἀργυρίων, ἀνθ' ὧν τὸν κύριον προὔδωκε, καὶ περὶ
τῆς ἀποβολῆς τῶν παρὰ ἰουδαίοις ἀρχόντων τε καὶ ἀρχομένων.

Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκά-
» λεσα σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατά μου, καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν
» μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπω-
» ρύοντο ἐπ' ἐμὲ, καὶ εἶπα, οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» λεῖπον ἀκλῃπέτω, ϗ τὰ καπάλοιπα ἐαθιέτωσαν, ἕκαστος τὰς ὄρνεις ἕ πλησίον αὐ-
» τοῦ. ϗ λήψομαι τὴν ἐμβόδην τὴν καλήν, ϗ ἀποῤῥίψω αὐτὴν, τῦ δῃμοσιεδάσαι
» τ̃ δῃαθήκην μου, ἣν διεθέμην τοῖς πολίταις τοῖς λαοῖς· ϗ δῃμοσιεδαθήσεται ἐν
» τῇ ἡμέρᾳ ἐκείνῃ, ϗ γνώσονται οἱ ἀμαναῖοι τὰ ῥήβατα τὰ φυλακτήρια μοι,
» ὅτι λόγος κυρίε ἐστί. ϗ ἐρῶ πρὸς ἀὐτοὺς, εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τ̃ μι-
» σθόν μου, ἢ ἀπείπασθε. ϗ ἔστησ τ̃ μισθόν μου τριάκοντα ἀργύρεις. ϗ εἶπεν κύ-
» ριος πρὸς με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον. ϗ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον
» ἐδοκιμάσθην ὑπ' αὐτῶν. ϗ ἔλαβον τοὺς τριάκοντα ἀργύρεις, ϗ ἐνέβαλον
» αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον, ϗ ἀπέῤῥιψα τὴν ῥάβδον τ̃ δευτέ-
» ραν τὸ χρήσιμα, τῦ δῃαθέσθαι τὴν διαθήκην μου ἀνὰ μέσον ἰούδα ϗ ἀνὰ μέσον
» ἰσραήλ. ϗ ἐγένετο τέλους ἐτύγχανεν ὅτε, ϗ τ̃ μῆνα τ̃ λευκῶν, ἀπελθὼν ὁ ἰάδας σύνε-
» καλέσε τοὺς ἀρχιερεῖς ϗ γραμματεῖς τῦ ἰσραήλ, ὅπως αὐτοὶ πα-
» ραδῶ αὐτοῖς· ϗ ἐχάρησαν, ϗ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι. ϗ δὲ τὸν μόρ-
» χον, ὁπηνίκα ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῶ αὐτὸν. οἱ δὲ ἐχάρησαν, ϗ
» ἐπηγείλαντο αὐτῷ ἀργύρια δοῦναι. ἀλλ' οὐ τούτοις μόνοις ἁπλῶς τὸ ἀργύριον ὠνό
μασαν· παρὰ δὲ τῷ μαθητῇ μνημονεύεται ϗ ὁ ἀριθμὸς, συναιδων τὴν ἀπὸ τῦ
» ζαχαρίου παράθεσιν λέγων οὕτω ὁ μαθητὴς, ὅτε πρωθεὶς εἰς τ̃ δωδεκα, ὁ λε-
» γόμενος ἰάδας ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι,
» κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας. σύμφωνα
» οὖν ταῦτά ἐστι τῷ, ϗ ἔστησ τὸν μισθόν μου τριάκοντα ἀργύρεις, ἐν τῇ προφη-
» τείᾳ εἰρημένῳ ὑπὸ τ̃ κυρίου. μετὰ οὖ ὁ μὲν σύμμαχος ἐποίησε, ϗ ἐστάθμισ τ̃
» μισθόν μου τριάκοντα ἀργύρεις. ὁ δὲ ἀκύλας, ϗ ἔστησαν τὸν μισθόν μου τριά-
» κοντα ἀργύρεις. οἷς ἐπιλέγει, ϗ εἶπε κύριος πρὸς με, κάθες αὐτοὺς εἰς τὸ χω-
» νευτήριον, ϗ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπ' αὐτῶν. μετὰ δὲ
» πάλιν ὁ μὲν ἀκύλας φησὶ, ϗ εἶπε κύριος πρὸς με, κάθες αὐτοὺς εἰς τὸ χωνευτή-
» ριον. ῥίψον αὐτὰ πρὸς τὸν πλάστην. ὑπὲρ μεγέθης ἡ τιμή, ἣν ἐτιμήθην ὑπ' αὐ-
» τῶν. ϗ προέβαλε ἵνα ἴδῃ τὸν αὐτὸς ὁ κύριος τιμὴν ἑαυτῦ ὁμολογεῖ τοῖς τριάκοντα
ἀργύρεις δεδόσθαι. ἔοικε δὲ ἡ τῆς λέξεως δῃάνοια τοιῶτόν τινα ἐμφαίνειν νοεῖν, ἐγὼ
μὲν ὁ κύριος ἐν προφήτης ἐξαίρετος ἡμέρας, οὐ διέλιπον τ̃ ἐμαυτοῦ χρηστότητος
ὑμῖν τοῖς ἐκ πολιτῶν δείγματα προὔχων, ϗ μυρία ὅσα ὑμᾶς ἀνέργετῶν, οὐ
μόνον τὰ δῃὰ τῶν ἀνέκαθεν προφητῶν, ἀλλὰ ϗ τὰ δῃὰ τῆς ἐμαυτοῦ προσοπείας,
ἔν τε ταῖς προσρεπτικαῖς διδασκαλίαις, ϗ τοῖς λογικοῖς μαθήμασιν, ἔν τε τοῖς ση-
μείοις ϗ τέρασι, ϗ ταῖς δυνάμεσι πᾶσαδοξοποιίαις, ταῖς τε ἰάσεσι ϗ ταῖς θεραπεί-
αις· ὑμεῖς δὲ οἱ τοσαύτης ἀνέργεσίας ἀξιωθέντες, ὅτε τὸν μισθόν μου ἠπείπα-
σθε, αὐτῶν αὐτοὺς, ὡς εἰκὸς, καρποὺς ἀσεβείας, ϗ δείγματα εἰς αὐτὸν πίστεως. οἱ δὲ,
» ἔστησ τὸ εἰρημένον ἐν τῇ προφήτῃ πρὸς θεόν, αὐτὶ τ̃ ἀγαπᾶν με ἐνδιέβαλόν με,
» ϗ ἐγένετο κατ' ἐμοῦ κακὰ δυτὶ ἀγαθῶν, ϗ μῖσος δυτὶ τ̃ ἀγαπήσεώς μου, τριά-
» κοντα ἀργύρεις ἐπέσηντες, ὡσπερ τοσούτου αὐτὸν πωλούμενον ἐτιμήσαντο. ἀλλ'
ἐπεὶ τὸ ἑκάστου ἔργον ὁποῖόν ἐστι τὸ πῦρ αὐτὸ δοκιμάσει, εἰκότως προστάττει κα-
» θεῖναι αὐτοὺς εἰς τὸ χωνευτήριον, ὀπιλέγων, ὃν τρόπον ἐδοκιμάσθην ὑπ' αὐτῶν.
χωνευτήριον δὲ ἐνταῦθα ἔοικε τὸν οἶκον κυρίου ὀνομάζειν. εἰπόντος γοῦν τ̃ κυ-

ρίου

» εἰου, καὶ τοὺς ἑβδομήκοντα, καθὼς αὐτοὺς εἰς τὸ χωνευτήριον, ὑπιφέρῃ, καὶ ἐνέ-
» βαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου, εἰς τὸ χωνευτήριον. καὶ ἀπὸ δὲ τὸν ἀκύλαν εἰπόν-
» τος τοῦ κυρίου, ῥῖψον αὐτὸ, δῆλον ἦν ὅτι τὸ ἀργύριον, ἐπὶ τὸν πλάστην, ὑπιφέ-
» ρῃ, καὶ ἔῤῥιψα αὐτὸ ἐν οἴκῳ κυρίου ἐπὶ τὸν πλάστην. καὶ δὲ τὸν σύμμαχον
» εἰπόντος τοῦ κυρίου, ῥῖψον αὐτὸ εἰς τὸ χωνευτήριον, ὑπιφέρῃ λέγων, καὶ ἔῤῥιψα αὐ-
» τὸ εἰς τὸν οἶκον κυρίου, ἵνα τὸ χωνευτήριον. μήποτε δὲ καὶ τοῦτο ἐπληρώθη, ὅ-
» τε ἰούδας ὁ προδιδοὺς τὸν κύριον, ἰδὼν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε
» τὸ ἀργύριον τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις, λέγων, ἥμαρτον παραδοὺς αἷμα
» ἀθῷον. οἱ δὲ εἶπον αὐτῷ, τί πρὸς ἡμᾶς; σὺ ὄψῃ. καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν
» ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπον,
» οὐκ ἔστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν. συμβούλιον δὲ λα-
» βόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη
» ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον ἡμέρας. τότε ἐπληρώθη τὸ ῥη-
» θὲν διὰ ἱερεμίου τοῦ προφήτου λέγοντος, καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν
» τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν ἰσραήλ. καὶ ἔδωκαν αὐτὰ εἰς τὸν
» ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι κύριος. εἶδα καὶ ὑπισχνῆται, ἐπεὶ μὴ
ταῦτα φέρεται ἐν τῇ τοῦ ἱερεμίου προφητείᾳ, εἴτε χεὶ νοσφισθῆναι
αὐτὰ ἐξ αὐλῆς καὶ τινα ἐσθιουργίαν, ἢ καὶ σφάλμα γραφικὸν γενέναι, τὴν ἀ-
μφιέστερον τὰ ὧν ἱεραὶ διαλείμματα αὐτίγραφα πεποιημένων σφαλέντος τινὸς, καὶ
» αὐτὶ μὲν τοῦ ζαχαρίου ἱερεμίαν τεθεικότος, ὡς δέον οὕτως ἀναγεγράφθαι, τότε ἐ-
» πληρώθη τὸ ῥηθὲν διὰ ζαχαρίου τοῦ προφήτου. αὐτὴ δὲ ἔ, ἐνέβαλον αὐτοὺς εἰς τὸν
» οἶκον κυρίου, εἰς τὸ χωνευτήριον, ἐσφραγισμένους πεποιηκότος, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀ-
» γρὸν τοῦ κεραμέως. ταφὰς γὰρ διὰ μὲν τῆς προφητείας εἰς τὸν τοῦ κυρίου ναὸν
» ἔῤῥίφθαι λέγεται τὸ ἀργύριον· καὶ δι' αὖ δὲ τοῦ διαλείμματος εἰς τὸν ναόν. ῥῖψας φησὶν,
» φησὶν, ἰούδας τὰ ἀργύρια εἰς τὸν ναὸν, ἀνεχώρησε. καὶ εἰκός γε ἐξ ἐκείνων τῶν ἀρ-
» γυρίων βέβηλον γενενέναι τὸν ναὸν, καὶ πεπληρῶσθαι ὃ, ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος
» ὑμῶν ἔρημος. καὶ ὅρα γε μήποτε χωνευτήριον ὁ οἶκος κυρίου διὰ τοῦτο κέκληται,
ἐπεὶ ὥσπερ ὡς ἐν χωνείᾳ, μεταπλάττεσθαι τὰς ψυχὰς ἐκ τῶν θείων λόγων πυρώ-
σεως ἐν τῷ τοῦ θεοῦ οἴκῳ συμβαίνῃ. ἢ δηλῶς ἀπελέγχεται μὴ καθαρὰς, ὡς ἐν χω-
» νευτηρίῳ πυρουμένας καὶ δοκιμαζομένας. ὅθεν ὁ ἀκύλας, ἔῤῥιψα, φήσας, τὸ ἀρ-
» γύριον ἐν τῷ οἴκῳ κυρίου, πρὸς τὸν πλάστην, σαφῶς διδάσκει, ὡς τὸν λόγον τοῦ
θείου δίκην πλάστου καθοικοῦντος εἰς τὸν οἶκον κυρίου, καὶ πλάττοντος καὶ ἀνανεοῦ-
ντος τὰς τῶν προσιόντων ψυχάς. πλὴν ἀλλ' ἐπεὶ θεῖον ἡ τιμὴ τοῦ τετιμημένου εἰς
ἐκφυον μεταβληθεῖσα ὃν οἶκον βέβηλον αὐτὸν κατεσήσαι, εἰκότως ἀθύς ὑπο-
» λέγει, καὶ ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ χρίσμα, τὸ διασκεδάσαι τὴν
» διαθήκην ἀνὰ μέσον ἰούδα καὶ ἀνὰ μέσον ἰσραήλ. ἐξ ἐκείνου γὰρ τὸ πλῆθος τῶν
ἐθνῶν ἀπερρίφη τῆς πάλαι προτέρου ἐφορώσης αὐτοὺς ὑπισχνῆς τοῦ θεοῦ. δευ-
τέραν δὲ ῥάβδον ἠρνῦμαι τὸ πρῶ ἀληθῶς ἰουδαίων ἔθνος ἐνταῦθ δηλοῦσθαι. κα-
» λῶ δ' οὖν αὐτὴν χρίσμα, λέγων, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν ἐ-
» κάλεσα χρίσμα. καὶ ταφὰς ὑπιλέγει τοῖς δευτέραις φάσκων, καὶ ἀπέῤῥιψα τὴν
» ῥάβδον τὴν δευτέραν τὸ χρίσμα, τὸ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον ἰού-

© Centre d'Études Supérieures de la Renaissance - Tours

δια δὲ δύο μέζον ἰσραήλ. οὗτοι γὰρ ἦσαν ὁ χρίσμα καὶ ἡ ῥάβδος ἡ δευτέρα. ἡ δὲ πρεσβυτέρα κάλλος ὠνομασμένη οὐσ' ἀπὸ τῆς ἱερουσαλὴμ αὐλῆς, καὶ τ' κατ' μωσέα λατρείας, ἀπάσης τε τ παλαιᾶς διαθήκης. καὶ τοῦτο δὲ ἐξ αὐλῆς πρίσα-
τῆς προφητείας φησάσης, καὶ λήψομαι τὴν ῥάβδον μου τ καλὴν, καὶ ἀποῤῥίψω
αὐτὴν, τ διασκεδάσαι τ διαθήκην μου. ὁρᾷς ὡς τὴν μὲν διαθήκην αὐτ' τὴν ῥάβδον ἔφησεν εἶ τ προφήτης, τ δευτέραν δὲ ῥάβδον τ χρίσμα, πλὴν ἀμφο-
τέρας ταῖς ῥάβδοις ἀποῤῥίψαι ἀπειλᾷ, προφητῶν προτέρων, καὶ λήψομαι ἑμαυτῷ
δύο ῥάβδους, τ μίαν ἐκάλεσα κάλλος, τ δ τ δευτέραν ἐκάλεσα χρίσμα. αὐτ ὧν ὁ
μ ἀκύλας φησί, τ μὲν ἐκάλεσα εὐπρέπειαν, καὶ τ ἑτέραν ἐκάλεσα χρίσμα. ὁ
δὲ σύμμαχος, τ μὲν ἐκάλεσα εὐπρέπειαν, τὴν δὲ μίαν ἐκάλεσα χρίσμα. τοῦτο μὲν οὖν πάντος ἔθνους κάλλος καὶ εὐπρέπειαν, ὃν θεῖον νόμον καὶ τὴν ἐν αὐτῷ προεικονιζομένην διαθήκην ὠνόμασεν εἰκότως. ταῦτα γὰρ σεμνὰ τ ἱερουσαλὴμ, καὶ
ταῦτα τ ἀρχιερατικῆς λειτουργίας, καὶ πάντα ὅσα πάλαι προέτερον ἐν αὐλῇ κατ' τοὺς
θείους νόμους, καὶ κατ' τὴν παλαιὰν διαθήκην ἐπολιτεύετο, κόσμος εὐπρεπὴς ὑπῆρ-
χε τοῖς ὑπὸ τούτων κοσμουμένοις. χρίσμα γὰρ τὸ πλῆθος τ ἔθνους καὶ προφα μω-
σεῖ κέκληται λέγοντι, ἐγλυκάνθη μετὰ κυρίου λαὸς αὐτ' ἰακώβ, χρίσμα κληρο-
νομίας αὐτ' ἰσραήλ. ἀλλὰ γὰρ τὼ δύο τούτων ῥάβδων ἀθρόως μεταβολὴν γε-
νέσθαι κατ' τοὺς διηλευμένους χρόνους θεασάμενος, ὡς καὶ τῆς πάλαι ἐν αὐτῇ παλαιᾶς
διαθήκης, καὶ τῆ πάλαι ἐν αὐτῇ κάλλους ἀφανισθέντος, τό τε χρίσμα τοῦ καὶ
τοῦ πάντος ἔθνους διασκεδασθέντος, ἐπὶ τὴν ἡμετέραν τῶν τελεμενέντων τελε-
τὴν τὰ ἀρχαῖα μυστήρια, τ σφῶν δυσεβείας τὴν προσήκουσαν ἀτιμίαν
ὑποφέρειν. λέγει δ' οὖν, καὶ λήψομαι τ ῥάβδον μου τὴν καλὴν, καὶ ἀποῤῥίψω αὐ-
τ, τῶν διασκεδάσαι τ διαθήκην μου. καὶ πάλιν, καὶ ἀπεῤῥίψατε τὴν ῥάβδον τ δευ-
τέραν τ χρίσμα. ὅτι τούτοις ἐπᾶν ἡ προφητεία φάσκῃ, καὶ ἐξαρῶ τοὺς τρεῖς
ποιμένας ἐν μιᾷ ἐνὶ, νομίζω τελέσματα αἰνίττεσθαι τῶν πάλαι τῶν λαοῦ τ
θεοῦ προφητῶν, βασιλέων καὶ ἀρχιερέων τε προφητῶν, ἐπεὶ καὶ διὰ τ τελῶν
τούτων ποιμένων πάντα τὰ κατ' τοὺς πάλαι προέτερον φυλαττόμενα. ἀφ' ὅτου διαφθορὰν καὶ οἱ τρεῖς οὗτοι πεπόνθασι ποιμένες, καθ' ἕνα καιρὸν ὃν ὅτε τῶν ἐθνῶν
ἡμῶν· ὁ, τε μὲν βασιλεὺς παρανόμως αὐτ' ἠγεῖτο, ἀμυδρὸς ὢν καὶ οὐκ οἰκεῖος
τῶν ἐθνῶν· ὁ, τε ἀρχιερεὺς ἀπὸ ῥωμαίων παραγινόμενος ὅτε τ λειτουργίαν, οὐ κατ'
τὴν τῶν ἡμῶν διδασκαλίαν, οὐδὲ κατ' τοὺς ἐννόμους θεσμοὺς, ὅτε τ ἁγίων πρᾳ-
ός· ὁ, τε προφήτης μέχρις ἰωάννου, παυσάμενος οὐκέτι ἐν αὐλῇ ἐνήργει, ἀντὶ ὃ τού-
του ψευδοπροφήτης τις ἀσεβὴς καὶ πλανῶν τ λαόν. εἰκότως τὰ τελεσμα-
τα, πάλαι προέτερον, ἀφ' πάντα κόσμον εὐπρεπῆ τὸ πᾶν ἔθνος κοσμοῦντα πε-
ειλημμένα ὑφ' ἕνα καιρὸν ἀπειλᾷ λέγων, καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μιᾷ
ἐνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτοῖς. διὰ οὗ ὁ μὲν ἀκύλας φησὶ, καὶ ἐκο-
λοβώθη ἡ ψυχή μου ἐν αὐτοῖς. ὁ δὲ σύμμαχος, καὶ ὠλιγοψύχησα ἐν αὐτοῖς. ὁ δὲ θεο-
δοτίων, καὶ ὠλιγοψύχησεν ἡ ψυχή μου ἐπ' αὐτοῖς. καὶ τὸ αἴτιόν γε τ ὀλιγοψυχίας δι-
δάσκει ὅτι λέγων, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. διὰ οὗ πάλιν ὁ ἀ-
κύλας, καὶ γε ἡ ψυχὴ αὐτῶν ἐπέρκασεν ἐν ἐμοί. ὁ δὲ σύμμαχος, καὶ ἡ ψυχὴ αὐτῶν
ἠκμασεν ἐν ἐμοί. ὅμοιον δὲ ᾧ, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ, πάντα
τοῖς ὁ'

τοῖς ὁ εἰρημένῳ, φέρεται παρὰ τῷ ἱερεμίᾳ ἐκ προσώπου τοῦ κυρίου κείμενον τὸ,
» ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημέ-
» νην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς, ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων
» ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου
» ἐμοί; εἰκότως οὖν διὰ ταῦτα ἑξῆς ἐπιφέρει λέγων, καὶ εἶπα οὐ ποιμανῶ ὑμᾶς,
» τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέ-
» τωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. μεθ' ἃ ἐπιλέγει, καὶ λήψομαι τὴν ῥά-
» βδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτήν. ἀνθ' οὗ ὁ ἀκύλας, καὶ ἔλαβον, φησὶν, τὴν
» ῥάβδον μου, τὴν εὐπρέπειαν, καὶ περιέκοψα αὐτὴν, δηλαδὴ τὴν κατὰ μωσέα λα-
τρείαν. οὐκοῦν ἡ μὲν πρώτη ῥάβδος ἡ ἐν ἀρχαῖς τοῦ λόγου πρώτη, συντριβή-
σεσθαι καὶ ἀπορριφήσεσθαι λέγεται. ὅτε δὲ ἡ τιμὴ τοῦ τετιμημένου, καὶ τὸ ὑπὲρ αὐ-
τοῦ τῷ προδότῃ δοθὲν ἀργύριον ἐβλήθη εἰς τὸν οἶκον κυρίου, ὡς εἰς χωνευτή-
ριον, τότε δὴ καὶ τὰ περὶ τῆς δευτέρας ῥάβδου, τοῦ πάντος ἔθνους δηλαδὴ, ἀκολούθως
» οἷα πείσεται προφητεύεται ἐν ᾧ, καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοί-
» νισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον ἰούδα καὶ ἀνὰ μέσον ἰσραήλ.
καὶ ἐπειδήπερ ἀποβολὴν ἐκείνων σαφῶς διὰ τούτων ὁ λόγος ἐμήνυσεν, εἰκότως
ἑξῆς οὐκέτ' αὐτοὺς ἐπιγνώσεσθαι τὴν τῶν προφητευομένων δυνάμιν φησιν, ἀλλὰ
» τοὺς χαναναίους, λέγων, καὶ γνώσονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά
» μοι, διότι λόγος κυρίου ἐστί. τίνες δ' ἂν εἶεν οἱ χαναναῖοι, ἀλλ' ἢ ἡμεῖς οἱ πρὶν ἀλλό-
φυλοι καὶ ἐξ ἁπάντων τῶν πάλαι ἀθέων καὶ ἀσεβῶν ἐθνῶν πρόβατα τῷ χρι-
στῷ πεφυλαγμένοι; οἳ καὶ διὰ τῆς αὐτοῦ χάριτος μεταβεβλήμεθα, καὶ συνέντες τὰ τεθε-
σπισμένα, γνῶσιν ἀληθῆ τοῦ λόγου τοῦ κυρίου εἰλήφαμεν, ἔγνωμέν τε ἡμεῖς οἱ χανα-
ναῖοι καὶ συνήκαμεν τὰ δηλούμενα· οὐκ ἔγνωσε δὲ οὐδὲ συνῆκαν οἱ τὴν ἰσραὴλ αὐ-
χοῦντες καὶ ἐπὶ ᾧ σπέρματι ἀβραὰμ ἐπαιρόμενοι.

Απὸ τοῦ ἱερεμίου.

Ετι περὶ τοῦ ἰούδα ὀνομαστί.

Α μαρτία ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐγκεκο-
» λαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτοῦ, καὶ τοῖς κέρασι τῶν θυσιαστηρίων ἡ-
» μῶν. ἡνίκα ἀναμνησθῶσιν οἱ υἱοὶ αὐτῶν τὰ θυσιάστηρια αὐτῶν, καὶ τὰ ἄλση
» αὐτῶν ἐπὶ ξύλου δασέος, καὶ ἐπὶ βουνῶν μετεώρων, ἰσχύν σου, καὶ πάντας τοὺς
» θησαυροὺς σου εἰς προνομὴν δώσω, καὶ τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν πᾶσι τοῖς
» ὁρίοις σου. καὶ ἀφαιρεθήσῃ καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας ἧς ἔδωκά σοι,
» καὶ ἀναβιβῶ σε ἐν τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ ἣν οὐκ ἔγνως. ὅτι πῦρ ἐκκέκαυται ἐν
» τῷ θυμῷ μου, ἕως αἰῶνος καυθήσεται. εἰ καὶ μὴ παρὰ τοῖς ὁ, ἀλλ' οὖν ἐν ᾧ ἑ-
βραϊκῷ ταῦτα εὑρόντες, καὶ ἐν ταῖς τῶν λοιπῶν ἑρμηνευτῶν ἐκδόσεσιν, ἔτι μὴν
μετὰ παραθέσεως ἀστερίσκων καὶ ἐν τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς ἑβδομήκοντα
ἀντιγράφοις, ἀναγκαίως αὐτὰ παρεθέμεθα, ἅτε καὶ ὀνομαστὶ τὸν προδότην
ἰούδα δηλοῦντα, καὶ τὴν πεπραγμένην αὐτῷ ἁμαρτίαν ἀνεξάλειπτον εἶναι δι-
» δάσκοντα. τοῦτο γὰρ αἰνίττεσθαί μοι δοκεῖ τὸ, ἁμαρτία ἰούδα ἐγγέγραπται ἐν
» γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ. εἴη δ' ἂν καὶ ἐπὶ πᾶν τὸ ἰουδαίων ἔ-
θνος ἀναφερόμενα, οἷς ἑξῆς καὶ ἀκολούθως μετὰ τὴν ἀνεξάλειπτον αὐτῶν ἀσέβειαν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὃν μετελθόντα αὐτοὺς ἐφαίνου ὀλεθρον ἀπειλῆ. ἀλλ' οὐ κατὰ λέξιν ἑρμηνεύειν οὐ τοῦ παρόντος τυγχάνει καιροῦ. ἀλλὰ γὰρ τοσούτων μὲν τῶν τῆς θεοπνεύστου γραφῆς καὶ κύριον ἡμῶν, τῶν τε ἀλλοις ὑπερβεβληκότων αὐτὴν θεοφανεστάτων ἀνδρῶν, καιρὸς ἰδεῖν καὶ τὰ ἀμφὶ τὸ πάθος αὐτοῦ μηνύοντα συμβήσεσθαι θεασώμεθα.

Ἀπὸ τοῦ ἁμώς.

Περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου, ἣν ὅτε ὁ παθὼν τὸν θεοπνεύστου ἡμῶν γεγυμνωμένος, καὶ περὶ τῶν πρωτελευτησάντων ὀλέθρου τῶν Ἰουδαίων ἐθνῶν.

Ο μυθὸς κύριος τῆς ἐπιφανείας ἰακώβ, εἰ ὑπομνησθήσεται εἰς νίκης πρώτα τὰ ἔργα ὑμῶν. καὶ ὅτι τούτοις οὐ θεραπευθήσεται ἡ γῆ; καὶ πεινάσῃ πᾶς ὁ καθεικὼς ἐν αὐτῇ; καὶ διαβήσεται ὡς ποταμὸς ἡ σωτηρία, καὶ καταβήσεται ὡς ποταμὸς αἰγύπτου; καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ὅτι τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ ὅτι πᾶσι ὀσφὺν σάκκον, καὶ ὅτι πᾶσι κεφαλῇ φαλάκρωμα· καὶ θήσομαι αὐτὸν ὡσεὶ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδυνῆς. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ὅτι τῷ γῇ, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου. καὶ σαλεύθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον κυρίου, καὶ οὐ μὴ εὕρωσι. τοῦ τῶν θεοπνεύστου ἡμῶν ὕβεων καὶ ἐπιφανίου καὶ ἐπωνάσασιν, ὧν ἐπωνέσησαν αὐτῷ οἱ ἐκ περιτομῆς, θεασώμεθα ἡ πρόδηλος προφητεία, ὁμωνύμως τοῦ κυρίου φησὶ καθ' ἐπιφανίας ἰακώβ, ὡς οὐ μὴ γένοιτο λήθη τῶν κατ' αὐτοῦ τελεσμηνύων αὐτοῖς, καὶ ὅτι πένθους ἄξια πείσεται ἡ γῆ αὐτῶν μετὰ καὶ τῶν οἰκητόρων, καὶ ὅτι σκιᾷ ὡς ὁ πρὶν εἰς βεσαχὼ παραδοθέντες αὖθις ἀποκαθαρσιωθήσονται, ἀφ' ἧς σωτηρία τὰ κατ' αὐτοὺς ἤξει. διαβήσεται γοῦν φησιν, ὡς ποταμὸς ἡ σωτηρία αὐτῶν, τοῦ ἐπελθοῦσιν αὐτοῖς οὐδέποτε, ἢ μετὰ τοῦ ῥωμαίων βασιλείαν ὀργοῦ, ποταμὸν διαβησόμενον ἐπ' αὐτοὺς, ὡς ἐν ὕψει ὃ πρὶν ὄντας, ἀμιγεῖ ὄμβρος. καὶ δὴ μετὰ τοῦ δηλωθέντος κατ' αὐτῶν ἐκ θεοῦ ὀργοῦ, αὖθις τὰ κατ' αὐτοὺς πεφύκασι, ὡς ποταμὸς, φησὶν, αἰγύπτου καταβήσεται, δι' ὧν οἶμαι δηλοῦσθαι, ὅτι τὰ πάλαι μετέωρα καὶ θεοῦ θεῷ τεθυμημένα, καὶ ὡς πρὸ ἐν ὕψει κείμενα πλεονεκτήματα τῶν Ἰουδαίων ἐθνῶν, ὅμοια τοῖς ῥοώσοις καὶ δίκην ποταμοῦ πολυρρέουσι τῶν ἀπίστων ἐθνῶν πεφύκασι καταστήσεται, ἀφ' ὕψους τε εἰς ταπεινὸν πεπερατώσεται. εἶτ' ἑξῆς τούτοις αὖθις δὴ τὰ ἀμφὶ τὸν κυρίου τοῦ θεοπνεύστου πάθους συμβεβηκότα δηλοῖ, ἐν ἐκείνῃ, φησὶ, τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ὅτι τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. ἃ δὲ ἀναργῆ τοῖς ἐκβασιν εἴληφεν, ὅτε τοῦ θεοπνεύστου ἡμῶν ὑψωθέντος, κατὰ τὸν διαλελεισμὸν, ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ὅτι πᾶσαν τὴν γῆν ἕως ὥρας ἐννάτης, ὡσεὶ ἢ τὰ ἐννάτην ὥραν ἀνεβόησεν ὁ ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, ἠλεὶ ἠλεὶ λαμμᾶ σαβαχθανί. τοιοῦτον ἢ τὸν ὑπερτελεσθέντων τὸ θέρους, ἑξῆς ὑπολέγει, καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ ὅτι πᾶσιν ὀσφὺν σάκκον, καὶ ὅτι πᾶσι κεφαλῇ φαλάκρωμα· καὶ θήσομαι αὐτὸν, ὡσεὶ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ, ὡς ἡμέραν ὀδυνῆς. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ὅτι τῷ γῇ, οὐ

λιμὸν

» λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου. καὶ ἐξῆς. ἀφ' ἁπάντων, ἀφ' ὧν ἐφανερώθη αὐτῶν τὸ τοῦ Χριστοῦ γεγυμνάσθαι, ἔσεσθαι τοὺς φιλοθέντα, ἐναργῆ τὴν ἔκβασιν τῆς προρρήσεως ἀποδείξαι, μὴ τὸ κατὰ τὸν σωτῆρος ἡμῶν ὑπουλιῶ αὐτῶν. οὐ τοίνυν γοῦν, φησὶ, δι' ἐκείνου καὶ εἰς δοῦλον μετέστρεψεν αὐλῶν ὁ θεὸς τὰς ἑορτὰς εἰς πένθος, καὶ τὰς ᾠδὰς εἰς θρῆνον, τῆς προβοήτου μητροπόλεως ἀποστερήσας αὐτούς, καὶ ὃ ἦν αὐτῇ σεμνὸν ἀγίασμα, καὶ τὸ ὅτι λίαν καὶ ὑπερφυῶς ῥωμαίων αὐθεκαστόρων λιγεμονίαν καθελών, ὡς μηδὲ ἐλπίζοντας δυνασθαι ἐπ' αὐτῆς τὰς ἐννόμους ἑορτὰς καὶ πανηγύρεις ἐπιτελεῖν. ἃ δεῖ λέγειν ὡς ὁ λιμὸς οὐ ἀκοῦσαι λόγον κυρίου πρώτως αὐτοὺς μετῆλθεν, ἀλλ' ὧν ἐξήλασαν ἑαυτῶν τὸ τοῦ θεοῦ λόγον, ὁμοθυμαδὸν αὐτὸν ἀρνησάμενοι, καὶ ἀπορριφέντες ἀπ' αὐτοῦ;

Ἀπὸ τοῦ ζ. κεφαλαίου.

Ἐπὶ τοῦ ἐκλείψεως τοῦ ἡλίου, καὶ τοῦ τὸ φοβερὸν πάθος κατεγνῶ.

Κ αὶ πρόσεχε κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
» οὐκ ἔσται φῶς, καὶ ψύχος καὶ πάγος ἔσται μίαν ἡμέραν. καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ
» τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα, καὶ οὐ νύξ, ὅτι τοῦτο ἑσπέρας ἔσται φῶς. καὶ ἐν τῇ ἡμέρᾳ
» ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν
» τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. ἐν θέρει καὶ ἐν ἔαρι
» ἔσται οὕτως. καὶ ἔσται κύριος εἰς βασιλέα ὅλης πάσης τῆς γῆς· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
» ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦ πάσης τῆς γῆς καὶ τοῦ ἐρήμου. καὶ ταῦτα ὅτι τῆς προνοίας τοῦ σωτῆρος ἡμῶν ἐπληρώθη, ἵνα ἐποιήσατο, ἤγουν μὴ τῶν ἱερῶν ἀποστόλων αὐτοῦ καὶ μαθητῶν, ἢ μὴ τῶν ἁγίων αὐτοῦ, θείων λινῶν δεδεμένων, καὶ σεσωσμένων πολυμόχθων, ἀγγέλων τε καὶ λειτουργῶν αὐτοῦ, τοῖς ὧν εἴρηται ἐν τοῖς
» ἱεροῖς εὐαγγελίοις, ὅτι τοῖς σωθῆναι αὐτῷ ἄγγελοι, ἢ διηκόνουν αὐτῷ. κατὰ δὲ τὴν ἡμέραν ἐκείνην, οὕτω δὲ φίλον ἀποκαλῶν τὴν ἱερὰν γραφὴν πολλαχοῦ τὸν χρόνον τοῦ ἐν δυσὶ θέσποις αὐτοῦ διατριβῆς, ἐπληρώθη μὴ τῶν δηλωθεισῶν προρρήσεων καὶ τὰ ἐν χερσὶ τετελεσμένα, ὁπηνίκα πρὸς τὸν τῶν πάθους αὐτοῦ καιρὸν, ἀπὸ ὥρας ἕκτης σκότος ἐγένετο ἕως ὥρας ἐνάτης. διὸ φησιν ἡ προφητεία, ἐν τῇ
» ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς. καὶ πάλιν, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, ὃ πρὸς ἑσπέραν ἔσται φῶς. δι' ὧν λυκοπαλὰ ἡγοῦμαι τὸν τῶν καιρῶν καταίσασιν, ἐν ᾧ ὁ σωτὴρ αὐτοφωτὸς ὢν, καὶ ἡμέρας οὔσης, νὺξ ἀπὸ ὥρας ἕκτης ὁ προειρημένος συνέσχε μέχρι τῆς ἐνάτης, μεθ' ἣν αὖθις τοῖς σκότοις διαλειπόντος, ἡμέρα δὲ φῶς ἐγένετο, μεθ' ἃ πάλιν συνήφθη ἡ νὺξ κατελαμβανεν. ἀφ' οὗ τῆς προφητείας λόγος ἠνίττετο φάσκων,
» καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ ᾧ κυρίῳ, καὶ οὐχ ἡμέρα δὲ οὐ νύξ, τὸ πρὸς ἑσπέραν ἔσται
» φῶς. οὐχ ἡμέρα μὲν γὰρ ἦν, διὰ τὸ μεσημβρινὸν σκότος· καὶ πάλιν οὐ νύξ, διὰ τὴν
» ὑπαλαλαβοῦσαν ἡμέραν, ἣν πρέσησεν ὑπισημίνω ἄμβυος διὰ τὸ φάναι, ὃ
» πρὸς ἑσπέραν ἔσται φῶς. τίς δ' οὐκ ἂν θαυμάσειε τὴν χαλδίου ὥρας τὴν μηνί-
» μην, ἣν καὶ αὐτὴν ἐθάσσισεν ὁ λόγος φήσας, καὶ ψύχος καὶ πάγος ἔσται. ὃ καὶ αὖθις ἡ τοῦ εὐαγγελίου μαρτυρία σεσήμανται, ὁπηνίκα ὁ πάθος ἀκολουθῶν τῷ ἰησοῦ, πεπιασμένων πυρὸν ἐν τῇ αὐλῇ τοῦ καϊάφα, μὴ τῶν δηλωθέντων ἐθερμαίνετο. ὁ χρυσοῦ ἰωάννης δὲ πικρὸς καὶ τοῦ ψόγου ἐμνημόνευσεν εἰπών, εἰσῆκεισαν οἱ δοῦλοι καὶ οἱ ὑπηρέ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ται ἀνθρακιαὶ πεποιηκότες, ὅλη ψύχος ἰῶ, καὶ ἐθερμάνοντο. ☩ ποὸς μὲν τὴν τέλεξιν τοιούτου τέλους ἐτύγχανε τὰ ποοηγορεύμενα· ποὸς δὲ δόξαν οἰαν, ὃ πᾶν ἰουδαίων ἔθνος, ἢ σωτηρίου φωτὸς αὐτοῖς ὑπολαμψάντος, αὐτῶν τ μᾶλλον ὃ σκότος ἢ ὃ φῶς ἡγεμόνων, τοῦτ' ὅπερ καὶ εἴλοντο μετῆλθεν αὐτοὺς, ἀναχωρήσαντος μὲν αὐτῶν τ φωτὸς, δόξαν λαβούσης δὲ αὐτοὺς νυκτὸς ἀφεγγοῦς, σκοτιαθείσης αὐτῶν τ δόξαν οἰας, ποὸς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν ἢ ἡμέρας ἐν ταῖς καρδίαις αὐτῶν. ἅμα δὲ καὶ φυγείσης τῆς ποὸς τὸν θεὸν ἀγάπης αὐτῶν, τὰ σύμβολα τούτων εἰκότως ἐτελεῖτο, ἐπληροῦτό τε ἐξῆς τὰ τ ποοῤῥήσεως, ἐπ' τιὼ τοιάνδε τ σωτηρίου ὑπεφαίνετο ἡμέραν ὕδατος ζῶντος ἐξελθόντος ἐξ ἱερουσαλὴμ, εἰς πάντα τὰ ἔθνη ποοχεόντος τ ἀγνίσμου καὶ ζωτικοῦ τῆς ἀγγελικῆς διδασκαλίας, ἀρξαμένου μὲν ἀπὸ τ ἰουδαίας, καὶ ἐξ αὐτῆς γε τ ἱερουσαλὴμ· διαδοθέντος δὲ εἰς πᾶσαν τὴν γῆν, καὶ εἰς πάντα τὰ τῆς οἰκουμένης πέρατα. τούτου δὲ τ ὕδατος καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύ-
» ριος ἡμῶν μνημονεύει λέγων ποὸς τὴν σαμαρείτιν, εἰ ἤδεις τίς ἐστιν ὁ αἰτῶν σε
» πιεῖν, σὺ ἂν ἤτησας αὐτὸν, καὶ ἔδωκεν ἂν σοι ὕδωρ ζῶν. ὅσοι δὲ τοῖς ἀπορρήτοις τῶν ζώντων καὶ λογικῶν νάμασιν ὑπῆρξεν ὠφέλεια, πίστιν ἐξῆς, διδάσκων ὡς οἱ πιόντες αὐτοῦ, τοὺς πάλαι πολλοὺς βασιλεύσαντας αὐτῶν δαίμονας πονηροὺς ἀπορρήνασάμενοι, τὸν ἕνα κύριον καὶ βασιλέα σφῶν αὐτῶν ὁμολογήσουσι, καὶ ὡς ὁ κύριος ὁ μόνος τὸ πρὶν ἑβραίοις γνωριζόμενος, ἡγήσεται βασιλεὺς πάντων τῶν εἰς αὐτὸν ἐξ ἁπάσης τ γῆς πιστευσάντων ἐθνῶν, καὶ ὃ ὄνομα αὐτοῦ ἓν ἔσαι, καὶ κυκλοῖ πᾶσαν τ γῆν καὶ τιὼ ἔρημον. ὃ καὶ αὐτὸ τίς οὐκ ἂν ὁρῶν οὐκ πλανεῖται; ἀπὸ γοῦν τ χριστοῦ ποοσηγορείας, αὐτὸς δὲ ἰῶ ὁ χριστὸς ὁ κύριος, ὃ πᾶν χριστιανῶν ὄνομα, πάντα τόπον καὶ πόλιν καὶ χώραν, καὶ αὐτὰ γε τὰ ἐν ταῖς ἐρήμοις καὶ ταῖς ἐσχατιαῖς τῆς γῆς οἰκουμένα ἔθνη ποοεκύκλωσε, τοῖς τ ποοφητείας ἀκολούθως θαυμασιν.

Ἀπὸ ψαλμοῦ κα'.

Περὶ τῶν κτ' ὃ σωτήριον πάθος ὑπὲρ τελεσθέντων. Εἰς τὸ τέλος ὑπὲρ τ ἀντιλήψεως τῆς ἑωθινῆς.

O θεὸς ὁ θεός μου ποόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τ σωτηρίας μου
» οἱ λόγοι τ παραπτωμάτων μου. ὁ θεός μου κεκράξομαι ἡμέρας ποὸς σε, καὶ οὐκ
» εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος τ
» Ἰσραήλ. ἐπί σοι ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐῤῥύσω αὐτούς. ποὸς σε ἐκέκρα-
» ξαν, καὶ ἐσώθησαν· ἐπί σοι ἤλπισαν, καὶ οὐ κατησχύνθησαν. ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ
» ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωροῦντές με
» ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, ἤλπισεν ἐπὶ κύριον, ῥυ-
» σάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. ὅτι σύ εἶ ὁ ἐκ κοιλίας με ἐκ γαστρός,
» ἐλπίς μου ἀπὸ μαστῶν τ μητρός μου. ἐπί σε ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς
» μητρός μου θεός μου εἶ σύ. μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ
» βοηθῶν. ποοεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες ποοέσχον με. ἤνοιξαν ἐπ'
» ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορ
» πίσθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος, ἐν μέσῳ τ
» κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρυπί μου, καὶ εἰς χεῖρῶν θανάτου κατήγαγές με. ὅτι ἐκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με. ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρί-
θμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με· διεμερίσαντο τὰ ἱμά-
τιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. σὺ δὲ κύριε μὴ μακρύ-
νῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυ-
χήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ
κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρ
μα Ἰακὼβ δοξάσατε αὐτόν. φοβηθήτω ἀπ' αὐτοῦ πᾶν τὸ σπέρμα Ἰσραήλ, ὅτι οὐκ
ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐ-
τοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν, εἰσήκουσέ μου. παρά σου ὁ ἔπαι
νός μου ἐν ἐκκλησίᾳ μεγάλῃ· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων
αὐτόν. φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες
αὐτόν. ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος, μνησθήσονται καὶ ἐπιστραφήσον-
ται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι
αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. ἔφα-
γον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάν-
τες οἱ καταβαίνοντες εἰς τὸν χοῦν. καὶ ἡ ἐμὴ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύ-
σει αὐτῷ. ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύ-
νην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος. Ὁ, ὁ θεός μου προσχες μοι,
ἵνα τί ἐγκατέλιπές με; ἐν ἀρχαῖς τοῦ ψαλμοῦ λεγόμενον, κατὰ τὸν μαθητὴν ἐπὶ τοῦ
σωτῆρος λίμνῃ προσπίπτοντα τοῖς πάθοις καιρὸν οὕτως εἰρηκότος, γνομένης δὲ ὥρας ἕκτης
σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν Ἰησοῦς
φωνῇ μεγάλῃ, λέγων Ἠλωεὶ Ἠλωεὶ λαμμᾶ Σαβαχθανί, ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεός
ὁ θεός μου ἵνα τί ἐγκατέλιπές με. εἰλημμένη ἦν ἡ ἑβραϊκὴ λέξις ἀπὸ τῆς ἐν χερσὶ προ-
φητείας. αὐτὰς γοῦν συλλαβὰς ὁ ἠλεὶ λαμμᾶ Σαβαχθανί, ἡ τοῦ ψαλμοῦ καταρ-
χὴ προεῖπε, ὅθεν ὁ ἀκύλας τοῦτον ἡρμήνευσε τὸν τρόπον, ἰσχυρέ μου ἰσχυρέ μου
ἵνα τί ἐγκατέλιπές με; ταῦτα δὲ ὅτι τοῖς ἐπὶ τοῦ σωτῆρος λίμνῃ καὶ τῶν τοῦ πά-
θους καιρὸν εἰρημένοις ἰδόντα μεῖ, πᾶς ὅστις οὐχὶ ὁμολογήσαι ἂν. ὥσθ' οἱ ἐγχρονιοῦν
ἀναμφιλόγως τὸν ψαλμὸν οὐκ ἐφ' ἕτερον, ἢ ὅτι μόνον αὐτὸν ἀναφέρῃ, ὅπερ
αὐτῷ μόνῳ καὶ οὐδετέρῳ ἁρμόζει τὰ ἐπιφερόμενα. ἀλλ' ἵνα γοῦν ἐπ' αὐτῷ πε-
πληρωμένα ταῦτα μὴ ἀποδείκνυται, καὶ δὴ τὸ φάσκον ἐν ψαλμῷ, διεμερίσαντο
τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ τὴν κατά-
ρασιν δὲ τῶν ἥλων, τῶν χειρῶν καὶ τῶν ποδῶν ὅτι τοῦ σωτῆρος προσηλωθέντων
αὐτῷ, διαῤῥήδην ἐμφαίνει λέγων, ὤρυξαν χεῖράς μου, καὶ πόδας μου, ἐξηρίθμησαν
πάντα τὰ ὀστᾶ μου. καὶ τὰ λοιπὰ δὲ μόνῳ δῆλον ἐφαρμόσαι αὐτῷ, ὡς προϊὼν ὁ λόγος
διδάξει σε. ἢ ὁ βουλόμενος ἐφ' ἕτερον μεταλαβεῖν πρόσωπον, ἤτοι βασιλέως, ἢ
προφήτου, ἢ καί τινος τῶν πώποτε παρὰ Ἰουδαίοις θεοφιλῶν, δηλούτω εἰ οἵός τε
εἴη, ἐφαρμόζων τὰ ἀναγεγραμμένα. τίνι γὰρ τῶν πώποτε κυοφορουμένων ὅτι τοσοῦ-
τον πρὸ ἀρετῆς καὶ δυνάμεως, ὥστε καθεζομένῃ λογισμῷ, καὶ ἀσυγχύτῳ ψυχῇ,

© Centre d'Études Supérieures de la Renaissance - Tours

» νηφθλίφτε φρενήμαθι θεοῦ γνῶσιν ἀναλαβεῖν, καὶ πᾶσιν ὅτι ὃν θεὸν ἀναρτήσαμεν
» αὐτῷ τῷ ξύλῳ, ὥστ' ἀν εἰπεῖν, ὅτι σὺ εἶ ὁ σκεπάσας με ἐκ γαστρὸς μητρός μου,
» καὶ ξύλις μου ἀπὸ μαστῶν τῆς μητρός μου. ὅτι σε ἐπερρίφθην ἐκ μήτρας, ἐκ κοιλίας
μητρός μου θεός μου εἶ σύ. Τίς δὲ τοιοῦτος θεῷ μεμφήμονος, ὃν φασὶν ἀνθρώπων γε-
γονέναι καὶ ἐξουθένημα λαοῦ; ἐκ τοῦ οἴνου δὲ καὶ ποδαπῶν μόχθων καὶ ζάλων
ἐξηνοφθὲν τοιόνδε κεκωκλῶσθαι; τί δὲ παθὼν ὁ δηλούμενος, ὡσεὶ ὕδωρ ἐξεχύθη;
καὶ πῶς διεσκορπίσθη αὐτοῦ τὰ ὀστᾶ; πῶς δὲ εἰς χεῖρα θανάτου κατήχθη, καὶ κατα-
χθεὶς εἰς χεῖρα θανάτου, τὰ τοιαῦτα λαλεῖ ἔτι, καὶ ζῇ καὶ φθέγεται; τίνες ὑπὸ οἱ κύνες οἱ κυκλώ-
σαντες αὐτὸν, ἕτεροι ὄντες παρὰ τοὺς παρανομασμένους ταύρους καὶ μόχθους;
ποία δὲ συναγωγὴ πονηρευομένων τὰς χεῖρας οὐ μόνον, ἀλλὰ καὶ τοὺς πόδας ἐ τη-
λικούτου ὤρυξαν, ἀποδυσάντες τε αὐτὸν, τὰ μὴ τινα διείλοντο αὐτοῦ τῶν ἱματι-
σμάτων, τὰ δὲ καὶ κλήρῳ λαχόντες ἔλαβον; Τίς δὲ ἡ ῥομφαία καὶ ὁ κύων καὶ ὁ λέων;
Τίνες δὲ οἱ λεγόμενοι μονοκέρωτες, τὸν δηλούμενον παρειέχοντες; πῶς δὲ μετὰ τὰ
παρὰ τοσούτοις πάλιν, μετὰ ὃ εἰς χεῖρα θανάτου καταχθῆναι, ἐπαγγέλλεται ὄνο-
μα τοῖς παρ' ἑαυτοῦ διηγεῖσθαι, οὐ πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἑαυτοῦ ἀδελφοῖς; Τίνες τε οἱ ἀδελ
» φοὶ, τίς τε ἡ ἐκκλησία, παρ' ἧς φησιν ὁ τὰ τοιαῦτα παθὼν, ἐν μέσῳ ἐκκλησίας ὑ-
» μνήσω σε; οἷς καὶ ἐπιλέγει, ὡς ἄρα οὐκ ἐν τοῖς ἰουδαίων ἔθνος, πόντα ὄντα καὶ πέρατα τῆς
» γῆς σεσωσθήσονται, καὶ ἐπιστραφήσονται παρὰ κύριον, καὶ προσκυνήσουσιν ἐνώ-
» πιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν; καὶ σὺ δὲ παρὰ σαυτῷ βασανίσας ἑκάτε-
ραν λέξιν τοῦ ψαλμοῦ, θέα εἰ δυνατὸν ὅτι τὸν τυχόντα ἀναφέρῃ τὰ προφητευόμενα.
ἀλλ' οὐκ ἂν ἄλλοις ἑτέρῳ τῳ ἐφαρμόττῃ αὐτὰ, ἢ μόνῳ σωτῆρι ἡμῶν, ὃς πάντων πι-
στότατος ἀν εἴη καὶ ἀληθέστατος, εἰς ἑαυτοῦ πρόσωπον ἀναφανδὸν τὰ ἀπὸ τοῦ ψαλμοῦ
φωνῶν, ὡς ἐμπλήσομεν οἱ διαγελισταί. ὁ μὲν μαθητὴς δι' ὧν προεθέμεθα αὐτοῦ
» λέξεων· ὁ δὲ κύριος δι' ὧν καὶ αὐτὸς ὧδέ πως ἰσορροπῶν λέγων, γνωσθήσεται δὲ ὥσπερ ἔκτης
» σκότος ἐγένετο ἐφ' ὅλης τῆς γῆς, ἕως ὥρας ἐνάτης. καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς
» φωνῇ μεγάλῃ λέγων, ἠλεὶ ἠλεὶ λαμμὰ σαβαχθανὶ, ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεός
» ὁ θεός μου, εἰς τί ἐγκατέλιπές με; καὶ τίνες τῶν ἀκουσάντων ἔλεγον, ἠλίαν φωνεῖ. Φέ-
ρε δὴ οὖν τούτοις ἀκολούθως ἴδωμεν, ὅπως εἰς αὐτὸν ἀνενεχθήσεται τὰ ἀπὸ τοῦ ψαλ-
» μοῦ δηλούμενα. καὶ πρῶτόν γε ἀναλάβωμεν τὰ φάσκοντες προσγραφὴν, εἰς ὃ τέ-
» λος, ἢ, κατὰ τὸν ἀκύλαν, τῷ νικοποιῷ, ἢ, κατὰ ὃν σύμμαχον, ὑπινίκιος ὑπὲρ τῆς ἀντι-
» λήψεως. ταῦτ' ἰδίμας ὑπεισέρχεται, ὅτι τὸ μὲν σωτήριον πάθος, ὡς αἱ λέξεις τῶν διαγ-
γελιστῶν πρέσπει, σκότους γνόμενον ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης, ἀμφὶ τὴν
ἐνάτην συνετελέσθη, ὅτε καὶ τὴν φωνὴν ἀφῆκε τὴν μεγάλην, τὰ μικρῷ πρόσθεν
δεδηλωμένα εἰπών, ὥσθ' ὁμολογεῖσθαι σαφῶς τὸ πάθος αὐτοῦ ἀμφὶ τὴν ἑσπέραν νυκτὸς
ἐπελαυνούσης γεγονέναι. τὰ δὲ τοῦ νεκρῶν ἀναστάσεως, ἥτις ἐν ἀντιλήψει τοῦ πα-
θόντος ἀναλαμβανομένου, καὶ εἰς ἑαυτὸν ἐκ τῶν τοῦ θανάτου χωρίων ὑπαπωμένου,
καὶ λαμβάνοντος αὐτὸν, ἀμφὶ τὴν ἕω γέγονεν, ὡς αὖθις ἀπὸ τῆς τῶν διαγελιστῶν
» πρίσεως πρίσαται. ὁ γοῦν λουκᾶς φησι, τῇ δὲ μιᾷ τῶν σαββάτων ἦλθον ὄρθρου
» βαθέως ἐπὶ τὸ μνημεῖον, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, δηλονότι αἱ γυναῖ-
» κες, καὶ τίνες σὺν αὐταῖς. εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἐκ τοῦ μνημείου· εἰ-
» σελθοῦσαι δὲ οὐχ εὗρον τὸ σῶμα, ἀφ' οὗ ἤδη τὸν σωτῆρα ἡμῶν ἐκ νεκρῶν ἐγη-
γέρθαι.

» γέρθαι. τοῦτο δὲ αὐτὸ καὶ ὁ μάρκος δηλοῖ λέγων, καὶ λίαν πρωΐ, τῇ μιᾷ τῶν σαββάτων
» ἔρχονται ἐπὶ τὸ μνημεῖον ἔτι ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς, τίς
» ἀποκυλίσῃ ἡμῖν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου; ἦν γὰρ μέγας σφόδρα. ἔρ-
» χονται, καὶ εὑρίσκουσιν αὐτὸν ἀποκεκυλισμένον· ἦν δὲ ἤδη ἐγηγερμένος. ἔχεις καὶ παρὰ
» τῷ ἰωάννῃ τὴν αὐτὴν μαρτυρίαν, λέγοντι, τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται μαρία ἡ
» μαγδαλήνη πρωΐ, εἰς τὸ μνημεῖον, ἔτι σκοτίας οὔσης. καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ
» τοῦ μνημείου. καὶ ὁ ματθαῖος δὲ, εἰ καὶ ὀψὲ σαββάτων εἴρηκεν, ἀλλ' ἐπιφέρει λέγων, τῇ
» ἐπιφωσκούσης εἰς μίαν σαββάτων, ἦλθε μαρία ἡ μαγδαλήνη, καὶ ἡ ἄλλη μαρία
» θεωρῆσαι τὴν τάφον, καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ
» οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου. ταῦτα δὲ
ἀναγκαίως παρεθέμην εἰς παράστασιν τῆς ἐν τῷ ψαλμῷ προφητευομένης ἑω-
θινῆς ἀντιλήψεως. ἐπεὶ γὰρ τὰ περὶ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν σημαίνει, οὐ μὴν
κατέληξεν ἡ κατ' αὐτὸν οἰκονομία ἐν τῷ πάθει, τέλος δὲ τοῦ πάθους ἡ ἐκ νεκρῶν
ἀνάστασις ἦν, καὶ ἡ ἀντίληψις ἡ ἑωθινὴ, εἰκότως ὁ λόγος τῷ παρὰ δόξῳ τέλει τὴν γρα-
φὴν ἀνατίθεται, ὡς τῆς ὑποθέσεως ἁπάσης, καὶ τῶν πρὸ τοῦ τέλους παθημά-
των, τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς ἕνεκεν, γενομένων. εἰ-
» πὼν γοῦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν τὸ, ὁ θεὸς ὁ θεός μου πρόσχες μοι, ἱνατί ἐγκατέ-
» λιπές με· καὶ ἑξῆς ἐπαγαγὼν τὸ, ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀν-
» θρώπων, καὶ ἐξουδένημα λαοῦ· καὶ ἔτι προσθεὶς τὸ, περιεκύκλωσάν με μόσχοι πολ-
» λοὶ, ταῦροι πίονες περιέσχον με· καὶ σαφῶς τὸν θάνατον αὐτοῦ προμαρτυρόμενος,
» διὰ τὸ, εἰς χοῦν θανάτου κατήγαγές με, ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συνα-
» γωγὴ πονηρευομένων περιέσχε με. ὤρυξαν χεῖράς μου καὶ πόδας μου· καὶ ἔτι τὰ ἀμ-
» φὶ τῷ πάθει συμβεβηκότα αὐτῷ σημήνας διὰ τοῦ, διεμερίσαντο τὰ ἱμάτιά μου
» ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· ταῦτα καὶ τὰ τούτοις παραπλή-
» σια προειπὼν, οὐκ ἐπὶ τούτοις ἔστη, ἀλλ' ἐπιλέγει, οἱ φοβούμενοι τὸν κύριον αἰνέσα-
» τε αὐτὸν, ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέ-
» στρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι μὲ πρὸς αὐτὸν ἐπή-
» κουσέ μου. πῶς δ' ἂν ἔλεγεν εἰσηκοῦσθαι, εἰ μὴ πάντως τετυχήκει τῶν εὐχῶν, καὶ
» ὧν ἐν τοῖς πρόσθεν ἐδεδέητο, ὅτε ἔλεγε τὸ, εἰς χοῦν θανάτου κατήγαγές με· ῥῦ-
» σαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου; ταῦτα
γὰρ εὐξάμενος, καὶ δεηθεὶς ἐκ τούτων ῥυσθῆναί τε καὶ σωθῆναι, τυχὼν ὧν ἠύξατο,
» ἐπιλέγει, οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρε-
» ψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ
» μου, σαφῶς τὴν μετὰ θάνατον ἀναβίωσιν αὐτοῦ δηλῶν, ἥτις γέγονε κατὰ τὴν ἑωθι-
» νὴν ἀντίληψιν, ἣν ἑξῆς προϊὼν ὁ ψαλμὸς παρέστησεν εἰπὼν, σὺ δὲ κύριε μὴ μα-
» κρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. ποίαν δὴ ἀντίληψιν, ἀλλ' ἣν
καὶ ἡ προγραφὴ τοῦ ψαλμοῦ ἠνίττετο; ἀλλὰ ταῦτα μὲν ἡμῖν εἰρήσθω εἰς τὴν τοῦ ψαλ-
μοῦ προγραφήν. εἰς δὲ τὸ ἠλεὶ ἠλεὶ λαμμᾶ σαβαχθανὶ, εἰρημένον μὲν ὑπὸ τοῦ σωτῆ-
ρος ἡμῶν αὐτοῖς ἑβραϊκοῖς ὀνόμασι περὶ τὴν τοῦ πάθους καιρὸν, κείμενον δὲ καὶ ἐν τῷ
ψαλμῷ, ὅρα μήτις ἔγκειται βαθυτέρα θεωρία παρ' ἑβραίοις. ἐγώειμ γὰρ ὁ θεὸς ὀνο-
μάζεται. καὶ τοῦτο διὰ πάσης σχεδὸν εὕροις ἂν τῆς γραφῆς· ἐπεὶ καὶ κυρίως οὔ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

τῷ παρὰ τοῖς ἑβδομήκοντα ἔτι καὶ νῦν τῇ ἑβραίων ὀνομάζεται φωνῇ. φέρονται γε-
μὴν παρ' αὐτοῖς ἐπὶ τῆς θείας προσηγορίας καὶ ἑτέραι τινὲς ἐκ φωνήσεις, ὡς παρ-
οῦν καὶ τὸ, Σαδδαὶ, καὶ τὸ ἰαὼ, καὶ ἦλ, καὶ ἄλλα τούτοις παραπλήσια. ὁ δὴ οὖν μετὰ χεῖ-
ρας ψαλμὸς ἀπὸ τοῦ ἦλ, ἠλεὶ ἠλεὶ λαμμᾶ σαβαχθανὶ περιέχει, ᾧ κέχρηται καὶ ὁ κύ-
ριος ἡμῶν, οὐ μὴν ἀπὸ τῶν ἑλωείμ. ὁ γοῦν ἀκύλας διαφορὰν εἰδὼς τῆς παρ' ἑβραίοις
θεοῦ προσηγορίας ἐκ τῶν ἑλωείμ σημαινομένης, τὸ νῦν δηλούμενον ἐν ᾧ ἠλεὶ ἠλεὶ,
» οὐκ ἠξίωσεν ὁμοίως τοῖς λοιποῖς, ὁ θεὸς ὁ θεός μου μεταβάλλων εἰπεῖν, ἀλλὰ ἰσχυ-
» ρέ μου ἰσχυρέ μου. τὸ δ' ἀκριβές ἐστιν, ἰσχύς μου ἰσχύς μου. ὥστε κατὰ τὴν τούτου διά-
νοιαν, τὸν ἀμνὸν τοῦ θεοῦ τὸν ἡμέτερον σωτῆρα φάσκοντα τὸ ἠλεὶ ἠλεὶ πρὸς τὸν πα-
» τέρα, λέγειν, ἰσχυρέ μου ἰσχυρέ μου ἱνατί ἐγκατέλιπές με. καὶ τάχα ἐπεὶ ἐγκατέλι-
» πεν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, τούτου χάριν ἐσταυρώθη, ὥς φησιν ὁ ἀπόστολος, καὶ γὰρ ἐσταυ-
» ρώθη ἐξ ἀσθενείας, καὶ ζῇ ἐκ δυνάμεως θεοῦ, ὡς μὴ σταυρωθεὶς ἄν, εἰ μὴ ὁ ἰσχυ-
» ρὸς αὐτοῦ καταλελοίπει αὐτόν. καὶ ὅρα εἰ μὴ ἔπρεπε τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν ὡς πρό-
βατον ἐπὶ σφαγὴν ἀχθέντα, καὶ ὡς ἀμνὸν ἐναντίον τοῦ κείροντος ἄφωνον, τὰς οἰ-
κείας δυνάμεις ἀνατιθέναι τῷ θεῷ, καὶ μηδὲν ἴδιον ἔχειν ἡγεῖσθαι, ἢ μόνον τὸν πα-
τέρα, διὸ καὶ ἰσχυρὸν τὸν πατέρα αὐτοῦ ἀποκαλεῖν, ὡς καὶ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ,
ἰσχὺν ἑαυτῷ καὶ κραταίωμα καὶ καταφυγὴν τὸν πατέρα ὀνομάζει, λέγων, ἀγα-
» πήσω σε κύριε ἡ ἰσχύς μου, κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. ὁ
» θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτὸν, ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας
» μου, καὶ ἀντιλήπτωρ μου. καταλέλοιπεν οὖν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, θελήσας αὐτὸν μέ-
χρι θανάτου, καὶ θανάτου σταυροῦ κατελθεῖν, καὶ τοῦ κόσμου παντὸς λύτρον καὶ ἀν-
τίψυχον ἀποδειχθῆναι, καὶ καθάρσιον γενέσθαι τῆς τῶν εἰς αὐτὸν πιστευσάντων ζωῆς.
ὁ δὲ αὐτίκα μάλα συναισθόμενος τῆς ἐνθέου καὶ πατρικῆς βουλῆς, διαγνούς τε, εἰ
καὶ τις ἄλλος, τὰ αἴτια τοῦ καταλελεῖφθαι αὐτὸν ὑπὸ τοῦ πατρὸς, ἔτι πολὺ πλέον
ἐταπείνωσεν ἑαυτὸν, καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον πολλῇ τῇ προθυμίᾳ περιεβάλλετο,
» ἐγένετό τε ὁ πανάγιος καὶ εὐλογητὸς, ὑπὲρ ἡμῶν κατάρα, καὶ ὁ μὴ γνοὺς ἁμαρτίαν,
» ἁμαρτία, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ. καὶ ἔτι πρὸς τούτοις τὰς
ἡμετέρας ἁμαρτίας ἀναμαξάμενος ἐσταυρώθη, ὃ ἐχρῆν ἡμᾶς τοὺς πρὶν ἀσεβεῖς
παθεῖν, ἀντίψυχον ἡμῶν καὶ ἀντίλυτρον γεγενημένος, ὥστ' ἂν εὐλόγως εἰπεῖν ἡμᾶς
» τὸ προφητικὸν, αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ αὐτὸς
» ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν.
» ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν. κύριος γὰρ παρέδωκεν αὐτὸν τοῦ ἁμαρτίαις
» ἡμῶν. διόπερ ὡς παραδοθεὶς ὑπὸ τοῦ πατρὸς, καὶ μαλακισθεὶς, καὶ τὰς ἀνομίας ἡ-
» μῶν ἀνειληφὼς, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. συνᾴδει τούτοις καὶ ἀπόστολος
» λέγων, ὅς γε ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν.
» κινεῖν δὲ ἡμᾶς ἐπὶ ζήτησιν τῆς αἰτίας, δι' ἣν αὐτὸν ὁ πατὴρ κατέλιπε, φάσκει, ἱνατί
» με ἐγκατέλιπες; τὸ δ' αἴτιον τοῦτο ἦν, ἡ τοῦ παντὸς ἀνθρώπων γένους ἀπολύτρωσις,
» τῷ τιμίῳ αἵματι ἐξαγοραζομένη ἀπὸ τῆς πρὶν χαλεπῆς δουλείας, ἣν τοῖς ἀοράτοις
» δεσπόταις, δαίμοσιν ἀκαθάρτοις καὶ πονηροῖς ἄρχουσί τε καὶ πνεύμασιν καταδεδού-
» λωντο. καὶ ἄλλως δὲ καταλέλοιπεν αὐτὸν ὁ πατὴρ, καὶ αὐτοῦ τοῦ χριστοῦ τὴν ὑπὲρ ἀνθρώ-
» πων διάθεσιν ἀποδειχθῆναι θελήσας. διὸ μηδενὸς ἔχοντος ἐξουσίαν τῆς αὐτοῦ ψυχῆς

ἑκὼν

© Centre d'Études Supérieures de la Renaissance - Tours

» ἐκεῖνον αὐτὸς ὑπὲρ ἀνθρώπων αὐτῷ τεθνηκεν, ὡς παροιμίᾳ διδάσκει λέγων, ὑδεὶς ἀμπ τ
» ψυχὴν μου ἀπ' ἐμοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.
» ἐξῆς λέγοις φησὶ, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. διὸ δ
» οὐ μὴ ἀκούσας, μακρὰν ἀπὸ τῆς σωτηρίας μου ῥήματα βρυχημάτων μου, ἐξέδωκεν.
» ὁ δὲ σύμμαχος, ἀφεῖνται ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν ὀδυρμῶν μου. ἃ καὶ
» ἑτέρωθι δὲ φερομένην ἑρμηνείαν πέμπτην εἴρηκε, μακρὰν ἀπὸ τῆς σωτηρίας μου
» οἱ λόγοι τῶν δεήσεών μου. ὅρα δὴ οὖν ὅτι κατ' ἀμφοτέραν τούτων τὴν, τῶν παραπτω-
» μάτων μου εἴρηται, ὡς συμβαίνει ποτὲ σφήμασι γραφικῷ τοιαύτας λύπας ἐνδη-
» λαγὰς φέρεσθαι. ὃν δὲ τὸν τῶν πλησίον ἑρμηνέας καταληπτέον. εἰ μὴ ἄρα τις
» καινοῦν τὰ ἡμέτερα παραπτώματα ἀξιοικειούμενον τοῦτο αὐτὸν εἰρηκέναι φήσει.
» τούτοις ἐξῆς ὑπιλέγει, ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς,
» καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. διὸ καὶ πάλιν ὁ σύμμαχος, ὁ θεός μου, φησὶ, βοήσω ἡμέ-
» ρας, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ ἔστι σιγή. θαυμάζει δὴ οὖν ἐν τούτοις ὃν
πατέρα ὡς μὴ εἰσακούοντα αὐτοῦ, ξένον τι τοῦτο καὶ παρὰ τὸ σύνηθες θεωρῶν. ὁ
δὲ ἐφύλαττεν αὐτῷ τὴν ἀκολουθίαν εἰς ὃν ὑπετίθετο τὴν εἰσακουσθησομένην καιρόν. ὅτε δὲ
ἦν ὁ τῆς ἀντιλήψεως τοῦ ἐωθινὸς καὶ ὁ τῆς ἐκ νεκρῶν ἀναστάσεως καιρὸς, καθ' ὃν, εἰ καὶ λίαν
» ἀνήκω, καὶ αὐτῷ δικαίως ἂν ᾄδοιτο, ἐν καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ
» σωτηρίας ἐβοήθησά σοι. ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.
λέγοιτο δ' ἂν ταῦτα καὶ ἕτερος ἀντὶ σωτῆρος ἡμῶν, ὡς εἰωθότος μὲν ἀεὶ καὶ πρώ-
τοτε εἰσακούεσθαι ἀντὶ τῶν πατέρων, νῦν δὲ πιστεύοντος εἰσακουσθήσεσθαι, ὥστε καφέ-
τερον ἔλεγε, μὴ οἷόν τε ἔστιν ὦ πάτερ ἐμὲ ὃν σὸν μονογενῆ καὶ ἀγαπητὸν υἱόν, μὴ
εἰσακούεσθαι, βοῶντα καὶ κεκραγότα πρός σε τὸν ἐμαυτοῦ πατέρα; διδάσκει γοῦν
» αὐτὸ τοῦτο ἐν τῷ κατ' Ἰωάννην εὐαγγελίῳ ὅτι τῷ λαζάρου, ὀπηνίκα εἶπεν, ἄρα-
» τε τὸν λίθον ἀπὸ τοῦ μνημείου, ἐπῆρε τοὺς ὀφθαλμοὺς ἑαυτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶ-
» πε, πάτερ εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις. εἰ
τοίνυν πάντοτε αὐτοῦ ἀκούει, οὐκ ἀμφιβόλως, ἀλλ' ἀκριβῶς ὑπισταμένους ὅτι καὶ
νῦν αὐτοῦ εἰσακούσεται, ὡς ἀδιαπτώτου ὄντος τοῦ μὴ εἰσακούεσθαι αὐτόν, ἐρωτηματι-
» κῶς φησιν, ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ; ἀπορούντων ἡμῶν
» ἐν τῷ, οὐκ εἰσακούσῃ, καὶ ὃ ἀναμένον ἀπροσδοκήτων ὑπόμνησιν ἔσχεν. τοῦτο γοῦν δι-
» δάσκει μικρὸν ὕστερον, παρῳκηκὼς ἐξῆς ἐν τῷ ψαλμῷ, λέγων, οὐκ ἐξουδένωσεν οὐδὲ
» παρεσώρησε τὴν δέησιν τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ,
» καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκουσέ μου. πῶς οὖν ἀποφαντικῶς λέ-
» γοι ἄν, ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, εἰ μὴ κατὰ τὴν ἀποδοθεῖ-
» σαν ἡμῖν θεωρίαν; διὸ οἶμαι καὶ αὐτὸν αἰνίττεσθαι, λέγοντα, ὁ θεός μου κεκράξομαι
» ἡμέρας, καὶ οὐκ εἰσακούσῃ; καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. οὐ γὰρ εἰς ἄνοιαν, φη-
» σὶν, ἐμοὶ λέγεται τὸ, εἰσακούσῃ. οἶδα γὰρ αὐτὸς ὅπως ἕκαστα φημι, πεπεισμένος, ὅτι πέ-
φυκας οὐχ ὅτι γε ἐμοῦ μόνου ἀντιλαμβάνεσθαι καὶ εἰσακούειν, ἀλλὰ καὶ πάντων τῶν
» ἁγίων σου. ἀεὶ γὰρ καὶ πανταχοῦ ἐν τοῖς ἁγίοις σου καθοικεῖς, καὶ σὺ εἶ ὁ πανταχοῦ ἀν-
» θρώπου θεοφιλοῦς, ἰσαρίθμῳ παρακαλουμένου, ἔπαινος. καί σε γὰρ πάντα ὧν σε πε-
» ριέπουσι οὐχ ὁ τυχὸν παρασύνεται ἔπαινος, ὅτι σοὶ οἱ πατέρες ἡμῶν ἠλπίσαμεν,
» καὶ πεποίθαμεν καὶ ἐρρύσθησαν, καὶ πρός σε ἐκέκρα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

" ξάμ, ἐ ἐσώθης· ὅπι εἶ τε ἤλπιᾳς, ϗ οὐ καπηχμώθης· ὅπῳ οὖν πάντες οἱ ἄγιοι
τούτων ἔτυχον ωδε σύ, κεκεφάξαντές τε εἰσηκούσθης, ϗ οὐ καπηχμώθης, πό-
σῳ δὴ πλέον ἐμοῦ τῦ σῦ ἀγαπητοῦ παιδὸς βοῶντος, μᾶλλον ἀπιδώτων ἐ ἑτοιμό-
τερον εἰσακούσῃ; εἰ δὲ ϗ ἀποθαυμαστικῶς φημι, κεκεφάξομαι ϗ οὐκ εἰσακούσῃ;
ἀλλ' οὐκ εἰς δύοιαν ὁ λόγος μοι ωεφέρεται. οἶδα γοῦν ὅπως τιὸ δύχλιὸ ωεφ-
φέρω, μὴ ἀναβρυόμενος μηδὲ ἐκαυχώμενος, ἀλλ' ὡς ταπεινοφρονῶν. ἐπεὶ γὰρ
ωεφύός εἰμι ϗ ταπεινὸς τῇ καρδίᾳ, ταπεινῶς καὶ τῇ ἐμαυτοῦ ωεφύτητι οἰκείως
ωρὸς ἐμαυτοῦ ταπεινὰ φθέγξομαι. οὕτω δὴ ϗ σκώληκα ἐμαυτὸν ὀνομάζω. τί γὰρ
δὺ ζώοις σκώληκος ταπεινότερον; ὅθεν ὅλ' αὐθεφτον ἐμαυτὸν εἶποιμ' ἄν, εἰς το-
σαύτιν ταπείνωσιν ὀκ ἔ οἰκείᾳ μεγέθους κατελθών, ὥστε ἐ σκώληκος μηδὲν δο-
κεῖν ζιαφέρειν, ζιαφθορᾶς καὶ θανάτου ϗ τ τῦ σώματος φθάσας φθορᾶς. πόθεν
γὰρ ἂν ζώθεν γένηται σκώληξ, ἢ ἀπὸ σωμάτων φθορᾶς, εἰς ἣν ϗ αὖθις κατελθών, εἰ-
" κότως ἐμαυτὸν σκώληκα ἐ ὀκ ἄν αὐθεφτον γνώσκω. ζιὸ ϗ γέγονα ὀνάδος ἀνθεφ-
" πων, καὶ ἐξουδένημα λαοῦ, ὀκ ἂν ζώοις οὐδὲ ὀνάδος ἀνθεφτων, οὐδὲ ἐξουδέ-
νημα, εἰ μὴ μέγεθος σκώληκος ἐφθάκειν ωδε τ ἔ πάθους κτεθέν. τινικαῦτα γοῦν
" θεωρεῶντές με ὅπι τῦ σωτῆρος ἀνηρτημένον, ἐξεμυκτήεισάν ϗ ἐλάληᾳ ἐν χεί-
" λεσιν, ἐκίνησάν τ κεφάλιὸ λέγοντες, ἤλπισεν ὅπι κύεσθαι, ῥυσάσθω αὐτὸν, σωσάτω
" αὐτόν, ὅλι θέλᾳ αὐτόν. ταῦτα μὲν οὖν ἄπαντα ζιὰ ἔ ψαλμοῦ σαφῶς ωεὶ τ μελ-
λόντων γενήσεσθαι μακροῖς ποτ' ὕστερον χρόνοις ἐθεασάμεθα, τέλους ἤ ἐτύγχανεν,
" ὁπότε, κτ' τὸν μαθητῶν, σωρωθέντων σὺν αὐτῷ δύο λῃστῶν, ἑνὸς ἐκ δεξιῶν, καὶ ἑ-
" νὸς ἐξ ἀριστερῶν ἔ σωτῆρος, οἱ ωδε παροδεύοντες ἐβλασφήμουν αὐτὸν κινοῦντες
" τὰς κεφαλὰς αὐτῶν, ϗ λέγοντες, οὐαὶ ὁ καταλύων τ ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰ-
" κοδομῶν, σῶσον σεαυτὸν, εἰ υἱὸς εἶ τῦ θεοῦ, καταβηθι ἀπὸ τῦ σταυροῦ. ὁμοίως δὲ καὶ
" οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετ' ἀλλ' ωρεσβυτέρων ϗ γραμματέων ἔλεγον, ἄλλους ἔ-
" σωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. εἰ βασιλεὺς τοῦ ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ
" τῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. εἰ πέποιθεν ὅπι ἐν θεὸν, ῥυσάσθω νῦν αὐτὸν,
" εἰ θέλᾳ αὐτόν. εἶπε γὰρ ὅτι υἱὸς θεῦ εἰμι. κτ' ἣν λευκῶν, εἰσήκει ὁ λαὸς θεωρῶν, ϗ
" ἐξεμυκτήεισον αὐτὸν οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες, ἄλλους ἔσωσε, σωσάτω ἑαυ-
" τὸν, εἰ οὗτός ἐστιν ὁ χριστὸς ὁ υἱὸς τῦ θεῦ ὁ ἐκλεκτός. κτ' δὲ ὃν μύκον, ϗ οἱ ωδά-
" γοντες ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, ϗ λέγοντες, οὐαὶ ὁ κα-
" ταλύων τ ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὖθις, σῶσον σεαυτὸν, ἐ καταβηθι
" ἀπὸ τῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες εἰς ἀλλήλους μετ' ἀλλ' γραμ-
" ματέων ἔλεγον, ἄλλους ἔσωσιν, ἑαυτὸν δ δύνα" σῶσαι. ὁ χριστὸς ὁ βασιλεὺς ἔ ἰσρα-
" ὴλ καταβάτω νῦν ἀπὸ τ σταυροῦ, ἵνα ἴδωμεν ϗ πιστεύσωμεν αὐτῷ. ταῦτα γὰρ τί
" δὺ ζιαφέρει τ ἐν τῷ ψαλμῷ ωεφαναπεφωνημένων ἐν τῷ, ἐγὼ δέ εἰμι σκώληξ,
" ϗ ὀκ ἄνθεφτος, ὀνείδος ἀνθεφτων ἐ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωρεῶντές
" με ἐξεμυκτήεισάν με, ἐλάληᾳ ἐν χείλεσιν. ἐκίνησᾳ κεφαλὴν, ἤλπισεν ὅπι κύεσθαι, ῥυ
σάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλᾳ αὐτόν. ϗ μὴ θαυμάσῃς εἰ ταῦτα κτ' ὁ πά-
" θος τ σωτῆρος ἡμῶν εἴρηταί τε ϗ πεπλήρωται, ὅπότε εἰσέτι δοῦλος ωδε πᾶσιν ἀν-
" θεφτοις ζοῖς μηδέπω τιὸ εἰς αὐτὸν πίστιν δύχληφόσιν ὀνείδος ἀνθεφτων νενόμι-
" σται. τί γὰρ δὺ αἴσχιον καὶ πάντος ὀνείδους χεῖρον τῦ σταυρωθῆναι; ἀλλὰ καὶ ἐξου-

δένημα

δέ νημα λαοῦ ὄϛι, τῦ ἐκ ϖϵιθομῆς, ϖῶτος αὐτῶν ϔ ἔθνους εἰσέτι νεῶ καὶ σήμερον χλοάζῃν καὶ ὄζουθενδρι καὶ κλαπύῃ εἰωθότος αὐτό; ὅθεν ϗ εἰκότως ὁ ἀπόστολος, ἡμεῖς δὲ κηρύσσομεν χϵιϛὸν ἐσταυρωμένον, ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν. ϵ Τὰ ἑξῆς δὲ εἰρημένα ἐν ᾧ ψαλμῷ εἰσέλθῃ ϵ νεῶ ὕϕϵις μὲν ϖρὸς τοῖς ϖολλοῖς ϖϵὶ τῦ αὐτῦ λεγόμενα. Ταῦτα μὲν οὖν ϖϵὶ τῆς ἀϕθαρσίας αὐτὸν εἰσέτι τότε ϖϵισάσεως ἠύχϵτο. εἰδὼς δὲ μὴ χείρονα οὖσαν τῆς τῦ θανάτου συμϕορᾶς τὴν ϖροφητικὴν αὐτῦ εἰς ϲάρκα ἔνδυσιν, καὶ τὴν ἐκ ϖαρθενίας καὶ ϖαρθένου γένεσιν, ϗ καιρὸν ἐν τοῖς ϖϵὶ θανάτου τῶν τῆς ψυχέσεως αὐτῦ μνημονεύϕ λόγων ϖϵὸς τὸν ϖατέρα, ὅτι σὺ εἶ ὁ ἐκκαλύψας με ἐκ γαστρός, λέ ϔίπίς μου ἀπὸ μαστῶν τ μήτρός μου· ὅτι σε ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μήτρός μου θεός μου εἶ σύ. Τούτων δὲ εἰκότως ἀναφέρϕ τὴν μνήμην εἰς ϖροφητείαν τῆς τῶν ϖρόντων ἀπαλλαγῆς. ὡς γὰρ, ϕησί, γέγονάς μου βοηθὸς, σῶμα ἀθάνατον ἀναλαβόντος, ὅτε ϗ ἐξ αὐτῆς τ κυοφορήσης με γαστρὸς σὺ αὐτός ὁ θεός μου, καὶ ϖατήρ μου, ὡσαύτως μεμούμενος τὴν ἐμοὶ κατεσκευασμένην ἐξ ἁγίου ϖνεύματος ϲάρκα ἐξέπασας, τὴν ἑαυτοῦ δυνάμιν ὀρέξας, ὡς ἂν μή τις ἐνέδρα ϗ ὕπόκρισις ἐξ ἀνθικειμένων δυνάμεων ϗ ϖονηρῶν ϖνευμάτων ἀφθόνως μένων τῇ εἰς ἀθανάτους ϖρόδῳ μου ϕθοροποιῶ· ἐπεὶ ϗ χ̄ν τὴν ϖροφητικὴν σύλληψιν σὺ ϖάλιν ὁ χ̄ν γαστρὸς ἐπεσκίασας, ὡς ἀνλάβῃ τοὺς ἀρχηγέτας τῦ αἰῶνος τούτου ἐκ ἐξ ἁγίου ϖνεύματος τῆς ἁγίας ϖαρθένου σύλληψις. ὅθεν μέγα μυστήριον ὁ τὸς ἀρχάγγελος ἐξέϕωνε γαβριὴλ, τῇ μακαρίᾳ εἰπών, ϖνεῦμα ἅγιον ἐπελεύσεταί σε, ϗ δύναμις ὑψίστου ἐπισκιάσῃ σοι, ὡσαύτως οὖν καὶ τότε τῦ ὑψίστου δύναμις συλλαμβανόμενον μὲν ἐπεσκίασε, τὸ γόμενον δὲ ἐξέπασεν ἀπὸ γαστρὸς μήτρός μου· οὕτω ϖολλή μοι τυγχάνϕ ϖροφητεία, ὅλη ϵ τῦ θανάτου μὲ ϖολὺ μᾶλλον δυνασάσης. καὶ τοῦτό γε ϔίπίζων, ὅτι σε ϖέποιθα τὸν ἐμαυτοῦ θεὸν ϗ κύριον ϗ ϖατέρα, ϗ ϖέποιθα ἐν νεῶ ϖροφήτην ἐξάρμενος τῆς εἰς σὲ ϔίπίδος, ἀλλ ϗ ὅτε ἀπὸ μαστῶν μήτρός μου τὴν νηπιώδη ϵϕθόγγον ἀναλαμβάνων, νομίζομεν ὁμοίως τοῖς τῶν ἀνθρώπων βρέϕεσιν ἀτελὴς εἶ ϗ ἄλογος· μὴ ὢν γὰρ τοιοῦτος, εἰ ϵ σῶμά μοι ὅμοιον ἀνθρώποις ἐῶ, ϗ τὴν δύναμιν, ϵ δὲ τ οὐσίαν τοῖς ϖολλοῖς ὢν ἐμϕερής, ἄνϵλος δὲ ϗ ἀπόλυτος, οἷά σε τῦ θεοῦ ἀμνός, ϵ ἐξ ἐκείνης τ ἡλικίας γαλουχούμενος, λέγω δὴ ἀπὸ μαστῶν τ μήτρός μου. ϗ οὔπω τοῦτο μέγα τις λογήσεται, εἰ μάθοι ὅτι ϵ ἔτι ϖρότερον ὅτι σε ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μήτρός μου θεός μου εἶ σύ. ἔτι γὰρ ἐνδον ἐν ᾧ ταμείῳ τ κυοφορήσης με φερόμενος, σὲ τὸν θεόν μου ἐώρων, ἅτε ἀσύγχυτος ϗ ἀδόλωτος ἐν τῇ τοσαύτῃ τῶν ϲαρκῶν κοινωνίᾳ διαμείνας, μᾶλλον δὲ ἀσώματος καὶ τότε ὢν, καὶ ϖάντων ϔίδίτερος δεσμῶν· οὕτως δὲ ὅτι σε ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μήτρός μου ἦθα, ὡς αἰσθέσθαι τῆς ἐμῆς δυνάμεως ἐν κυοφορουμένης ϖρὸς τῆς ἁγίας ϖαρθένου, ὃν ἐμὸν ϖροσδρομον ἰωάννην, ϗ ἀδὲν χ̄ν γαστρὸς τῆς ϔίβέτ κυοφορύμενον, ὡστε ἐκ τῆς ἐμῆς θεότητος κινηθέντα σκιρτῆσαι ἐν ἀγαλλιάσει, ϗ ϖνεύματος ἁγίου πλησθῆναι. Τούτων οὖν ἀπάντων ἀναφέρων τὴν μνήμην, ϗ ὅϛ ϖάντως τὸν θεόν μου ϗ ϖατέρα μου ϖρὸ τῶν ἐμῶν ὀφθαλμῶν ἑώρμενος, εἰκότως ϗ χ̄ν τὸν ἐνεστῶτα ϔ ϖερεχόντος με ϖάθους καιρὸν, ὅτε σοὶ τῷ ϖατρὶ ϗμόμενος ὑπήκοος αὐθαίρετος καὶ

ἑκὼν γέγονα σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ· καὶ νῦν ὅτε πάντες οἱ θεωροῦντές μου τὸ σῶμα τῷ σταυρῷ προσηλούμενον, ἀποτρόπαιον ἡγούμενοι ὁρᾶν πρᾶγμα, ἐξεμυκτήρισάν με, τοσαύτην κατ' ἐμοῦ χλεύην καὶ διασυρμὸν καταχέοντες, ὡς μὴ μόνον ἐν διανοίᾳ λογίζεσθαι καὶ ἐνθυμεῖσθαι περὶ ἐμοῦ τὰ ἀσεβῆ, ἀλλὰ καὶ ἀφόβως φθέγγεσθαι καὶ ἐν φανερῷ λαλεῖν· ἐκάλησαν γοῦν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, λέγοντες, ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· καὶ νῦν γοῦν ὅτε τὰ τοιαῦτά με περιέστηκε, σὲ τὸν πατέρα μου τὴν ἐκσπάσαντά με ἐκ γαστρὸς μητρός μου, ἐφ' ὃν ἐπερρίφην ἐκ μήτρας, εἰς ὃν ἤλπισα ἀπὸ μαστῶν, τὸν καὶ ἀπὸ γαστρὸς μητρός μου γνωριζόμενόν μοι, καὶ γινωσκόμενον θεὸν, ἱκετεύω καὶ ἀντιβολῶ μὴ ἀποστῆναι ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγύς. μέλει γάρ, φησὶ, καὶ ὅσον οὔπω παρέστι, καὶ πλησιάζει συνέχον ἤδη καὶ ἐπικείμενόν μοι τὸ πάντων ἔσχατον τῆς ὑπερβαλλούσης μου θλίψεως νέφος. οὔπω γὰρ ἐγὼ θλίψιν ταύτην τὴν νῦν περιέχουσάν με καλῶ οὔτε τὸν σταυρὸν, οὔτε τοὺς ἐξ ἀνθρώπων ὀνειδισμοὺς, οὔτε τὰς χλεύας, οὔτε μὴν τὰ πρὸ τοῦ σταυροῦ συμβεβηκότα, τὰς μάστιγας, τὰς ὕβρεις, καὶ ὅσα ἄλλα ἐπαροίνησαν εἰς ἐμὲ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἀλλὰ γὰρ ὁρῶ τὴν εἰς ᾅδου κατάβασιν πλησιάζουσαν, καὶ τῶν ἀντικειμένων, καὶ ἐχθρῶν τῷ θεῷ δυνάμεων ἐπανάστασιν. διὸ φημι ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. πῶς γὰρ οὐχ ὑπερβάλλουσα ἦν καὶ μεγίστη θλίψις αὕτη ἐκείνη, ἐν ᾗ οὐκ ἔστιν ὁ βοηθῶν; ὁ μὲν γὰρ ἐπὶ σωτηρίᾳ τῶν ἐν ᾅδου ψυχῶν παρῄει, ἐκ μακρῶν αἰώνων τὴν ἄφιξιν αὐτοῦ περιμενουσῶν, καὶ κατῄει γε θύρας χαλκᾶς συντρίψων, καὶ μοχλοὺς σιδηροῦς συνθλάσων, καὶ τοὺς πρὶν δεσμίους ᾅδου ἐλευθέρους ἀνήσων· ὃ καὶ γέγονεν, ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀναστάντα συνεισῆλθον αὐτῷ εἰς τὴν ἀληθῶς ἁγίαν τοῦ θεοῦ πόλιν· αἱ δὲ δυνάμεις αἱ ἀντικείμεναι, πρὸς τοῖς τῶν ἀνθρώπων κακοῖς ἀπεστρατεύοντο αὐτῷ, λύπην οὐ μικρὰν καὶ θλίψιν αὐτῷ παρέχουσαι, ἀποκλασμένῳ καὶ ἐπ' αὐταῖς δι' ὑπερβολὴν ἀγαθότητος. ἀλλὰ γὰρ τήρει τίνα τρόπον ταῦτα πάντα λέλεκται, ὡς ἐκ προσώπου αὐτοῦ ἐν μήτρᾳ κυοφορηθέντος, καὶ ἀπὸ γαστρὸς μητρὸς γεγεννημένου, ὃν ἐφάσκομεν εἶναι τὸν ἀμνὸν τοῦ θεοῦ. τούτῳ γὰρ καὶ συμβαίνει τὰ περὶ τὸ πάθος, ὡς καὶ τὰ τῆς ἐνσάρκου γενέσεως ἥρμοζε. τὸ γοῦν γεννηθὲν, καὶ ἀποθνήσκει· τὸ δὲ θνῆσκον οὐκ ἀλλῶς θανάτου τυγχάνει, ἢ πρότερον ὁδεῦσαι διὰ γενέσεως. ταῦτ' οὖν διέξεισιν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, οὐ καθ' ὃ ἄσαρκος καὶ ἀσώματος ὑπάρχει τὴν φύσιν, οὐδὲ καθ' ὃ θεοῦ λόγος καὶ θεὸς ἐπινοεῖται, ἀλλὰ καθ' ὃ οἷός τε ἦν πρὸς τὴν πατέρα εὐχῇ λέγειν, ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπί σε ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ. οὗτος δὴ οὖν πρὸς τῷ πάθει γεγονὼς, εὔχεται τὰ προκείμενα πρὸς τὸν πατέρα, καὶ τοσούτων, φησὶ, μελλόντων με περιστήσεσθαι ἀντικειμένων ἐνεργειῶν, καὶ δαιμόνων ἀκαθάρτων, καὶ πνευματικῶν πονηρίας, καὶ ἐπὶ πᾶσι τοῦ πάντων χειρίστου αὐτοῦ δὴ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, οὓς τῆς κακίας ἕνεκε θῆρας πονηροὺς ὀνομάζειν ἄξιον, καὶ ἤτοι ταύρους ἀγρίους ἢ μόσχους ἢ λέοντας ἢ κύνας, μέλλων τε πρὸς ἅπαντας ἵστασθαι, καὶ μηδὲν ἀγαθὸν εἰς αὐτοὺς ἐνεργεῖν, τῷ μηδὲν παραδέχεσθαι αὐτοὺς τῶν ἐμῶν ἀγαθῶν, δι' ἄκραν κακίας ἕξιν, ἀλλὰ μηδὲ βοηθοῦ μηδὲ συνεργοῦ τυγχάνων τινὸς τῶν προειρημένων, εἰς τὴν ὑπὲρ τῶν ἐν ᾅδου ψυχῶν ἆθλον, πῶς

οὐκ

© Centre d'Études Supérieures de la Renaissance - Tours

" οὐκ ἀν ἀλόγως εἴποιμ' ὅτι θλίψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν; τὸ μὲν οὖν τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις μὴ συνεργεῖν αὐτῷ μηδὲ βοηθεῖν ἐπ' ἀγαθὸν αὐτῷ, νομίζομεν ὅλως οὐδὲν εἶναι θαυμαστόν. τὸ δὲ πάντων μέγιστον τῆς θλίψεως τῆς μάλιστα πιεζούσης αὐτὸν τότε, ἐστὶ τὸ ἀποκαμεῖν καὶ ἀπελπίσαντα τὸ μηδένα μηδὲ τῶν ἀγγέλων, μηδὲ μὲν τῶν θείων δυνάμεων, τολμᾶν ὑπιδέσθαι τοῖς τοῦ θανάτου βασιλείοις, μηδὲ συνεργεῖν ὑπὲρ βοηθείᾳ τῆς αὐτοῦ ψυχῆς. μόνῳ γὰρ αὐτῷ τοῦτ' ἀπεμεῖς ἴσως, ἐπεὶ καὶ μόνῳ ἴσως ἀνεῴχθησαν πύλαι θανάτου, καὶ μόνον αὐτὸν πυλωροὶ ᾅδου ἰδόντες ἔπηξαν, αὐτός τε ὁ τοῦ κράτος ἔχων τοῦ θανάτου, ὑπεκστὰς τῶν βασιλείων ἀφῆνεν, ἅτε μόνον αὐτὸν ὑπηγμοῖς ἑαυτοῦ κύκλον, ᾠδάλησεν αὐτῷ δεήσεσι καὶ ἱκετηρίαις μαλακῶς, καὶ τὰ ἀληθούμενα ἐν τοῖς ἰδίοις περὶ τούτων. πάλιν ἀλλὰ τὴν ἀσεβῆ τοῦ τυράννου καταδυναστείαν τοῦτον ὁρῶν ἰσχύουσαν, ὡς μηδένα ἀμαχον τολμᾶν τῶν κατ' οὐρανὸν ἐν τοῖς ἀνω θείοις χωρίοις συμπαρῆναι αὐτῷ, καὶ τὴν τῶν αὐτοῦ ψυχῶν
" συνεργεῖν σωτηρίαν, εἰκότως φησὶν, ὅτι θλίψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν, ἑνὸς μόνου τοῦ κρείττονος βοηθεῖν αὐτῷ δυναμένου, καταλελοιπότος αὐτὸν, ὡς δὴ εἰς πάντας ἀναχωρητὴν τὸ λαμπρὸν καὶ ἀξαίρετον τῆς ἰδίας αὐτοῦ προαιρέσεως, τῆς τε καὶ πάντων νίκης. καὶ ἐπειδήπερ ὁ μόνος αὐτῷ βοηθεῖν δυνάμενος οὐκ ἴσως αὐτῷ τότε βοηθὸς, εἰκότως ἀρχόμενος ἔλεγε τό, ἠλεὶ ἠλεὶ λαμμᾶ σαβαχθανὶ, τοῦτ' ἔστι θεέ μου θεέ μου ἵνα τί
" ἐγκατέλιπές με; συλλαμβανόμενος μὲν οὖν καὶ συμφορᾷ μένῳ καὶ τῆς ἁγίας παρθένου ὡς δηλουμένῳ ἐν πατρικῇ δυνάμει σωτῶν, ὅτε πνεῦμα ἅγιον ἐπῆλθε τῇ παρθένῳ, καὶ δυνάμις ὑψίστου ἐπεσκίασεν αὐτῇ, αὐτός τε ὁ πατὴρ τὸν γλυκύθυμον, ὡς ὁ λόγος παρέσχησεν, ἀπὸ τῆς γαστρὸς ἐξέπασεν· ἀποδυομένου δὲ πρὸς τὸν καιρὸν τοῦ πάθους πρὸς τὸν τοῦ θανάτου πάλιν, οὐκέτι βοηθὸς αὐτῷ παρῆν. τοῦτο γοῦν αὐτὸ μαρτυρομένῳ πιστεύω. τὸ γὰρ, ἠλεὶ ἠλεὶ λαμμᾶ σαβαχθανὶ, εἰρημένον αὐτῷ ὅτι τοῦ φανεροῦ, καὶ κατὰ τοῦ ψαλμοῦ προφητικῶς ἀναπεφωνημένου, καὶ ὅλη θλίψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν, τί ἕτερον ἐδήλου, ἢ ὅτι ὡς μέγας ἀθλητὴς τοῖς τοσούτοις ἀντιπάλοις προβεβλημένος ἴσως, ἀγωνοθετοῦντος καὶ βραβεύοντος τοῖς γινομένοις τὸ ὅτι πᾶσι θεοῦ; ἔφορον δὴ οὖν τῶν προκειμένων παρεκάλει τὸν πατέρα καὶ πάρεδρον, ὡς δὴ δεξιὸν ἀγείρειν, αὐτῷ συμπαρῆναι, ταύτῃ μάλιστα ὅτε μηδ' ὑπῆρχεν αὐτῷ βοηθὸς ἕτερος, ἢ μόνος εἷς ὁ βραβευτὴς τῶν γινομένων. διὸ φησιν
" ἀνόμενος, μὴ ἀποσῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. ὁρᾶν δὲ ἐνθέοις ὄμμασιν ἔλεγε τὸ ἰκρίου προσηρτημένον αὐτῷ τὸ σῶμα τοῦ, τὰς ἔξωθεν ἀμφὶ τὸν ἀέρα τοῦτον ἀόρατος καὶ ἀνθρώποις ἀοράτους δυνάμεις, δίκην οἰωνῶν ὠμοβόρων καὶ βδελυρῶν θείων περὶ αὐτὸν ἰλυσσωμένας, καὶ προσὸ μέγιστον ὅσον οὔπω νεκρὸν ἔσεσθαι αὐτοῦ τὸ σῶμα, πόντα χόλην τε συῤῥεούσας τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ ἀέρος, τὸ πνεῦμα τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ ἔτι τοὺς ἀμφὶ τὸν γλυκὺν διϊπταμένους καθ' ὅλης τῆς ὑπ' αὐτὸν οἰκουμένης δαίμονας· εἰκὸς δὴ ὅτι καὶ τοὺς ἐπουρανίους ἤδη, καὶ τοὺς ἐν αὐτῷ ταρτάρῳ ἥρας ἀγελείους καὶ φοβερούς, περὶ ὧν ἡ Ἰσαΐας προεῖπε τὸν ἐκπεπτωκότα τοῦ οὐρανοῦ ἑωσφόρον ἀποτεινόμενος ἔλεγεν, ὁ ᾅδης κάτωθεν ὅτι κρόνθη σὲ ἀντήσας ὦι, συνηγέρθησάν σοι
" πάντες οἱ γίγαντες. ταῦτα δὴ οὖν ἀπόντα συμφορᾷ ἐξωθεν τὸ δυσεκλειπτισμένον σῶμα κυκλοῦντα, καὶ προσκυλίζοντα κατ' αὐτό, τὸ σύστημα αὐτῶν δηλαδὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

» φάσκων, περιεκύκλωσάν με μύες πολλοί, ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ'
» ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος. ψυχή μου, ὡς εἰκός, ἀν-
θρωπείαν, ἡ τῆς τῶν πολλῶν πολλαπλασίαν, πλέον δὲ οὐδὲν ἡ μῦς ἐστί· τὸ
σῶμα ἐν γῇ κατασκηνοῦσαν, ἤνοιξαν τὸ στόμα οἱ περιφρονοῦντες, ὡς ὁμοίως ταῖς
» ἄλλαις τῶν ἀνθρώπων ψυχαῖς καὶ αὐτὴ καταπιοῦσθαι. διό φησιν, ἤνοιξαν ἐπ'
» ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος. οἷς ἐξῆς ἐπιλέγει, ὡσεὶ
» ὕδωρ ἐξεχύθην. ὅσῳ ἀναθητῶς μὴ καὶ κατ' ἰσοτιμίαν εἴποι ἀνθρώπους πεπληρῶσθαι,
» ὅτε εἰς τὴν γραπτῶν, κατ' ἀναγέλισιν ἰουδαϊκῶν, τὸν ἀμνοῦ τοῦ θεοῦ λόγχη τινὶ
» πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν αὐθις ὕδωρ καὶ αἷμα. πλὴν ἀλλὰ καὶ τινὶ ὅλως τῶν
» πνευματικῆς φύσεως νέκρωσιν δηλοῦν ἔοικε δι' ὧν φησιν, ὡσεὶ ὕδωρ ἐξεχύθην,
» καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. ἐγένετο ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος
» ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλλη-
» ται τοῖς λάρυγξί μου. τί γὰρ ἄλλο ἢ τὰ πάντα σημαίνει, ἢ νεκροῦ σώματος σύ-
» στασιν; ὅπερ φέρε γοῦν αὐθις λέγων, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. ταῦτα μὲν
οὕτω γινόμενα προέβλεπεν, ὡς ἐγγὺς δὲ καὶ πλησίον ἤδη ἐσόμενα, καὶ περικυκλοῦν-
τα αὐτόν, ἔλεγεν. αὖθις δὲ ἐπιφαλαδὸν τὰ ἤδη προπεπραγμένα εἰς τὸν τῶν
μηνόντων συμβήσεσθαι παραμυθίαν, οἷα ὑπέμεινεν ὑπὲρ βουλθεὶς, διδάσκει λέ-
» γων, ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με·
διὰ τούτων, ὡς εἰκός, δηλοῖ ὁμοῦ μὲν καὶ τοὺς στρατιώτας, ὁμοῦ δὲ καὶ τοὺς ἐκ πε-
» ριτομῆς ἐπιφανέντας αὐτῷ. οἱ μὲν γὰρ στρατιῶται τὸ πλάγιον παραλαβόντες τοῦ
» ἰησοῦ εἰς τὸ πραιτώριον, συναγαγόντες ὅλον τὸν σπεῖρον ἐπ' αὐτὸν, καὶ ἐκδύσαν-
» τες αὐτὸν, χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ, καὶ πλέξαντες στέφανον ἐξ ἀ-
» κανθῶν ἐπέθηκαν ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ, καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ γονυπε-
» τήσαντες ἐμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες, χαῖρε ὁ βασιλεὺς τῶν ἰου-
» δαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὸν κεφα-
» λὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν
» αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. μονονουχὶ ἔργῳ πλη-
» ροῦντες τὸ, ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον
» με. δηλοῖ καὶ τὸ, ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηριθμησάν πάντα τὰ ὀστᾶ μου,
» καὶ ἔτι τὸ, αὐτοὶ δὲ κατενόησάν καὶ ἐπεῖδόν με, καὶ ὃ, διεμερίσαντο τὰ ἱμάτιά μου
» ἑαυτοῖς, καὶ ὑπὲρ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, αὖθις ἐπληροῦτο, ὅτε ἤλοις αὐ-
τοῦ τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ σταυροῦ κατέπειρον, καὶ ὁπηνίκα τὰ ἱμάτια αὐτοῦ
» λαβόντες διεμερίσαντο ἑαυτοῖς. ὁ γοῦν ἰωάννης ἱστορῶν λέγων, οἱ οὖν στρατιῶται ὅτε
» ἐσταύρωσαν τὸν ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ
» στρατιώτῃ μέρος. τί χιτῶνα δὲ, ὅτι ἄρραφος ἦν, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου,
» εἶπον πρὸς ἀλλήλους, μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται, ἵνα
» πληρωθῇ ἡ γραφὴ ἡ λέγουσα, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ὑπὲρ τὸν ἱμα-
» τισμόν μου ἔβαλον κλῆρον. οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίουν. καὶ μάλα γε ὑποῖς γε-
» γηπλημένοις ἤθους τοῦ τύπου μυρίους λέγων, σταυρώσαντες αὐτὸν, διεμερίσαντο τὰ ἱμά-
» τια αὐτοῦ, βαλόντες κλῆρον, ἵνα πληρωθῇ ὃ ῥηθὲν διὰ τοῦ προφήτου, διεμερίσαντο
» τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ὑπὲρ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καθήμενοι ἐτή-

ρουν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ϙων αὐτόν. κύνες δὲ ἦϛ κυκλοῦντες αὐϖόν, καὶ συναγωγὴ πονηρευομένων, οἱ ἐκ
ϖειϑοῦς ἔχοντες τὸν ἰουδαίων, οἵ τε γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ Φα-
ρισαῖοι, οἱ καὶ ὃ ϖάνυ ἀναισίοφυλες πλῆϑος ἐξαιτήϛαϑαι ὃ αἷμα αὐτοῦ καϑ' ἑαυ-
τῶν, καὶ κϑ' τῶν ἰδίων τέκνων. ϛαφῶς γοῦν ὁ ἡσαΐας κύνας αὐϖοὺς ἀποκλῆ φάσκων,
» ϖάντες κύνες ἐνεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν. δέον γὰρ αὐτοὺς, εἰ καὶ μὴ ποιμένων ϑέ
πον ἀνῆλήφεσαν, ἀλλὰ δίκην γοῦν ἀγαθῶν κυνῶν, τῶν τοῦ δεσϖότου λογικὴν ϖοί-
μνιον καὶ ϛὰ ϖρόβατα τοῦ οἴκου ἰσραὴλ φυλάττοντας, ὑπομνηνικῶς ὑλακτεῖν,
σαίνοντας μὲν καὶ ὑπαινώσκοντας τὸν ἑαυτῶν δεσϖότην καὶ ἀρχιποιμένα, ϖάσῃ τε
φυλακῇ τῶν ϖεπιστευμένων αὐτοῖς ϖοίμνιον ϕευγεγῶντας, ὑλακτεῖν ὀφείλ, κϑ'
τῶν ἔξωϑεν ὑπουλούντων τῇ ϖοίμνῃ· οἱ δὲ κύνες ϑέϖον ἐνεοὶ ὡς ἀμηϑῶς καὶ με-
μιλωμένων τοῖς ὑλαγμοῖς ἔφερον, ϛὰ ϖρόβατα τοῦ ϖοιμένος ἀγαγελοῦντες, ὥϛε
» εἰκότως αὐτοῖς ἁρμόζειν ϑ, ϖερικύκλωσάν με κύνες ϖολλοὶ, συναγωγὴ ϖονηρευο-
» μένων ϖεριέσχον με. καὶ ϖάντες δὲ οἱ εἰς ϑεὸν ϑν, ὁμοίου ϑέϖον ϖᾶσιν ἐκείνοις ἀγα-
ϖεπόμενοι, οὐ μὴν βλασφημεῖν καὶ ὑλακτεῖν τὸ χριϛὸν τοῦ ϑεοῦ, οὐκ αὖ ἀνῆκόϛειν
ἐκείνων λογισϑεῖεν. ἀλλὰ καὶ οἱ, δίκην τῶν ϖάλαι ἀσεβούντων ϖραΰνοντες, ἀναϛαυ-
ροῦντες τὸν υἱὸν τοῦ ϑεοῦ ϑ ϖαϱαδιγματίζοντες, οὐκ αὖ τ' ἐκείνων μακραὶ γέ-
νοιντο ἀγαθέσεως. ϖάντες οὖν εἰσέτι καὶ νῦν οἱ ϑ σῶμα τοῦ χριϛοῦ, τουτέϛι τ' ἐκ-
κλησίαν, λαοῦμένοι, χεῖρας αὐτοῦ καὶ ϖόδας καὶ ϖρόσϖα τὰ ὀϛέα διαχλείζονται,
» εἰ γε ϖάντες ἐν σῶμα ἐσμεν ἐν χριϛῷ, ὁ δὲ καθεῖς ἀνήκων μέλη, καὶ οὐκ ἂν εἴϖοι
» ἡ κεφαλὴ τοῖς ϖοσί, χρείαν ὑμῶν οὐκ ἔχω, ὡς οὐδὲ ταῖς χερσὶν οἱ ὀφθαλμοί. κϑ'
γοῦν τοὺς καιροὺς τῶν διωγμῶν, εἴ ϖοτέ ἵνα κϑ' τῶν μελῶν τοῦ χριϛοῦ ϖρὸς τ' ἐ-
» χθρὰν καὶ ϖολεμίων ἐνεργῆτο, εἴϖοι ἂν καὶ αὐτῶν οὐκ ἀκαίρως ϑ, ὤρυξάν χεῖ-
» ράς μου, καὶ ϖόδας μου, ἐξηρίθμησάν ϖάντα τὰ ὀϛᾶ μου. αὐτοὶ δὲ κατενόησάν καὶ
» ἐϖεῖδόν με. ὅτε ϑ καὶ διαμερίζονται τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς, καὶ ὑπὲ τὸν ἱματι-
σμὸν αὐτοῦ βάλλοισι κλῆρον, ὅτε τ' τοῦ λόγου κόσμον, ἤτοι τὰς λέξεις τῶν ϑείων γρα
φῶν, ἀλλότε ἄλλως ἕκασος διαφθείρων ὑπισχνεῖται, ϖ ὅτε τὰς ϖερὶ αὐτοῦ δόξας διε-
στρόφοις διδασκαλίαις ἀπολαμβάνουσιν, ὁποῖα συνήθεις τοῖς ἀθέοις αἱρεσιώταις ποι
εῖν. ὑπὲ ϖᾶσι τούτοις ϖερὶ ϑν ἑαυτοῦ ϑεὸν καὶ κύριον καὶ ϖατέρα τὸν μονογενῆ ἀϖο-
» τεινάς ὑπιφέρῃ λέγων, σὺ δὲ κύριε μὴ μακρυνῆς τ' βοήθειάν μου. ὡς γὰρ εἰς βρα-
χὺ καταληφθεὶς ϖερὶ τὸν τοῦ ἀγῶνος ὑπόδειξιν, καὶ μόνος δίκα βοηθοῦ ϖερὶς τ'
ϑάνατον ἀποδυσάμενος, ὃν εἰδὼς τὸν βοηθῆσόν τ' ϖαρὰ ϑ ϖατρὸς οὐκ ἀνῆκως αὐ-
τῷ γνήσεσθαι, ἢ ἀφ' τ' ἐκ νεκρῶν ἀναστάσεως, εἰκότως ὑπὲ τῶν ϖρόσθεν μὲν χρῆ
» διεξόδου τυχεῖν τῆς τῶν ἀντιϖάλων ϖαραλύσεως. διὸ φησι, σὺ δὲ κύριε μὴ μα-
» κρυνῆς τ' βοήθειάν μου, εἰς τ' ἀντίληψίν μου ϖρόσχες. ἀφ' οὗ τ' σῆς βοηθείας ἡ ἀν-
τίληψίς μοι γνήσεται, διὸ ἰῶ ἀντίληψιν ὁ ϖᾶς εἰκότως ϖροσγέγραϖται ψαλμὸς, ὑ-
ϖὲρ τῆς ἐωθινῆς ἀντιλήψεως. εἰς τὸν ἀντίληψιν τοῦ ϖρωΐου ϖρόσχες, ϖρόσχον μοι
τὸν ὅσον ὄϖω κϑ' τὸν ἕω ἐκ νεκρῶν ἀναστάσεως ἀντίληψιν, ἧς ἐλπίζω τεύξεσθαι,
» ἐϖεὶ μὴ μακρύνας μου αὐτὸν, ῥῦσαι ἀϖὸ ἐμφανείας τ' ψυχήν μου, καὶ ἐκ χει-
» ρὸς κυνὸς τὴν μονογενῆ μου· ἐϖεὶ σῴσης με ἐκ ϛόματος, λέοντος καὶ ἀϖὸ κεράτων
» μονοκερώτων τὴν ϖαπείνωσίν μου. διὸ ὧν ἠξιώμην αὐτὸν τοὺς καλλιζωνίους αἰνίτ-
» εσθαι δυνάμεις, ὧν ὃ καϑ' ἡμᾶς ἂν εἴη κατ' εἶδος ἀφεστηκὸς καὶ διεληλ, ὅπως ἡ

© Centre d'Études Supérieures de la Renaissance - Tours

μένῃς αὐτῶν ῥομφαία οὖσα ἀνετείνετο κατὰ τῆς ψυχῆς τοῦ σωτῆρος ἡμῶν· ἡ δέ τις κύων οὖσα θανάτῳ, τὴν θανατηφόρον χεῖρα προὐβάλλετο, εἰς τὸ καθάψασθαι αὐτῆς. διό φησι, ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. ἄλλη δέ τις πονηρὰ καὶ τῶν ἐκεῖσε θηρίων ἡγουμένη δύναμις, λέων προσαγορευομένη, τὸ πλατὺ καὶ ἀχανὲς τοῦ θανάτου στόμα διανοίξασα, μετὰ τῶν ἄλλων τῶν εἰς ᾅδου κατιόντων καὶ τὴν αὐτοῦ ψυχὴν καταπιεῖν ὥρμητο, ὡς πρὸ οὖν πάλαι πρότερον κατέπιεν ὁ θάνατος ἰσχύσας, οὐχ ἕτερος ὢν τοῦ ἐνταῦθα λέοντος, οὗτος τὸ στόμα κατὰ τοῦ σωτῆρος ἡμῶν ἀνεῴξαντος, ἀφ' οὗ καὶ αὐτοῦ σωθῆναι τὴν πατέρα παρακαλεῖ λέγων, σῶσόν με ἐκ στόματος λέοντος. εἶεν δ' ἂν καὶ ἄλλαι τινὲς πονηραὶ καὶ θεόμαχοι δυνάμεις τῷ μονοκέρωτι τοῦ θεοῦ ἀντιπράττουσαι καὶ ἀντιπαρεξάγειν αὐτοῦ ἐπιχειροῦσαι, ἀφ' ὧν καὶ αὐτῶν ὁ τοῦ θεοῦ μονόκερως, αὐτὸς ὁ κύριος ἡμῶν μόνον τὸν πατέρα κέρας ἔχων, τὴν ἑαυτοῦ ταπείνωσιν ῥυσθῆναι ἀξιοῖ, λέγων, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. ποίαν δὲ ταπείνωσιν, ἢ ταύτην αὐτήν, καθ' ἣν ἐν μορφῇ θεοῦ ὑπάρχων ἐταπείνωσεν ἑαυτὸν καὶ ἐκένωσε, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ; ἀλλὰ γὰρ ἐπὶ τοσοῦτον κατελθὼν, καὶ μέχρι τούτου φθάσας, λέγω δὴ μέχρι τῆς ἐν τῷ ᾅδῃ ῥομφαίας, καὶ τῆς χειρὸς οὗτος αὐτόθι λεγομένου κυνός· ὅθεν καὶ παῖδας ἡλίων εἰκὸς τοιοῦτόν τινα παρακούσαντας κύνα θανάτου, καὶ τοῦτον τρικέφαλον ἀναζωγραφεῖν· καὶ μέχρι δὲ τῶν φαρύγγων τοῦ προδεδηλωμένου λέοντος ἠθών, καὶ τὴν ταπείνωσιν αὐτοῦ τοῖς ἀντιπάλοις καὶ θεομάχοις μονοκέρωσιν ὑποστρώσας, καὶ ἐπὶ τοῦτό γε τέλος τὴν πᾶσαν οἰκονομίαν τῆς ἑαυτοῦ κενώσεώς τε καὶ ταπεινώσεως στήσας, κἄπειτα εὐξάμενος ἤδη λοιπὸν τυχεῖν τῆς βοηθείας καὶ τῆς παρὰ τοῦ πατρὸς ἀντιλήψεως, ἐπιλέγει, σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. καὶ τοῦτ' εἰπὼν οὐκ εἰς μακρὰν ἐπηκόου οὗτος πατρὸς τυγχάνει, μὴ μακρυνθέντος, μηδὲ τὸ βραχύτατον ὑπερθεμένου, αὐτοῖς δὲ ἔργοις μονονουχὶ φήσαντος αὐτῷ, ἔτι λαλοῦντός σου, ἐρῶ ἰδοὺ πάρειμι. καὶ δὴ τοῦτ' αἰσθόμενος, τῆς τε πατρικῆς βοηθείας, καθάπερ ηὔξατο, τυχὼν, ἐντεῦθεν λοιπὸν ἀπάρχεται τοῦ ἐπινικίου ὕμνου, ὑπὲρ τῆς ἑωθινῆς ἀντιλήψεως τὸν ψαλμὸν ποιούμενος, ἐν οἷς φησι, διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσωσε. πρώτοις μὲν οὖν τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις ἐπαγγέλλεται τὰ τῆς ἐπ' αὐτῷ χαρᾶς καὶ ἀγαλλιάσεως εὐαγγελίσεσθαι, ἀδελφοὺς αὐτοὺς ὀνομάζων. οἷς ἀκόλουθα καὶ ὁ μαθθαῖος διδάσκει λέγων, καὶ ἰδοὺ ὁ ἰησοῦς ἀπήντησεν αὐταῖς, δηλονότι ταῖς ἀμφὶ τὴν μαγδαλήνην μαρίαν, λέγων, χαίρετε. αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ ἰησοῦς, μὴ φοβεῖσθε, ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν, κἀκεῖ με ὄψονται. ὁ ἰωάννης δὲ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν εἰσάγει καὶ αὐτὸς τὸν ἰησοῦν λέγοντα πρὸς τὴν μαριάμ, μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου, πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὴν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ θεόν μου, καὶ θεὸν ὑμῶν. πρώτοις μὲν οὖν τοῖς ἀποστόλοις αὐτοῦ οὓς ἰδίους ἀδελφοὺς ὀνομάζει, τὸ ὄνομα τοῦ πατρὸς διηγήσεσθαί φησι· μετὰ δὲ ἐκείνους, τάξει καὶ ἀκολουθίᾳ τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐπὶ τῷ ὀνόματι αὐτοῦ συστᾶσαν ἐκκλησίαν, διδάξειν τὴν πατρι-

κὴν

κὴν ὑμῶν ἐπαγγήλεται. ὡσπερ γὰρ εἴτις ἐν μέσῳ μαθητῶν διεξοδεύοι λόγους ὅτι σοφία διαφερόντων διδάσκαλος, ὑπὲρ τῶν καὶ κείνους ἀκούσαντας παρεσυπακοῦσαι· τὸν αὐτὸν τρόπον καὶ αὐτὸς ἐν μέσῳ ἐκκλησίας, φησὶν, ὑμνήσω σε, ὑπὲρ δὲ μαθοῦσιν τὴν ἐκκλησίαν καὶ ἀκούσασιν περὶ αὐτοῦ, ὃν παρῆκεν τρόπον, μηκέτι ὡς πρὶν τοὺς δαίμονας, ἀλλ' αὐτὸν μόνον ὃν πάντων θεὸν, διὰ τῶν καταγγέλλοντος αὐτὸν ἀνυμνῆν. ταῦτα παράξαι ὑπισχνούμενος, σφόδρα ἀκολούθως εἰλήφθην ἤδη παρασκευῇ τῇ ἐκκλησίᾳ καὶ τοῖς ἐμοῖς ἀδελφοῖς ὑμνῆσαι τὸν πατέρα. διό φησιν, οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτὸν, ἅπαν τὸ σπέρμα ἰακὼϐ δόξάσατε αὐτόν. καὶ, φοβηθήτω ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα ἰσραὴλ, ὅτι οὐκ ὀξυδέρκωσεν ὑπὲρ δὲ παρασώθησε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, ἀλλ' ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. διὰ ὧν σαφῶς παρέστησε τὸ παρανομασμένων κακῶν τὸ ἀπαλλαγέν. εἰ γὰρ ἐν τῷ κεκραγέναι πρὸς αὐτὸν εἰσήκουσεν αὐτοῦ, πῶς ἂν ῥυσθῶμεν ἀπὸ μὲν ἐρημίας τὴν ψυχὴν αὐτοῦ, ἐκ δὲ κυνὸς τὴν μονογενῆ αὐτοῦ, καὶ ἔτι ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσιν αὐτοῦ, ἀκόλουθον ὄντι νοεῖν τούτων ἀπαλλαγὴν εὑρέσθαι ὃν φήσομεν, ὅτι μὴ παρασώθησεν ὁ θεὸς τὴν δεήσιν αὐτοῦ, μηδὲ τὸ πρόσωπον ἀπέστρεψε ἀπ' αὐτοῦ, ἀλλ' ἐν ᾧ κεκραγέναι εἰσήκουσεν αὐτοῦ. διὸ καὶ ὑπῆρξεν αὐτῷ ῥυσθῆναι τῶν τοσούτων, καὶ ἐκ τοῦ θανάτου διαφυγεῖν συνδιατείνεσθαι τοῖς ἑαυτοῦ μαθηταῖς ὁμοῦ καὶ ἀδελφοῖς, ἐν ὑμνῆσαι ἐν μέσῳ ἐκκλησίας τὸν πατέρα. τηρῶ δὲ πάλιν ὡς πτωχὸν αὖθις ἑαυτὸν ἀποκαλῶ, συμφώνως τῇ προτέρᾳ πεποιθήσεως παρῳκειμένῃ, δι' ὧν πένης καὶ πτωχὸς ὠνομάζετο. ἀλλ' ἐπεὶ καὶ τὴν δύναμιν αὐτοῦ διὰ τούτων παρέστησεν, αὖθις πρὸς τὸν πατέρα ἐπιστρέφων τὸν λόγον, πρόσωπόν φησιν, ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ, τὸν ἐπ' ὀνόματι αὐτοῦ συστάσης ἐξ ἐθνῶν καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίας μνημονεύων, ἐν ᾗ ὁ παρὸ τῶν πολλῶν ἔπαινος διὰ πάντος ἀδεῖ, νοούμενα τῆς παθοῦς αὐτοῦ καὶ σωτηρίας. διὸ φησι, παρά σου ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ. μεγάλη γὰρ ὡς ἀληθῶς ἡ ἐκκλησία αὕτη, ἐκ πολλῶν ψυχῶν ἀνθρώπων συγκεκροτημένη, οὐδὲ συγκρίνεσθαι διὰ τὸ σεμνὸν καὶ ὑπερφυὲς τοῦ βίου, καὶ διὰ τὸ τοῦ δόγματος μέγεθος, ἀξία τῆς ἰουδαίων ἐθνῆς, καὶ τῆς τῶν ἐκ περιτομῆς σεσαγωγῆ, πάσῃ πολιτείᾳ λόγου καὶ βίου καὶ φρονήματος καὶ τοῦ ἀνῆς παρὰ θεοῦ δόξης ἐσμυρυμένη. εἶτ' ἐπιλέγει, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον πάντων τῶν φοβουμένων αὐτόν. φοβουμένους αὖθις ἀποκαλῶν τὸν προτέρων ὀνομασθεῖσαν ἐκκλησίαν μεγάλην, οἷς ἔλεγεν, οἱ φοβούμενοι τὸν κύριον αἰνέσατε αὐτόν. ποίας δὲ εὐχὰς ἀποδώσειν φησὶν, ἢ ἃς ἐπηγγείλατο; ποίας δ' ἐπηγγείλατο, ἢ ἐκείνας δι' ὧν ἔφησε, διηγήσομαί σου τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε; εὐχαὶ γὰρ εἰσιν αἱ ἐπαγγελίαι, αἷς ἐπαγγελάμενος δώσειν ἐν μέσῳ ἐκκλησίας διεβεβαιοῦτο. τούτοις ἑξῆς ἐπιλέγει, φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτὸν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. διὸ ὧν σφόδρα ἀκολούθως τὰ μὴ τὴν αὐτὴν δυναμένα διαφωνῆ, ἃ καὶ πεπλη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρωται διὰ τῆς ἐξ ἁπάντων τῶν ἐθνῶν κλήσεως, διά τε τῆς ἐν τοῖς πέρασι τῆς οἰκουμένης ἀνθρώπων ἐκλογῆς, ὧν αἱ ἐκβάσεις ὀφθαλμοῖς θεωρούμεναι πάντων ἂν γένοιντο τῶν διὰ τοῦ ψαλμοῦ λεγομένων παραστατικαί. πένητες δὲ πάλιν ἡμεῖς, οὓς κατὰ θεὸν πτωχεύοντας ἐκτρέφων ὁ σωτήριος λόγος τῷ νοητῷ καὶ λογικῷ ἄρτῳ ταῖς ζωοποιοῖς τῶν ψυχῶν τροφαῖς, τὴν αἰώνιον ἡμῖν παρέχει ζωήν. διό φησιν ὁ ψαλμὸς, φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτὸν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. καὶ ὁ ἐπίλογος δὲ τῆς ὅλης προφητείας μετὰ πάντα ἐπιφέρων, ἀναγελήσεται ὡς κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγεῖσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος· ἀντίκρυς τὸν ἐξ ἐθνῶν προθεσπίζει λαὸν, καὶ τὴν διὰ τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ συστᾶσαν ἐπὶ τῆς γῆς γενεάν. τίς γὰρ ἂν εἴη ὁ μετὰ ταῦτα τεχθήσεσθαι λεγόμενος ὡς θεῷ λαὸς, πάλαι μὴ ὢν, μηδ' ὑφεστὼς ἐν ἀνθρώποις, ὕστερον δὲ γεγονώς· τίς τε οὐ μὴ οὖσα τότε, λεγομένη δὲ ἐλεύσεσθαι γενεὰ, εἰ μὴ αὕτη ἡ διὰ τοῦ σωτῆρος ἡμῶν ἐν παντὶ ὡς κόσμῳ συστᾶσα ἐκκλησία; καὶ ὁ νέος ἐξ ἐθνῶν λαὸς, ἐφ' ᾧ καὶ διὰ ἡσαΐου τὸ πνεῦμα τὸ ἅγιον θαυμαστικῶς ἀπεφθέγξατο φῆσι, τίς ἤκουσε τοιαῦτα, καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ, καὶ εἰ ἐτέχθη ἔθνος εἰσάπαξ. ταῦτα μὲν οὖν ἡμεῖς ἐφ' ἕτερα συνεγαίνοντος τοῦ καιροῦ διαδραμόντες ἀκροθιγῶς διεξήλθομεν, ὅτῳ δ' ἂν μέλοι τῆς τοῦ σωτῆρος ἡμῶν παρακελεύσεως

* * *

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τῶν σφαλμ^τ^ν ἐπανόρθωσις.

3	μα	ἐνιαυτ^ὸ^.	ἐνιαυτόν.
13	καὶ εὔνομον	ἐν τοῖς τοῖς τότε	ἐν τοῖς τότε
18	κατάρσια		καθάρσια
24	τοῦτο	υἱοὶς	υἱοῖς
28	κδ' ἀπὸ	τοῦ αὐτοῦ.	τοῦ ἀμώς.
32	πήγγελται	τοίνυν	τοίνυν
	δεικτέον	τοίνυν	τοίνυν
35	Ιδοὺ	ἐν τέλλομαι	ἐντέλλομαι
		λιμᾶται	λικμᾶται
70	πρὸς ᾧ τέλει τῆς σελίδος μ^τ^ὸ, ἀναχώρησιν, ταυτὶ πρόσθες, ἐποιεῖτο. εἶτα δὲ τοῦ σώματος αὐτοῦ λη-		
72	αὐτοὶ	κατηγητοῦ	καθηγητοῦ
80	δυνάμει	ἐπάνοδον	ἐπάνοδον
87	Ανερος	εὐσεβῃ	εὐσεβείῃ
92	θ' Ως	Ως περὶ	Περὶ
109	προσηγορίας	ἀνηγορεύεται,	ἀνηγορεύετο,
125	αὐτῶν	αἰγυπτιακῆς	αἰγυπτιακῆς
259	μασι	αὐτῶν	αὐτὸν
207	ἐμμαν.	γεγεννημένους	γεγεννημένος
266	τάδε σύναψον τῷ τῆς σελίδος ἐσχάτῳ στίχῳ μ^τ^ὸ, ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστι περὶ οὗ εἶπον, ὀπί-		

EXCVDEBAT ROBERTVS STEPHANVS TYPOGRAPHVS REGIVS LVTETIAE PARISIORVM, AN. M. D. XLVI, CAL. APRIL.

© Centre d'Études Supérieures de la Renaissance - Tours



© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours